μὲν τῶν σωμάτων εὐεξίας οὕτω μεγάλων δωρεῶν ἠξίωσαν, τοῖς δὲ ὑπὲρ τῶν κοινῶν ἰδίᾳ πονήσασι, καὶ τὰς ἑαυτῶν ψυχὰς οὕτω παρασκευάσασιν, ὥστε καὶ τοὺς ἄλλους ὠφελεῖν δύνασθαι, τούτοις οὐδεμίαν τιμὴν ἀπένειμαν,[3] ὧν εἰκὸς ἦν αὐτοὺς μᾶλλον ποιήσασθαι πρόνοιαν. Τῶν μὲν γὰρ ἀθλητῶν, δὶς τοσαύτην ῥώμην λαβόντων, οὐδὲν ἂν πλέον γένοιτο τοῖς ἄλλοις·[4] ἑνὸς δὲ ἀνδρὸς εὖ φρονήσαντος, ἅπαντες ἂν ἀπολαύσειαν οἱ βουλόμενοι κοινωνεῖν τῆς ἐκείνου διανοίας. Οὐ μὴν ἐπὶ τούτοις ἀθυμήσας, εἱλόμην ῥᾳθυμεῖν, ἀλλ᾽ ἱκανὸν νομίσας ἆθλον[5] ἔσεσθαί μοι τὴν δόξαν, τὴν ἀπ᾽ αὐτοῦ τοῦ λόγου γενησομένην, ἥκω συμβουλεύσων περί τε τοῦ πολέμου τοῦ πρὸς τοὺς βαρβάρους, καὶ τῆς ὁμονοίας τῆς πρὸς ἡμᾶς αὐτούς· οὐκ ἀγνοῶν, ὅτι πολλοὶ τῶν προσποιησαμένων εἶναι σοφιστῶν ἐπὶ τοῦτον τὸν λόγον ὥρμησαν·[6] ἀλλ᾽ ἅμα μὲν ἐλπίζων, τοσοῦτον αὐτῶν διοίσειν, ὥστε τοῖς ἄλλοις μηδὲν πώποτε δοκεῖν εἰρῆσθαι περὶ αὐτῶν, ἅμα δὲ προκρίνας τούτους καλλίστους εἶναι τῶν λόγων,[7] οἵτινες περὶ μεγίστων τυγχάνουσιν ὄντες, καὶ τούς τε λέγοντας μάλιστα ἐπιδεικνύουσι, καὶ τοὺς ἀκούοντας πλεῖστα ὠφελοῦσιν, ὧν εἷς οὗτός ἐστιν. Ἔπειτα οὐδ᾽ οἱ καιροί πω παρεληλύθασιν, ὥστ᾽ ἤδη μάτην εἶναι τὸ μεμνῆσθαι περὶ αὐτῶν.

---

»των, ταῖς ὁμοίαις ἐξεργασίαις χρῆσθαι, »καὶ τοῖς ἐνθυμήμασι, οὐχ ὑποβαλλό»μενον τὰ ἀλλότρια, ἀλλὰ τῆς τῶν »πραγμάτων ἀναβλαστανούσης φύσεως »τοιαῦτα, οἷα καὶ τοῖς προλαβοῦσι προ»βαλλομένη ἐπιδείκνυται.» Καὶ ταῦτα μὲν περὶ τῆς ἐπιγραφῆς τε καὶ ὑποθέσεως τοῦ Πανηγυρικοῦ· ὥρα δ᾽ ἐπ᾽ αὐτὸν μεταβῆναι τὸν λόγον.

§ 1. 2. Πολλάκις ἐθαύμασα κτλ.) Μνημονεύει τῆς ἀρχῆς ταύτης τοῦ προοιμίου Ἀριστοτέλης (Ῥητορικ. Γ, θ΄, 7, καὶ, ιδ΄, 2) παρ᾽ ᾧ καί, Ἀγόντων, κακῶς ἐγράφετο ἀντὶ τοῦ, Συναγαγόντων ἐν ταῖς ἀρχαίαις ἐκδόσεσι. — 3. Ὅτι τὰς μὲν τῶν σωμάτων εὐεξίας . . . ἀπένειμαν.) Καὶ τούτου τοῦ χωρίου μνημονεύει ὁ Σταγειρίτης (Ῥητορικ. Γ, ιδ΄, 2) οὐκ αὐταῖς λέξεσιν, ἀλλὰ μόνην φυλάξας τὴν ἔννοιαν. «Ὅτι τὰς μὲν τῶν σω»μάτων ἀρετὰς δωρεαῖς ἐτίμησαν, τοῖς »δ᾽ εὖ φρονοῦσιν οὐδὲν ἆθλον ἐποίησαν.» Παραβάλλει δὲ τὸν Ἰσοκράτην, προοιμιαζόμενον ἐν τῷ Πανηγυρικῷ ἀπὸ τοῦ ψόγου τῶν τὰς πανηγύρεις συναγαγόντων, τῷ Γοργίᾳ, ἐξ ἐπαίνου τῶν αὐτῶν τούτων προοιμιασαμένῳ ἐν τῷ ἐπιγραφομένῳ Ὀλυμπιακῷ λόγῳ. — 4. Οὐδὲν ἂν πλέον γένοιτο τοῖς ἄλλοις.) Ὁ μὲν νοῦς, Οὐδὲν ἂν ὄφελος, ἢ κέρδος γένοιτο τοῖς ἄλλοις· τῆς δὲ λέξεως τὸ πλῆρές ἐστιν, Οὐδὲν ἂν πλέον γένοιτο τοῖς ἄλλοις ὧν πρότερον εἶχον. Σεσημειώσθω δὲ ταῦτα οὐ διὰ τοὺς εἰδότας, ἀλλὰ διὰ τοὺς γλιχομένους εἰδέναι. — 5. Ἱκανὸν νομίσας ἆθλον.) Οὐδετέρως ἐνταῦθα τὸ Ἆθλον· περὶ οὗ τάδε Ἀμμώνιος., «Ἆθλος καὶ Ἆθλον διαφέρει. »Ἀρσενικῶς μὲν γὰρ τὸν ἀγῶνα δηλοῖ »οὐδετέρως δέ, τὸ ἔπαθλον κτλ. — 6. Πολλοὶ τῶν προσποιησαμένων εἶναι Σοφιστῶν ἐπὶ τοῦτον τὸν λόγον ὥρμησαν.) Τοῦ Γοργίου καθάπτεται, τὸν Ὀλυμπιακὸν αὐτοῦ λόγον αἰνιττόμενος, ἢ δῆλον ἐξ ὧν ἔφθην παραθέμενος ἐκ τοῦ Ἀριστοτέλους. Σοφιστὰς δ᾽ ἐκάλουν, παρὰ τὸ Σοφίζειν, τοὺς διδάσκοντας τὴν τῶν λόγων ἐπιστήμην. — 7. Προκρίνας τούτους καλλίστους εἶναι τῶν λόγων.) Τό, Προκρίνας, ἀντὶ τοῦ ἁπλοῦ, Κρίνας, καθὰ καὶ παρ᾽ ἄλλοις τῶν δοκίμων· οὐχ ἁπλῶς δέ, ἀλλ᾽ ἐπὶ συγκρίσεως ἢ ὑπερθέσεως. Ὧ καὶ δῆλον ὅτι οὐ πλεονάζει ἡ πρόθεσις, ἀλλὰ πρὸς ἄλλο τι φέρεται προσυπακουόμενον ἔξωθεν· πολὺ γὰρ τὸ τῆς ἐλλείψεως σχῆμα παρὰ τοῖς Ἕλλησιν. Ἔστιν οὖν τὸ πλῆρες, Τούτους τῶν λόγων κρίνας εἶναι καλλί-

Τότε γὰρ χρὴ παύεσθαι λέγοντα, ὅταν ἢ τὰ πράγματα λάβῃ τέλος, καὶ μηκέτι δέῃ βουλεύεσθαι περὶ αὐτῶν, ἢ τὸν λόγον ἴδῃ τις ἔχοντα πέρας, ὥστε μηδεμίαν λελεῖφθαι τοῖς ἄλλοις ὑπερβολήν. Ἕως δ' ἂν τὰ μὲν ὁμοίως, ὥσπερ πρότερον, φέρηται, τὰ δ' εἰρημένα φαύλως ἔχοντα τυγχάνῃ, πῶς οὐ χρὴ σκοπεῖν καὶ φιλοσοφεῖν[8] τοῦτον τὸν λόγον, ὃς, ἢν κατορθωθῇ, καὶ τοῦ πολέμου τοῦ πρὸς ἀλλήλους, καὶ τῆς ταραχῆς τῆς παρούσης, καὶ τῶν μεγίστων κακῶν ἡμᾶς ἀπαλλάξει; Πρὸς δὲ τούτοις, εἰ μὲν μηδαμῶς ἄλλως οἷόν τ' ἦν δηλοῦν τὰς αὐτὰς πράξεις, ἀλλ' ἢ διὰ μιᾶς ἰδέας,[9] εἶχεν ἄν τις ὑπολαβεῖν, ὡς περίεργόν ἐστι, τὸν αὐτὸν τρόπον ἐκείνοις λέγοντα, πάλιν ἐνοχλεῖν τοῖς ἀκούουσιν· ἐπειδὴ δ' οἱ λόγοι τοιαύτην ἔχουσι τὴν φύσιν, ὥσθ' οἷόν τ' εἶναι περὶ τῶν αὐτῶν πολλαχῶς ἐξηγήσασθαι, καὶ τά τε μεγάλα ταπεινὰ ποιῆσαι, καὶ τοῖς μικροῖς μέγεθος προσθεῖναι, καὶ τὰ παλαιὰ καινῶς[10] διεξελθεῖν,[11] καὶ περὶ τῶν νεωστὶ γεγενημένων[12] ἀρχαίως[13] εἰπεῖν, οὐκ ἔτι φευκτέον ταῦτ' ἐστὶ, περὶ ὧν ἕτεροι πρότερον εἰρήκασιν, ἀλλ' ἄμεινον ἐκείνων εἰπεῖν πειρατέον. Αἱ μὲν γὰρ πράξεις αἱ προγεγενημέναι κοιναὶ πᾶσιν ἡμῖν κατελείφθησαν· τὸ δὲ ἐν καιρῷ ταύταις καταχρήσασθαι,[14] καὶ τὰ προσήκοντα περὶ ἑκάστης ἐνθυμηθῆναι, καὶ τοῖς ὀνόμασιν εὖ διαθέσθαι,[15] τῶν εὖ φρονούντων ἴδιόν ἐστιν. Ἡγοῦμαι δ' οὕτως ἂν μεγίστην ἐπίδοσιν λαμβάνειν,[16] καὶ τὰς ἄλλας τέχνας, καὶ τὴν περὶ τοὺς λόγους φιλοσοφίαν, εἴ τις τιμῴη καὶ θαυμάζοι μὴ τοὺς πρώτους τῶν λόγων ἀρχομένους, ἀλλὰ τοὺς ἄριστα αὐτῶν ἕκαστον ἐξεργαζομένους·[17] μηδὲ τοὺς περὶ τούτων ζητοῦντάς τι λέγειν, περὶ ὧν μηδεὶς πρότερον εἴρηκεν, ἀλλὰ τοὺς οὕτως ἐπισταμένους εἰπεῖν, ὡς οὐδεὶς ἂν ἄλλος δύναιτο.

§ 2. Καίτοι τινὲς ἐπιτιμῶσι τῶν λόγων τοῖς ὑπὲρ τοὺς ἰδιώ-

---

στους πρὸ τῶν ἄλλων. — 8. Φιλοσοφεῖν.) Τὸ μελετᾶν καὶ σπουδάζειν ἐνταῦθα, ὡς καὶ ἀλλαχοῦ πολλάκις, σημαίνει τὸ Φιλοσοφεῖν παρὰ τῷ Ῥήτορι. Εἰκότως ἐπεὶ οὐδὲν ἂν γενέσθαι δύναιτο κατὰ τρόπον, μὴ ὑφηγουμένης καὶ δαδουχούσης φιλοσοφίας. — 9. Διὰ μιᾶς ἰδέας.) Δι' ἑνὸς μόνου τρόπου. — 10. Καινῶς.) Ὡς οὐδεὶς ἕτερος πρότερον. Ἁρποκρατίων δὲ (λέξ. Καινῶς) ἐξηγεῖται, »Ὡς τοῖς νεωτέροις ἁρμόττειν πράγμασι.« — 11. Διεξελθεῖν.) Παρὰ τῷ Ἁρποκρατίωνι καὶ τῷ Λογγίνῳ γράφεται, Διελθεῖν. — 12. Γεγενημένων.) Παρὰ τῷ Ἁρποκρατίωνι, Γενομένων. — 13. Ἀρχαίως.) Ὡς εἶπον οἱ πρῶτοι εἰπόντες· τοῦτο γὰρ ἐνταῦθα δηλοῖ τὸ Ἀρχαίως, καὶ οὐ τὸ, Ἀρχαϊκῶς, τουτέστιν, Ἀρχαιοτέροις ὀνόμασιν, ὡς ἐκδέξασθαί τινας φησὶν ὁ Ἁρποκρατίων (λέξ. Ἀρχαίως). Κακία γὰρ μᾶλλον ἂν ἢ ἀρετὴ λόγου εἴη ὁ ἀρχαϊσμός. — 14. Καταχρήσασθαι.) Ἀρκούντως χρήσασθαι. — 15. Τοῖς ὀνόμασιν εὖ διαθέσθαι.) Καλῶς διατάξαι κατὰ τὰ ὀνόματα· ὀνόματα δ' ἐνταῦθα οὐ γραμματικῶς ἐκδεκτέον τὸ πρῶτον τοῦ Λόγου μέρος, ἀλλὰ τὰς λέξεις ἁπλῶς — 16. Ἡγοῦμαι δ' οὕτως ἂν μεγίστην ἐπίδοσιν λαμβάνειν.) Πρὸς τὸ Λαμβάνειν, ὁ, Ἂν, ἵν' ᾖ, Δύνασθαι λαμβάνειν. Ἔν τισι δὲ τῶν ἀντιγράφων φέρεται, Ἡγοῦμαι δ' ἀεὶ μεγίστην κτλ. — 17. Ἐξεργαζομένους.) Τελειοῦντας, ὥστε μηδενὸς λείπεσθαι τῶν ὅσα χρὴ τὸν λόγον ἔχειν.

τας ἔχουσι,[2] καὶ λίαν ἀπηκριβωμένοις· καὶ τοσοῦτον διημαρτήκασιν, ὥστε τοὺς πρὸς ὑπερβολὴν πεπονημένους πρὸς τοὺς ἀγῶνας τοὺς περὶ τῶν ἰδίων συμβολαίων σκοποῦσιν, ὥσπερ ὁμοίως[3] ἀμφοτέρους δέον ἔχειν, ἀλλ' οὐ τοὺς μὲν ἀσφαλῶς, τοὺς δὲ ἐπιδεικτικῶς· ἢ σφᾶς μὲν διορῶντας[4] τὰς μετριότητας, τὸν δὲ ἀκριβῶς ἐπιστάμενον λέγειν, ἁπλῶς οὐκ ἂν μὴ δυνάμενον εἰπεῖν.[5] Οὗτοι μὲν οὖν οὐ λελήθασιν, ὅτι τούτους ἐπαινοῦσιν, ὧν ἐγγὺς αὐτοὶ τυγχάνουσιν ὄντες· ἐμοὶ δὲ οὐδὲν πρὸς τοὺς τοιούτους ἐστὶν, ἀλλὰ πρὸς ἐκείνους, τοὺς οὐδὲν ἀποδεξομένους εἰκῆ τῶν λεγομένων, ἀλλὰ δυσχερανοῦντας, καὶ ζητήσοντας ἰδεῖν τι τοιοῦτον ἐν τοῖς ἐμοῖς λόγοις, ὃ παρὰ τοῖς ἄλλοις οὐχ εὑρήσουσι. Πρὸς οὓς ἔτι μικρὸν ὑπὲρ ἐμαυτοῦ θρασυνάμενος, ἤδη περὶ τοῦ πράγματος ποιήσομαι τοὺς λόγους. Τοὺς μὲν γὰρ ἄλλους ἐν τοῖς προοιμίοις ὁρῶ καταπραΰνοντας τοὺς ἀκροατὰς, καὶ προφασιζομένους ὑπὲρ τῶν μελλόντων ῥηθήσεσθαι, καὶ λέγοντας, τοὺς μὲν, ὡς ἐξ ὑπογυίου γέγονεν αὐτοῖς ἡ παρασκευὴ, τοὺς δὲ, ὡς χαλεπόν ἐστιν ἴσους τῷ μεγέθει λόγους τῶν ἔργων ἐξευρεῖν. Ἐγὼ δ', ἢν μὴ καὶ τοῦ πράγματος ἀξίως εἴπω, καὶ τῆς δόξης τῆς ἐμαυτοῦ, καὶ τοῦ χρόνου, μὴ μόνον τοῦ περὶ τὸν λόγον ἡμῖν διατριφθέντος, ἀλλὰ καὶ σύμπαντος οὗ βεβίωκα, παρακελεύομαι μηδεμίαν μοι συγγώμην ἔχειν, ἀλλὰ καταγελᾷν καὶ καταφρονεῖν· οὐδὲν γὰρ ὅ,τι τῶν τοιούτων οὐκ ἄξιός εἰμι πάσχειν,[6] εἴπερ, μηδὲν τῶν ἄλλων διαφέρων, οὕτω μεγάλας τὰς ὑποσχέσεις ποιοῦμαι. Περὶ μὲν οὖν τῶν ἰδίων, ταῦτά μοι προειρήσθω. Περὶ δὲ τῶν κοινῶν, ὅσοι μὲν εὐθὺς ἐπελθόντες διδάσκουσιν, ὡς χρὴ, διαλυσαμένους τὰς πρὸς ἡμᾶς αὐτοὺς ἔχθρας,[7] ἐπὶ τὸν βάρβαρον[8] τραπέσθαι, καὶ διεξέρχονται τάς τε συμφορὰς

---

§ 2. 2. Τοῖς ὑπὲρ τοὺς ἰδιώτας ἔχουσι.) Τοῖς οὖσιν ὑπὲρ τοὺς ἰδιώτας, Τοῖς μὴ ἰδιωτικῶς ἔχουσιν, καθὰ λέγεται, Καλῶς ἢ κακῶς ἔχειν. Οὐ γάρ ἐστι κατὰ τμῆσιν τὸ λεγόμενον, ἀντὶ τοῦ, Τοῖς ὑπερέχουσι τοὺς ἰδιώτας, ὥς τινες ὑπέλαβον. — 3. Πρὸς τοὺς ἀγῶνας . . . σκοποῦσιν, ὥσπερ ὁμοίως κτλ) Ὁ νοῦς, Παραβάλλουσι τοὺς ἐπιδεικτικοὺς λόγους πρὸς τοὺς δικανικοὺς, τοὺς γραφομένους περὶ τῶν ἰδίων συμβολαίων, ἤγουν περὶ ὧν πολίτης πρὸς πολίτην ἰδίᾳ διαφέρεται, ὥσπερ ἂν εἰ ἔδει ὁμοίους εἶναι ἀμφοτέρους, καὶ μὴ τοὺς μὲν περὶ τῶν ἰδίων συμβολαίων οὕτω προσῆκε γεγράφθαι, ὥστε μὴ σφάλεσθαι ὑπὸ τοῦ ἀντιδίκου τοὺς δὲ ἐπιδεικτικοὺς, κομψότερον καὶ ῥητορικώτερον πεπραγματεῦθαι. Τίνας δὲ τούτους λέγει τοὺς ἐπιδεικτικοὺς λόγους, αὐτὸς ἐξηγεῖται σαφέστερον ἔν τε τῇ ἀρχῇ τοῦ Παναθηναϊκοῦ, καὶ ἐν τῷ περὶ τῆς ἀντιδόσεως (σελ. 319—320). — 4. Ἢ σφᾶς μὲν διορῶντας.) Ἢ ὥσπερ ἂν εἰ οἱ μὲν τοὺς περὶ τῶν ἰδίων συμβολαίων γράφοντες λόγους διορᾷν εἶχον τί τὸ μέτριον ἐν τοῖς λόγοις, ὁ δὲ ἀκριβέστερον καὶ ἐπιδεικτικώτερον λέγειν εἰδὼς, μὴ καὶ ἁπλούστερον λέγειν, οἷός τ' ἦν. — 5. Οὐκ ἂν μὴ δυνάμενον εἰπεῖν.) Πλεονάζει ἡ ἄρνησις, ἢ γοῦν ἡ ἀπαγόρευσις. — 6. Οὐκ ἄξιός εἰμι πάσχειν.) Ἐκ διορθώσεως Οὐολφίου, ἀντὶ τοῦ, Οὐκ ἄξιός εἰμι μὴ πάσχειν. — 7. Τὰς πρὸς ἡμᾶς αὐτοὺς ἔχθρας.) Τοὺς πρὸς ἀλλήλους πολέμους τε καὶ τὰς διαφοράς. — 8. Ἐπὶ τὸν βάρβαρον.)

τὰς ἐκ τοῦ πολέμου τοῦ πρὸς ἀλλήλους ἡμῖν γεγενημένας, καὶ τὰς ὠφελείας τὰς ἐκ τῆς στρατείας τῆς ἐπ' ἐκεῖνον ἐσομένας, ἀληθῆ μὲν λέγουσιν, οὐ μὴν ἐντεῦθέν γε ποιοῦνται τὴν ἀρχὴν, ὅθεν ἂν μάλιστα συστῆσαι ταῦτα[9] δυνηθεῖεν. Τῶν γὰρ Ἑλλήνων οἱ μὲν ὑφ' ἡμῖν,[10] οἱ δὲ ὑπὸ Λακεδαιμονίοις[11] εἰσίν· αἱ γὰρ πολιτεῖαι, δι' ὧν οἰκοῦσι τὰς πόλεις, οὕτω τοὺς πλείστους αὐτῶν διειλήφασιν.[12] Ὅστις οὖν οἴεται τοὺς ἄλλους κοινῇ τι πράξειν ἀγαθὸν, πρὶν ἂν τοὺς προεστῶτας αὐτῶν διαλλάξῃ, λίαν ἁπλῶς[13] ἔχει, καὶ πόῤῥω τῶν πραγμάτων ἐστίν. Ἀλλὰ δεῖ τοὺς μὴ μόνον ἐπίδειξιν ποιουμένους, ἀλλὰ καὶ διαπράξασθαί τι βουλομένους, ἐκείνους τοὺς λόγους ζητεῖν, οἵτινες τὰς πόλεις ταύτας πείσουσιν ἰσομοιρῆσαι πρὸς ἀλλήλας, καὶ τὰς θ' ἡγεμονίας διελέσθαι, καὶ τὰς πλεονεξίας,[14] ἃς νῦν παρὰ τῶν Ἑλλήνων ἐπιθυμοῦσιν αὑταῖς γίγνεσθαι, ταύτας παρὰ τῶν βαρβάρων ποιήσασθαι.

§ 3. Τὴν μὲν οὖν ἡμετέραν πόλιν, ῥᾴδιον ἐπὶ ταῦτα προσαγαγεῖν. Λακεδαιμόνιοι δὲ νῦν μὲν ἔτι δυσπείστως ἔχουσι· παρειλήφασι γὰρ ψευδῆ λόγον, ὡς ἔστιν αὐτοῖς ἡγεῖσθαι πάτριον· ἢν δ' ἐπιδείξῃ τις αὐτοῖς ταύτην τὴν τιμὴν ἡμετέραν οὖσαν μᾶλλον ἢ ἐκείνων, τάχ' ἂν ἐάσαντες τὸ διακριβοῦσθαι περὶ τούτων, ἐπὶ τὸ συμφέρον ἔλθοιεν. Ἐχρῆν μὲν οὖν καὶ τοὺς ἄλλους ἐντεῦθεν ἄρχεσθαι, καὶ μὴ πρότερον περὶ τῶν ὁμολογουμένων συμβουλεύειν, πρὶν περὶ τῶν ἀμφισβητουμένων ἡμᾶς ἀπαλλάξαι.[2] Ἐμοὶ δ' οὖν ἀμφοτέρων ἕνεκα προσήκει περὶ ταῦτα ποιήσασθαι τὴν

---

Ἐπὶ τῶν Περσῶν βασιλέα. — 9. Συστῆσαι ταῦτα.) Εἰς ἓν συναγαγεῖν καὶ ὁμονοῆσαι ποιῆσαι τοὺς Ἕλληνας· πρὸς ἐκείνους γὰρ ἀναφέρεται τὸ, Ταῦτα, καίπερ ὂν οὐδέτερον. Τῆς τοιαύτης δ' ὑπαλλαγῆς καὶ ἐν τοῖς πρόσθεν ἕτερον ἐσημειωσάμεθα παράδειγμα. — 10. Ὑφ' ἡμῖν.) Ἐκ διορθώσεως Αὐγήρου, ἀντὶ τοῦ, Ἐφ' ἡμῖν. — 11. Ὑπὸ Λακεδαιμονίοις.) Ἐν τῷ ἐμῷ ἀντιγράφῳ φέρεται, Ὑπὸ Λακεδαιμονίων, κακῶς. — 12. Διειλήφασι.) Διακρίνουσι καὶ διαιροῦσι τοὺς Ἕλληνας. — 13. Ἁπλῶς.) Ἀνοήτως. — 14. Τὰς πλεονεξίας κτλ.) Τὰ κέρδη, ἃ παρ' ἀλλήλων οἱ Ἕλληνες ἐπιθυμοῦσιν ἔχειν, ταῦτα παρὰ τῶν βαρβάρων λαμβάνειν. Σημείωσαι δὲ τὸ, Ταύτας, πλεονάζον μετὰ τὸ, Τὰς, πρός τε σαφήνειαν καὶ ἔμφασιν πλείονα· ἄλλοτε δὲ προηγεῖται ἡ ἀντωνυμία τοῦ ἄρθρου, οἷον »Εἰ δεῖ »τούτους ἐφ' ἑκάστῳ τιμᾶσθαι τῶν »ἔργων, τοὺς ἐμπειροτάτους ὄντας.» Καὶ ἡ συνήθεια δὲ ἐφύλαξε τὸ σχῆμα λέγουσα, «ΤΟΥΤΟ δὲν ΤΟ ἤ»κουσα» ἢ, Δὲν ΤΟ ἤκουσα ΤΟΥΤΟ.

§ 3. 2. Πρὶν περὶ τῶν ἀμφισβητουμένων ἡμᾶς ἀπαλλάξαι.) Τὴν, Περὶ ἀβλεψίᾳ τῶν γραψάντων εἰσεῤῥῆσαι εἰς τὸ χωρίον ὑπολαβόντες διαγράφειν αὐτὴν παραινοῦσί τινες. Ἀλλ' ἴσως εἰς σύνδεσμον αὐτὴν μεταβλητέον, ἵν' ᾖ, Πρίνπερ τῶν ἀμφισβητουμένων ἡμᾶς ἀπαλλάξαι. Συνάπτεσθαι δὲ τῷ Πρὶν, τὸν, Πὲρ, ἔστι πιστώσασθαι ἔκ τε τοῦ Ὁμήρου (Ἰλιάδ. Ο, 588),

Φεύγει πρίν περ ὅμιλον ἀολλισθήμεναι ἀνδρῶν,

καὶ ἐξ ἄλλων πολλῶν. Ἴσως δὲ καὶ ἀντὶ τοῦ, Ἀπαλλάξαι, ἐγέγραπτο πάλαι Διαλλάξαι. Ἀλλὰ τούτων καίπερ πιθανῶς εἰκασμένων, ἐνδέχεται καὶ αὐτὸν τὸν Ἰσοκράτην κακῶς ἐκφράσαι τὸ λεγόμενον ἀντὶ τοῦ ἁπλουστέρου, Πρὶν ἐκείνων, πρὶν ὧν ἀμφισβητοῦμεν ἡμᾶς

πλείστην διατριβήν. μάλιστα μέν, ἵνα προὔργου τι γένηται,[3] καὶ παυσάμενοι τῆς πρὸς ἡμᾶς αὐτοὺς φιλονεικίας κοινῇ τοῖς βαρβάροις πολεμήσωμεν· εἰ δὲ τοῦτό ἐστιν ἀδύνατον, ἵνα δηλώσω τοὺς ἐμποδὼν ὄντας τῇ τῶν Ἑλλήνων εὐδαιμονίᾳ, καὶ πᾶσι γένηται φανερὸν, ὅτι καὶ πρότερον ἡ πόλις ἡμῶν δικαίως τῆς θαλάττης ἦρξε, καὶ νῦν οὐκ ἀδίκως ἀμφισβητεῖ περὶ τῆς ἡγεμονίας.[4] Τοῦτο μὲν γὰρ, εἰ δεῖ τούτους ἐφ' ἑκάστῳ τιμᾶσθαι τῶν ἔργων, τοὺς ἐμπειροτάτους ὄντας, καὶ μεγίστην δύναμιν ἔχοντας, ἀναμφισβητήτως ἡμῖν προσήκει τὴν ἡγεμονίαν ἀπολαβεῖν, ἥν πρότερον ἐτυγχάνομεν ἔχοντες· οὐδεὶς γὰρ ἂν ἑτέραν πόλιν ἐπιδείξειε τοσοῦτον ἐν τῷ πολέμῳ τῷ κατὰ γῆν ὑπερέχουσαν, ὅσον τὴν ἡμετέραν ἐν τοῖς κινδύνοις τοῖς κατὰ θάλατταν διαφέρουσαν. Τοῦτο δὲ, εἴ τινες ταύτην μὲν μὴ νομίζουσι[5] δικαίαν εἶναι τὴν κρίσιν, ἀλλὰ πολλὰς τὰς μεταβολὰς γίγνεσθαι (τὰς γὰρ δυναστείας οὐδέποτε τοῖς αὐτοῖς παραμένειν), ἀξιοῦσι δὲ τὴν ἡγεμονίαν ἔχειν, ὥσπερ ἄλλο τι γέρας, ἢ τοὺς πρώτους τυχόντας ταύτης τῆς τιμῆς, ἢ τοὺς πλείστων ἀγαθῶν αἰτίους τοῖς Ἕλλησιν ὄντας, ἡγοῦμαι καὶ τούτους γ' εἶναι μεθ' ἡμῶν· ὅσῳ γὰρ ἄν τις πορρωτέρω[6] σκοπῇ περὶ τούτων ἀμφοτέρων, τοσούτῳ πλεῖον ἀπολείψομεν τοὺς ἀμφισβητοῦντας περὶ αὐτῶν.

§ 4. Ὁμολογεῖται μὲν γὰρ τὴν πόλιν ἡμῶν ἀρχαιοτάτην εἶναι, καὶ μεγίστην,[2] καὶ παρὰ πᾶσιν ἀνθρώποις ὀνομαστοτάτην. Οὔτω δὲ καλλίστης ὑποθέσεως οὔσης, ἐπὶ τοῖς ἐχομένοις τούτων ἔτι μᾶλλον ἡμᾶς προσήκει τιμᾶσθαι. Ταύτην γὰρ οἰκοῦμεν, οὐχ ἑτέρους ἐκβαλόντες, οὐδὲ ἐρήμην καταλαβόντες, οὐδὲ ἐκ πολλῶν ἐθνῶν μιγάδες συλλεγέντες, ἀλλ' οὕτω καλῶς καὶ γνησίως γεγόναμεν,

---

ἀπαλλάξαι. — 3. Ἵνα προὔργου τι γένηται.) Οὕτως ἐξηγεῖται τὸ χωρίον τοῦτο ὁ Σουΐδας, «Προὔργου· πρὸ ἔργου, συμφέρον, πλέον.» Ἰσοκράτης φησὶν »Ἵνα προὔργου τι γένηται· ἀντὶ τοῦ, »Πλέον.« Εἰ δὲ ἀκριβεστέρας χρῄζεις ἐξηγήσεως, νόει μοι τὸ, Προὔργου, ἐπὶ τοῦ Ἀναγκαίου ἀπὸ μεταφορᾶς τῶν πρὸ ἔργου τινὸς ὀφειλομένων τελεῖσθαι, ὧν ἄνευ οὐκ ἔστιν ἐπιχειρῆσαι αὐτῷ τῷ ἔργῳ· καθὰ τὸ Πάρεργον, τὸ παρὰ τὸ ἔργον, καὶ οἷον ἐν παρόδῳ γινόμενον σημαίνει, καὶ τὸ Περίεργον, τὸ περὶ τὸ ἔργον οὐκ ἀναγκαίως τελούμενον. Ἔστιν οὖν ἐνταῦθα τὸ μὲν ἔργον αὐτὸ ἡ ἐπὶ τὸν βάρβαρον στρατεία τῶν Ἑλλήνων· τοῦτο δὲ γενέσθαι οὐχ οἷόν τε, μὴ ὁμονοησάντων αὐτῶν πρότερον· ἡ ἄρα τῶν Ἑλλήνων ὁμόνοια τῶν προὔργου τι, ἤγουν ἀναγκαία τυγχάνει οὖσα. — 4. Ἀμφισβητεῖ περὶ τῆς ἡγεμονίας.) Σημειοῦ τὸ πλῆρες, ὅπως ἂν, καὶ ὅταν ἐντυγχάνῃς τῷ, Ἀμφισβητεῖ τῆς ἡγεμονίας μὴ γενικὴν τοῦ ῥήματος ἀλλ' ἐλλειπτικὴν προθέσεως καλῇς τὸ, Ἡγεμονίας. — 5. Νομίζουσι.) Εἰς τοῦτο ἔτρεψα τὸ, Νομίζωσι. — 6. Πορρωτέρω.) Ἀνωτέρω τῶν χρόνων, τουτέστιν, ὅσῳ ἄν τις τὰ ἀρχαιότερα τῶν περὶ τῆς πόλεως ἱστορουμένων σκοπῇ.

§ 4. 2. Ἀρχαιοτάτην εἶναι καὶ μεγίς.) Πασῶν τῶν Ἑλληνίδων πόλεων, ἀρχαιοτάτην μὲν ὡς προτέραν τῶν ἄλλων οἰκισθεῖσαν ὑπ' αὐτοχθόνων τῶν Ἀθηναίων (Συμμαχ. σελ. 168.) μεγίστην δὲ (Ἑλέν. ἐγκώμ. σελ. 213), ἐπεὶ διακοσίων σταδίων ἦν ἡ πᾶσα περίμετρος (Δίων. Χρυσός. Λόγ. ϛ'.) ὅπερ ἐστὶν ὀκτὼ

ὥστ᾽ ἐξ ἧσπερ ἔφυμεν, ταύτην ἔχοντες ἅπαντα τὸν χρόνον διατελοῦμεν, αὐτόχθονες ὄντες, καὶ τοῖς ὀνόμασι τοῖς αὐτοῖς, οἷσπερ[3] τοὺς οἰκειοτάτους, τὴν πόλιν ἔχοντες προσειπεῖν· μόνοις γὰρ ἡμῖν τῶν Ἑλλήνων τὴν αὐτὴν τροφὸν καὶ πατρίδα καὶ μητέρα καλέσαι προσήκει. Καίτοι χρὴ τοὺς εὐλόγως μέγα φρονοῦντας, καὶ περὶ τῆς ἡγεμονίας δικαίως ἀμφισβητοῦντας, καὶ τῶν πατρίων[4] πολλάκις μεμνημένους, τοιαύτην τὴν ἀρχὴν τοῦ γένους ἔχοντας φαίνεσθαι.

§ 5. Τὰ μὲν οὖν ἐξ ἀρχῆς ὑπάρξαντα, καὶ παρὰ τῆς τύχης δωρηθέντα, τηλικαῦτα ἡμῖν τὸ μέγεθός ἐστιν· ὅσων δὲ τοῖς ἄλλοις ἀγαθῶν αἴτιοι γεγόναμεν, οὕτως ἂν κάλλιστα[2] ἐξετάσαιμεν, εἰ τόν τε χρόνον ἀπ᾽ ἀρχῆς, καὶ τὰς πράξεις τὰς τῆς πόλεως, ἐφεξῆς διέλθοιμεν· εὑρήσομεν γὰρ αὐτὴν οὐ μόνον τῶν πρὸς τὸν πόλεμον κινδύνων, ἀλλὰ καὶ τῆς ἄλλης κατασκευῆς,[3] ἐν ᾗ κατοικοῦμεν, καὶ μεθ᾽ ἧς πολιτευόμεθα, καὶ δι᾽ ἣν ζῆν δυνάμεθα,[4] σχεδὸν ἁπάσης αἰτίαν οὖσαν.[5] Ἀνάγκη δὲ προαιρεῖσθαι τῶν εὐεργεσιῶν μὴ τὰς διὰ μικρότητα διαλαθούσας, καὶ κατασιωπηθείσας, ἀλλὰ τὰς διὰ τὸ μέγεθος ὑπὸ πάντων ἀνθρώπων, καὶ πάλαι καὶ νῦν, καὶ πανταχοῦ, καὶ λεγομένας καὶ μνημονευομένας.[6]

§ 6. Πρῶτον μὲν[2] οὖν, οὗ πρῶτον ἡ φύσις ἡμῶν ἐδεήθη, διὰ τῆς πόλεως τῆς ἡμετέρας ἐπορίσθη· καὶ γὰρ εἰ μυθώδης[3] ὁ λόγος γέγονεν, ὅμως αὐτὸν καὶ νῦν ῥηθῆναι προσήκει. Δήμητρος γὰρ

που λευγῶν Γαλατικῶν. — 3. Οἵσπερ.) Ἐκ διορθώσεως Οὐολφίου, ἀντὶ τοῦ, Ὥσπερ. — 4. Πατρίων.) Καὶ τοῦτο ἐξ ἐκείνου, ἀντὶ τοῦ πατρῴων, ἣν διόρθωσιν καὶ ὁ Μόρος ἀπεδέξατο. Ἔπιθι τὰ εἰς τὸν Ἡλιόδωρον (σελ. 92) σημειωθέντα περὶ τῆς διαφορᾶς τῶν λέξεων.

§ 5. 2. Κάλλιστα.) Ἴσως γραπ. μάλιστα. Συνεχύθησαν γὰρ πολλάκις αἱ δύο αὗται λέξεις. — 3 Κατασκευῆς.) Νομοθεσίας ἀπὸ μεταφορᾶς ὧν αἱ τέχναι κατασκευάζουσι· τεχνικὸν τι γὰρ ἐστι καὶ τὸ τῆς πολιτείας σύνταγμα, ἐκ μερῶν συγκείμενον ἀλλήλοις συνηρμοσμένων. — 4. Δι᾽ ἣν ζῆν δυνάμεθα.) Οὐκ ἐπὶ τὸ ἁπλῶς βιοῦν ἐνταῦθα τὸ ζῆν, ἀλλ᾽ ἐπὶ τοῦ ὥσπερ ἀνθρώπους εἰκὸς, ζῆν, τουτέστι μὴ θηριωδῶς· καθὰ καὶ ἐν τῇ συνηθείᾳ φαμὲν, ἄνθρωπον δηλῶσαι βουλόμενοι αὐθάδη τε καὶ ἰδιότροπον, δὲν ἐμπορεῖ κανεὶς νὰ ζήσῃ μ᾽ αὐτόν. — 5. Αἰτίαν οὖσαν.) Πρὸς τὸ Κατασκευῆς, ἀμέσως συνάπτει τὸ, Αἰτίαν, πρὸς δὲ τὸ, Τῶν πρὸς τὸν πόλεμον κινδύνων, προσυπακούων ἔξωθεν τὸ, Τέχνης, Ἐμπειρίας ἤ τι ἕτερον τοιοῦτον· οὐ γὰρ πολέμων, ἀλλὰ τοῦ καλῶς καὶ τεχνικῶς γίνεσθαι τοὺς πολέμους, αἰτία ἡ τῶν Ἀθηναίων πόλις. — 6. Καὶ πάλαι καὶ νῦν καὶ πανταχοῦ καὶ λεγομένας, καὶ μνημονευομένας.) Σημείωσαι τὸ τοῦ λόγου δίαρμα, ὡς πομπικὸν, καὶ πανηγύρει μάλιστα πρέπον· κατεσκεύασε δὲ τοῦτο ὁ φιλόπατρις Ῥήτωρ διὰ τοῦ πολυσυνδέτου, Λυσίαν ἐνταῦθα προφανῶς μιμησάμενος. Οὕτω γὰρ κἀκεῖνος ἐξήνεγκε (Ἐπιτάφ. σελ. 107, ἔκδ. Ῥεϊσκ.) τὴν Ἀθηναίων ἀρετὴν ἐξαίρων τῷ λόγῳ, Καὶ μόνοι καὶ μεθ᾽ ἑτέρων, καὶ πεζομαχοῦντες, »καὶ ναυμαχοῦντες, πρὸς τοὺς Ἕλληνας κτλ.

§ 6. 2. Πρῶτον μὲν κτλ.) Ἡ ἀπόδοσις διὰ μακρῶν ἐν τοῖς ἑξῆς «Περὶ »δὲ τοὺς αὐτοὺς χρόνους.» — 3. Εἰ μυθώδης κτλ.) Γελεῖον τοῦτο· ἀλλὰ πολλῆς ἄξιον συγγνώμης, ὡς πατρίδος ἔρωτα δεινὸν ὑπεμφαῖνον. Παραπλήσιόν τι καὶ Λυκοῦργος (κατὰ Λεωκράτ. § 23) εἶπε, κατ᾽ Ἰσοκράτους μίμησιν, «Εἰ »γὰρ καὶ μυθωδέστερόν ἐστιν, ἀλλ᾽ ἁρμόσει (ἴσ. ἁρμόζει.) καὶ ὑμῖν ἅπασι

ἀφικνουμένης[4] εἰς τὴν χώραν ἡμῶν, ὅτε ἐπλανήθη, τῆς Κόρης ἁρπασθείσης, καὶ πρὸς τοὺς προγόνους τοὺς ἡμετέρους εὐμενῶς διατεθείσης ἐκ τῶν εὐεργεσιῶν, ἃς οὐχ οἷόν τ᾽ ἄλλοις ἢ τοῖς μεμυημένοις ἀκούειν, καὶ δούσης δωρεὰς διττάς, αἵπερ μέγισται τυγχάνουσιν οὖσαι, τούς τε καρπούς, οἳ τοῦ μὴ θηριωδῶς ζῆν ἡμᾶς αἴτιοι γεγόνασι, καὶ τὴν τελετήν,[5] ἧς οἱ μετέχοντες περί τε τῆς τοῦ βίου τελευτῆς,[6] καὶ τοῦ σύμπαντος αἰῶνος, ἡδίους τὰς ἐλπίδας ἔχουσιν, οὕτως ἡ πόλις ἡμῶν, οὐ μόνον θεοφιλῶς, ἀλλὰ καὶ φιλανθρώπως ἔσχεν, ὥστε κυρία γενομένη τοιούτων ἀγαθῶν, οὐκ ἐφθόνησε τοῖς ἄλλοις, ἀλλ᾽ ὧν ἔλαβεν ἅπασι μετέδωκε. Καὶ τὰ μὲν[7] ἔτι καὶ καὶ νῦν καθ᾽ ἕκαστον ἐνιαυτὸν δείκνυμεν· τῶν δὲ συλλήβδην τὰς ἐργασίας, καὶ τὰς χρείας, καὶ τὰς ὠφελείας, τὰς δι᾽ αὐτῶν γιγνομένας, ἐδιδάξαμεν. Καὶ τούτοις ἀπιστεῖν, μικρὸν ἔτι ἡμῶν προστιθέντων, οὐδεὶς ἂν ἀξιώσειεν.

§ 7. Πρῶτον μὲν γάρ, ἐξ ὧν ἄν τις καταφρονήσειε τῶν λεγομένων, ὡς ἀρχαίων ὄντων, ἐκ τῶν αὐτῶν τούτων εἰκότως ἂν καὶ τὰς πράξεις γεγενῆσθαι νομίσειεν· διὰ γὰρ τὸ πολλοὺς εἰρηκέναι, καὶ πάντας ἀκηκοέναι, προσήκει μὴ καινὰ μέν, πιστὰ δὲ δοκεῖν εἶναι τὰ λεγόμενα περὶ αὐτῶν. Ἔπειτα οὐ μόνον ἐνταῦθα καταφυγεῖν ἔχομεν, ὅτι τὸν λόγον καὶ τὴν φήμην ἐκ πολλοῦ παρειλήφαμεν, ἀλλὰ καὶ σημείοις μείζοσιν ἢ τούτοις ἐστὶν ἡμῖν χρήσασθαι περὶ αὐτῶν. Αἱ μὲν γὰρ πλεῖσται τῶν πόλεων, ὑπομνήματα τῆς παλαιᾶς εὐεργεσίας, ἀπαρχὰς τοῦ σίτου καθ᾽ ἕκαστον ἐνιαυτὸν ὡς ἡμᾶς ἀποπέμπουσι· ταῖς δὲ ἐκλειπούσαις,[2] πολλάκις ἡ Πυθία προσέταξεν ἀποφέρειν τὰ μέρη τῶν καρπῶν,[3] καὶ

"τοῖς νεωτέροις ἀκοῦσαι." — 4. Ἀφικνουμένης.) Ἴσως γραπτέον, Ἀφικομένης. — 5. Καὶ τὴν τελετήν.) Τὰ κατ᾽ Ἐλευσῖνα μυστήρια λέγει. — 6. Περί τε τῆς τοῦ βίου τελευτῆς κτλ.) Ὁ Κικέρων (Περ. Νόμ. Β, ιδ) ἐξέφρασε τὸ χωρίον τοῦτο, Neque solum cum lætitia vivendi rationem accipimus, sed etiam cum spe meliore moriendi, ὥσπερ ἂν εἰ ἐγέγραπτε, Περί τε τοῦ βίου καὶ τῆς τελευτῆς κτλ. Ὁ δὲ Κωμικὸς περὶ τῆς ἐν Μακάρων νήσοις εὐδαιμονίας αὐτοὺς παράγει τοὺς μεμυημένους λέγοντας (Βατρ. 454),

Μόνοις γὰρ ἡμῖν Ἥλιος
Καὶ φέγγος ἱλαρόν ἐστιν
Ὅσοι μεμυήμεθα.

— 7. Καὶ τὰ μέν.) Τὰ μυστήρια. — 8. Τῶν δὲ συλλήβδην τὰς ἐργασίας, καὶ τὰς χρείας.) Ἐξ ἑτέρας διορθώσεως τό, Ἐργασίας, ἀντὶ τοῦ, εὐεργεσίας· ὁ νοῦς, τῶν δὲ καρπῶν τὰς ἐργασίας, καὶ τὰς χρήσεις καὶ τὰς ὠφελείας ὁμοῦ πάσας ἡμεῖς οἱ Ἀθηναῖοι τοὺς λοιποὺς ἐδιδάξαμεν Ἕλληνας.

§ 7. 2. Ἐκλειπούσαις.) Ὀρθῶς ἔχει τὸ κατὰ παράτασιν, διὰ τὸ ἐπιφερόμενον, Πολλάκις· διὸ οὐ τρεπτέον αὐτὸ εἰς τὸ ἀοριστούμενον, Ἐκλιπούσαις, ὡς εἰκαστάν τινες. — 3. Πολλάκις ἡ Πυθία προσέταξεν ἀποφέρειν τὰ μέρη τῶν καρπῶν.) Τὴν Προηροσίαν οὕτω καλουμένην θυσίαν, ἣν ὑπὲρ ἁπάντων Ἑλλήνων ἔθυον Ἀθηναῖοι, ἔοικε λέγειν. Λιμοῦ γάρ, φασι, κατασχόντος τὴν οἰκουμένην ἅπασαν, χρωμένων, τίνα ἂν τρόπον παύσαιτο τὸ δεινόν, ἀνεῖλεν ὁ Πύθιος, εἰ προηρόσια ὑπὲρ ἁπάντων Ἑλλήνων θύσειαν Ἀθηναῖοι. Θυσάντων οὖν τῶν Ἀθηναίων, τὸ δεινὸν ἐπαύσατο· καὶ οὕτως ὥσπερ χαριστήριον οἱ πανταχόθεν τοῖς Ἀθηναίοις ἐξέπεμπον τῶν καρπῶν ἁπάντων τὰς ἀπαρχάς. (Σχολ.

ποιεῖν πρὸς τὴν πόλιν τὴν ἡμετέραν τὰ πάτρια. Καίτοι περὶ τίνων χρὴ μάλιστα πιστεύειν, ἢ περὶ ὧν ὅ,τε Θεὸς ἀναιρεῖ, καὶ πολλοῖς τῶν Ἑλλήνων συνδοκεῖ, καὶ τά τε πάλαι ῥηθέντα τοῖς παροῦσιν ἔργοις συμμαρτυρεῖ, καὶ τὰ νῦν γιγνόμενα τοῖς ὑπ' ἐκείνων εἰρημένοις ὁμολογεῖ;

§ 8. Χωρὶς δὲ τούτων, ἐὰν, ἅπαντα ταῦτα ἐάσαντες, ἀπὸ τῆς ἀρχῆς σκοπῶμεν, εὑρήσομεν, ὅτι τὸν βίον οἱ πρῶτοι φανέντες ἐπὶ γῆς, οὐκ εὐθὺς οὕτως ὥσπερ νῦν ἔχοντα κατέλαβον, ἀλλὰ κατὰ μικρὸν αὐτοῖς συνεπορίσαντο. Τίνας οὖν χρὴ μᾶλλον νομίζειν, ἢ δωρεὰν παρὰ τῶν Θεῶν λαβεῖν, ἢ ζητοῦντας αὐτοὺς ἐντυχεῖν; οὐ τοὺς ὑπὸ πάντων ὁμολογουμένους,[2] καὶ πρώτους γενομένους, καὶ πρός τε τὰς τέχνας εὐφυεστάτους ὄντας, καὶ πρὸς τὰ τῶν Θεῶν εὐσεβέστατα διακειμένους; Καὶ μὴν ὅσης προσήκει τιμῆς τυγχάνειν τοὺς τηλικούτων ἀγαθῶν αἰτίους, περίεργον[3] διδάσκειν· οὐδεὶς γὰρ ἂν δύναιτο δωρεὰν τοσαύτην[4] τὸ μέγεθος εὑρεῖν, ἥτις ἴση τοῖς πεπραγμένοις ἔσται.[5] Περὶ μὲν οὖν τοῦ μεγίστου τῶν εὐεργετημάτων, καὶ πρώτου γενομένου, καὶ πᾶσι κοινοτάτου, ταῦτ' ἔχομεν εἰπεῖν.

§ 9. Περὶ δὲ τοὺς αὐτοὺς χρόνους, ὁρῶσα τοὺς μὲν βαρβάρους τὴν πλείστην τῆς χώρας κατέχοντας, τοὺς δὲ Ἕλληνας εἰς μικρὸν τόπον κατακεκλεισμένους, καὶ διὰ σπανιότητα τῆς γῆς ἐπιβουλεύοντάς τε σφίσιν αὐτοῖς, καὶ στρατείας ἐπ' ἀλλήλους ποιουμένους, καὶ τοὺς μὲν δι' ἔνδειαν τῶν καθ' ἡμέραν, τοὺς δὲ διὰ τὸν πόλεμον ἀπολλυμένους, οὐδὲ ταῦθ' οὕτως ἔχοντα περιεῖδεν· ἀλλ' ἡγεμόνας εἰς τὰς πόλεις[2] ἐξέπεμψεν, οἳ παραλαβόντες τοὺς μάλιστα βίου δεομένους, στρατηγοὶ καταστάντες αὐτῶν, καὶ πολέμῳ κρατήσαντες τοὺς βαρβάρους, πολλὰς μὲν ἐφ' ἑκάτερα τῆς ἠπείρου[3]

---

Ἀριστοφ. Ἱππ. 725, Σουίδ. λέξ. Ἄβαρις, Εἰρεσιώνη, καὶ Προηροσίαι.) Ἐκαλεῖτο δὲ Προηρόσια οὐδετέρως, καὶ Προηροσία θηλυκῶς ἡ θυσία, διὰ τὸ πρὸ τοῦ ἀρότου τελεῖσθαι.

§ 8. 2. Ὁμολογουμένους.) Οὐκ ἀλόγως ὁ Οὐόλφιος γραπτέον εἶναί φησιν, Ὁμολογουμένως κατ' ἐπίῤῥημα. — 3. Περίεργον.) Περιττὸν οὐκ ἀναγκαῖον. Εἰς τοῦτο χρῆναι τρέπειν ὑπέλαβον τὸ παρ' ἅπασι, Πάρεργον. Εἴρηκε δὲ καὶ ἀνωτέρω (σελ. 38), Περίεργόν ἐστιν . . »πάλιν ἐνοχλεῖν τοῖς ἀκούουσιν.» Ἐπιθι τὰ ἐν τοῖς πρόσθεν σημειωθέντα μοι περὶ τῆς διαφορᾶς τῶν λέξεων. — 4. Δωρεὰν τοσαύτην.) Ἐκ διορθώσεως Οὐολφίου, ἀντὶ τοῦ, Δωρεᾶς τοσαύτης. — 5. Ἔσται.) Καὶ τοῦτο ἐξ ἐκείνου ἀντὶ τοῦ, Ἐστί.

§ 9. 2. Πόλεις.) Φέρεται ἔν τινι τῶν ἀντιγράφων, Χώρας. — 3. Ἐφ' ἑκάτερα τῆς ἠπείρου.) Ἐπὶ τὰ πρὸς τὸ Ἰόνιον, καὶ τὰ πρὸς τὸ Αἰγαῖον πέλαγος μέρη τῆς ἠπείρου, τουτέστι τῆς Εὐρώπης, ἡρμήνευσαν τῶν ὑπομνηματιστῶν οἱ νεώτατοι, τούτῳ χρώμενοι τεκμηρίῳ, ᾧ φησιν ὁ Ῥήτωρ, «Περὶ δὲ «τοὺς αὐτοὺς χρόνους« τουτέστι, περὶ οὓς εὑρέθησαν οἱ καρποί. Ταῦτα γὰρ πρὸ τῶν Τρωϊκῶν γέγονε· αἱ δ' εἰς Ἀσίαν Ἀθηναίων ἀποικίαι μετὰ τὰ Τρωϊκὰ φαίνονται σταλεῖσαι· ἕτεροι δὲ, τὸ, Ἐφ' ἑκάτερα τῆς ἠπείρου, ἐπὶ τῆς Ἀσίας τε καὶ τῆς Εὐρώπης ἐξεδέξαντο, καλῶς μὲν τῇ λέξει (ὤφελον γὰρ διορθοῦν τὸ χωρίον, γράφοντες Ἐφ' ἑκατέρας τῆς ἠπείρου), ἄμεινον δ' ἴσως τῶν ἑτέρων, τῇ διανοίᾳ. Ἐνδέχεται γὰρ τὸν Ἰσοκράτην,

πόλεις ἔκτισαν, πάσας δὲ τὰς νήσους[4] κατῴκισαν, ἀμφοτέρους δὲ, καὶ τοὺς ἀκολουθήσαντας, καὶ τοὺς ὑπομείναντας, ἔσωσαν· τοῖς μὲν γὰρ ἱκανὴν τὴν οἴκοι χώραν κατέλιπον, τοῖς δὲ πλείω τῆς ὑπαρχούσης ἐπόρισαν·[5] ἅπαντα γὰρ περιεβάλοντο τὸν τόπον, ὃν νῦν τυγχάνομεν κατέχοντες. Ὥστε καὶ τοῖς ὕστερον βουληθεῖσιν ἀποικίσαι τινὰς,[6] καὶ μιμήσασθαι τὴν πόλιν τὴν ἡμετέραν, πολλὴν ῥαστώνην ἐποίησαν· οὐ γὰρ αὐτοὺς ἔδει κτωμένους χώραν διακινδυνεύειν, ἀλλ' εἰς τὴν ὑφ' ἡμῶν[7] ἀφορισθεῖσαν εἰς ταύτην[8] οἰκεῖν ἰόντας. Καίτοι τίς ἂν ταύτης ἡγεμονίαν ἐπιδείξειεν ἢ πατριωτέραν τῆς πρότερον γενομένης, πρὶν πλείστας οἰκισθῆναι τῶν Ἑλληνίδων πόλεων, ἢ μᾶλλον συμφέρουσαν τῆς τοὺς μὲν βαρβάρους ἀναστάτους ποιησάσης, τοὺς δὲ Ἕλληνας ἐπὶ τοσαύτην εὐπορίαν προαγαγούσης;

§ 10. Οὐ τοίνυν ἐπειδὴ τὰ μέγιστα συνδιέπραξε, τῶν ἄλλων ὠλιγώρησεν· ἀλλ' ἀρχὴν μὲν ταύτην ἐποιήσατο τῶν εὐεργεσιῶν, τροφὴν τοῖς δεομένοις εὑρεῖν,[2] ἥνπερ χρὴ[3] τοὺς μέλλοντας καὶ περὶ τῶν ἄλλων καλῶς διοικήσειν. Ἡγουμένη δὲ τὸν βίον τὸν ἐπὶ τούτοις μόνον[4] οὔπω τοῦ ζῆν ἐπιθυμεῖν ἀξίως ἔχειν, οὕτως ἐπεμελήθη καὶ τῶν λοιπῶν, ὥστε τῶν παρόντων τοῖς ἀνθρώποις

---

τῇ φράσει, Περὶ τοὺς αὐτοὺς χρόνους· οὐχ οὕτως ἀποτόμως χρήσασθαι, ἀλλ' ὥσπερ ἂν εἰ ἔλεγε. Περὶ τοὺς αὐτοὺς παλαιοὺς χρόνους· ἐνδέχεται δὲ καὶ μνήμης ἁμαρτίᾳ συγχέαι τῶν ἀποικιῶν ἑκατέρων τοὺς χρόνους, ἢ καὶ πανηγυρικώτερον ἐξαίρειν βουλόμενον τὰς τῆς πατρίδος εὐεργεσίας, καταμελῆσαι τοῦ ἀκριβοῦς. Τούτων οὕτως ἐχόντων, οἶμαι γραπτέον εἶναι ὧδέ τε καὶ ἐν τῷ Παναθηναϊκῷ (σελ. 241). Ἐφ' ἑκατέρας τῆς ἠπείρου, καθὰ φέρεται ἀλλαχοῦ (σελ. 268) τοῦ αὐτοῦ Παναθηναϊκοῦ, καὶ οὐχ, ὡς διορθοῦν παρῄνει Αὐγῆρος (τῆς αὐτῆς ὢν ἐμοὶ δόξης περὶ τοῦ νοῦ τοῦ χωρίου), Ἐφ' ἑκατέρας τῆς ἠπείρου. — 4. Τὰς νήσους.) Τὰς καλουμένας Κυκλάδας. — 5. Ἀμφοτέρους δέ... ἐπόρισαν.) Φέρει ταύτην παράδειγμα τὴν ῥῆσιν καὶ Ἀριστοτέλης (Ῥητορικ. Γ, 9, 7) μικρὸν ἐξαλλάξας, »μνήμης δηλονότι πλάνῃ. «Ἀμφοτέρους »δ' ὤνησαν, καὶ τοὺς ὑπομείναντας καὶ »τοὺς ἀκολουθήσαντας· τοῖς μὲν γὰρ »πλείω τῆς οἴκοι προσεκτήσαντο, τοῖς »δὲ ἱκανὴν τὴν οἴκοι κατέλιπον.« — 6. Τινάς.) Ἔν τινι τῶν ἀντιγράφων, Τισί. — 7. Ὑφ' ἡμῶν.) Οὕτω καὶ τὸ ἐμὸν ἀντίγραφον, καθὰ καὶ πολλοὶ τῶν πρὸ ἐμοῦ, ἀντὶ τοῦ Ἀφ' ἡμῶν. — 8. Εἰς ταύτην.) Σημειοῦ καὶ πάλιν τὸν πλεονασμὸν τῆς δεικτικῆς, περὶ ἧς καὶ ἐν τοῖς πρόσθεν (σελ. 32) εἰρήκαμεν.

§ 10. 2. Τροφὴν τοῖς δεομένοις εὑρεῖν.) Οὐκ ὀρθῶς εἰς τὸ, Εὑροῦσα, παρῄνεσάν τινες τρέπειν τὸ ἀπαρέμφατον Εὑρεῖν, ὑπολαβόντες ἀσυνάρτητον εἶναι πρὸς τὰ προηγούμενα. Ἔστι γὰρ τὸ, »Ἀρχὴν ταύτην ἐποιήσατο, εὑρεῖν« ταὐτὸν τῷ, Ἀρχὴν ἐποιήσατο τὸ εὑρεῖν, τουτέστιν, Ἤρξατο ἀπὸ τοῦ εὑρεῖν. Χαίρει δὲ ὁ Ῥήτωρ τῷ σχήματι τούτῳ, οἷόν ἐστι καὶ τὸ (Εὐαγόρ. σελ. 193) »Λαβὼν δὲ ταύτην τὴν ἀφορμὴν, ἥν »περ χρὴ τοὺς εὐσεβεῖν βουλομένους, »ἀμύνεσθαι, κ. τ. λ. καὶ τὸ (Βουσιρ. σελ. »224), Ἤρξατο μὲν οὖν ἐντεῦθεν, »ὅθεν περ χρὴ τοὺς εὖ φρονοῦντας, ἅμα »τόπον ὡς κάλλιστον καταλαβεῖν, καὶ »τὴν τροφὴν ἱκανὴν τοῖς περὶ αὐτὸν ἐ»ξευρεῖν.« — 3. Ἣν περ χρὴ κ. τ. λ.) Ἀπὸ κοινοῦ τὸ, Ἀρχὴν ποιῆσθαι· τουτέστιν, Ἥνπερ ὀφείλουσιν ἀρχὴν ποιῆσθαι οἱ μέλλοντες καὶ περὶ τῶν λοιπῶν καλῶς διοικήσειν. — 4. Τὸν ἐπὶ τούτοις μόνον.) Τὸν μηδὲν ἔχοντα πλέον τῆς

ἀγαθῶν, ὅσα μὴ παρὰ τῶν θεῶν ἔχομεν, ἀλλὰ δι' ἀλλήλους[5] ἡμῖν γέγονε, μηδὲν μὲν ἄνευ τῆς πόλεως τῆς ἡμετέρας εἶναι, τὰ δὲ πλεῖστα διὰ ταύτην γεγενῆσθαι. Παραλαβοῦσα γὰρ τοὺς Ἕλληνας ἀνόμως ζῶντας, καὶ σποράδην οἰκοῦντας, καὶ τοὺς μὲν ὑπὸ δυναστειῶν ὑβριζομένους, τοὺς δὲ δι' ἀναρχίαν ἀπολλυμένους, καὶ τούτων τῶν κακῶν αὐτοὺς ἀπήλλαξε, τῶν μὲν κυρία γενομένη, τοῖς δ' αὑτὴν παράδειγμα ποιήσασα· πρώτη γὰρ καὶ νόμους ἔθετο, καὶ πολιτείαν κατεστήσατο. Δῆλον δὲ ἐκεῖθεν· οἱ γὰρ ἐν ἀρχῇ περὶ τῶν φονικῶν ἐγκαλέσαντες, καὶ βουληθέντες μετὰ λόγου, καὶ μὴ μετὰ βίας, διαλύσασθαι τὰ πρὸς ἀλλήλους, ἐν τοῖς νόμοις τοῖς ἡμετέροις τὰς κρίσεις ἐποιήσαντο περὶ τούτων. Καὶ μὲν δὴ καὶ τῶν τεχνῶν τάς τε πρὸς τὰ ἀναγκαῖα τοῦ βίου χρησίμας, καὶ τὰς πρὸς ἡδονὴν μεμηχανημένας, τὰς μὲν εὑροῦσα, τὰς δὲ δοκιμάσασα, χρῆσθαι τοῖς λοιποῖς παρέδωκε.

§ 11. Τὴν τοίνυν ἄλλην διοίκησιν οὕτω φιλοξένως κατεσκευάσατο, καὶ πρὸς ἅπαντας οἰκείως, ὥστε καὶ τοῖς χρημάτων δεομένοις, καὶ τοῖς ἀπολαῦσαι τῶν ὑπαρχόντων ἐπιθυμοῦσιν, ἀμφοτέροις ἁρμόττειν, καὶ μήτε τοῖς εὐδαιμονοῦσι, μήτε τοῖς δυστυχοῦσιν ἐν ταῖς ἑαυτῶν[2] ἀχρήστως ἔχειν, ἀλλ' ἑκατέροις αὐτῶν εἶναι παρ' ἡμῖν, τοῖς μὲν ἡδίστας διατριβάς, τοῖς δὲ ἀσφαλεστάτην καταφυγήν. Ἔτι δὲ τὴν χώραν οὐκ αὐτάρκη κεκτημένων ἑκάστων, ἀλλὰ τὰ μὲν ἐλλείπουσαν, τὰ δὲ πλείω τῶν ἱκανῶν φέρουσαν, καὶ πολλῆς ἀπορίας οὔσης, τὰ μὲν ὅπου χρὴ διαθέσθαι,[3] τὰ δὲ ὁπόθεν εἰσαγαγέσθαι, καὶ ταύταις ταῖς συμφοραῖς ἐπήμυνεν. Ἐμπόριον γὰρ ἐν μέσῳ τῆς Ἑλλάδος τὸν Πειραιᾶ κατεστήσατο, τοσαύτην ὑπερβολὴν ἔχον, ὥστε ἃ παρὰ τῶν ἄλλων ἓν παρ' ἑκάστων χαλεπόν ἐστι λαβεῖν, ταῦθ' ἅπαντα παρ' αὐτῆς ῥᾴδιον εἶναι πορίσασθαι.

§ 12. Τῶν τοίνυν τὰς πανηγύρεις καταστησάντων, δικαίως ἐπαινουμένων, ὅτι τοιοῦτον ἔθος ἡμῖν παρέδοσαν, ὥστε σπεισαμένους πρὸς ἀλλήλους,[2] καὶ τὰς ἔχθρας τὰς ἐνεστηκυίας διαλυσα-

---

ἀναγκαίας οἰκήσεως καὶ τροφῆς βίον. — 5. Δι' ἀλλήλους.) Κομψότερον τοῦτο τῆς Οὐολφιανῆς διορθώσεως, Δι' ἀλλήλων, ἄλλως τε καὶ διὰ τὸ ἐχόμενον, Διὰ ταύτην.

§ 11. 2. Ἐν ταῖς ἑαυτῶν.) Οὕτω λέγεται κατ' ἔλλειψιν τοῖς Ἀττικοῖς ἀντὶ τοῦ, Ἐν ταῖς ἑαυτῶν πατρίσι, καθὰ καὶ προϊὼν ἐρεῖ, «Ἐν ταῖς αὑτῶν ἀνόμως ἀπόλλυσθαι.» ᾧ καὶ δῆλον, ὅτι τὸ ἔν τινι τῶν ἀντιγράφων φερόμενον, Ἐν πατρίσι ταῖς ἑαυτῶν, ἐπεξήγησις, οὐ διάφορός ἐστι γραφή. — 3. Διαθέσθαι.) Σημαίνει τὸ, Διατίθεσθαι, καὶ τὸ Πιπράσκειν, καθὰ καὶ ἡ διάθεσις (ᾗ λέξει ἐχρήσατο ἀλλαχοῦ Βουσιρ. σελ. 224), τὴν Πρᾶσιν, ὡς ἐξηγήσατο ὁ Ἁρποκρατίων (λέξ. Διάθεσις).

§ 12. 2. Σπεισαμένους πρὸς ἀλλήλους.) Διὰ σπονδῶν καὶ θυσιῶν φιλίαν πρὸς ἀλλήλους ποιησαμένους. Λέγει δὲ τὰς καλουμένας Ὀλυμπιακὰς ἐκεχειρίας, ἃς καὶ Ὀλυμπιακὰς σπονδὰς Αἰσχίνης ὀνομάζει (περὶ παραπρεσβ. σελ. 197). Ἔπιθι Φλέγοντα τὸν Τραλλιανὸν (Περὶ

μένους, συνελθεῖν εἰς ταὐτὸν, μετὰ δὲ τοῦτο εὐχὰς καὶ θυσίας κοινὰς ποιησαμένους, ἀναμνησθῆναι μὲν τῆς συγγενείας τῆς πρὸς ἀλλήλους ὑπαρχούσης, εὐμενεστέρως δ' εἰς τὸν λοιπὸν χρόνον διατεθῆναι πρὸς ἡμᾶς αὐτοὺς, καὶ τάς τε παλαιὰς ξενίας ἀνανεώσασθαι, καὶ καινὰς ἄλλας ποιήσασθαι, καὶ μήτε τοῖς ἰδιώταις, μήτε τοῖς διενεγκοῦσι τὴν φύσιν, ἀργὸν εἶναι τὴν διατριβὴν, ἀλλὰ, ἀθροισθέντων τῶν Ἑλλήνων εἰς ἓν, ἐγγενέσθαι[3] τοῖς μὲν ἐπιδείξασθαι τὰς ἑαυτῶν εὐτυχίας,[4] τοῖς δὲ θεάσασθαι τούτους πρὸς ἀλλήλους ἀγωνιζομένους, καὶ μηδ' ἑτέρους ἀθύμως[5] διάγειν, ἀλλ' ἑκατέρους ἔχειν ἐφ' οἷς φιλοτιμηθῶσιν, οἱ μὲν, ὅταν ἴδωσι τοὺς ἀθλητὰς ἑαυτῶν ἕνεκα πονοῦντας, οἱ δὲ, ὅταν ἐνθυμηθῶσιν, ὅτι πάντες ἐπὶ τὴν σφετέραν θεωρίαν ἥκουσι· τοσούτων τοίνυν ἀγαθῶν διὰ τὰς συνόδους ἡμῖν γιγνομένων, οὐδ' ἐν τούτοις ἡ πόλις ἡμῶν ἀπελείφθη. Καὶ γὰρ θεάματα πλεῖστα καὶ κάλλιστα κέκτηται, τὰ μὲν ταῖς δαπάναις ὑπερβάλλοντα, τὰ δὲ κατὰ τὰς τέχνας εὐδοκιμοῦντα, τὰ δὲ ἀμφοτέροις τούτοις διαφέροντα. Καὶ τὸ πλῆθος τῶν ἀφικνουμένων ὡς ἡμᾶς τοσοῦτόν ἐστιν, ὥστε, εἴ τι ἐν τῷ πλησιάζειν ἀλλήλοις[6] ἀγαθόν ἐστι, καὶ τοῦτο ὑπ' αὐτῆς περιειλῆφθαι. Πρὸς δὲ τούτοις καὶ φιλίας εὑρεῖν πιστοτάτας, καὶ συνουσίαις ἐντυχεῖν παντοδαπαῖς, μάλιστα παρ' ἡμῖν ἐστίν. Ἔτι δὲ ἀγῶνας ἰδεῖν μὴ μόνον[7] τάχους καὶ ῥώμης, ἀλλὰ καὶ λόγων καὶ γνώμης, καὶ τῶν ἄλλων ἔργων ἁπάντων, καὶ τούτων ἆθλα μέγιστα. Πρὸς γὰρ οἷς αὐτὴ τίθησι καὶ τοὺς ἄλλους διδόναι συναναπείθει· τὰ γὰρ ὑφ' ἡμῶν κριθέντα τοσαύτην λαμβάνειν δόξαν, ὥστε παρὰ πᾶσιν ἀνθρώποις ἀγαπᾶσθαι.[8] Χωρὶς δὲ τούτων, αἱ μὲν ἄλλαι πανηγύρεις διὰ πολλοῦ χρόνου συλλεγεῖσαι, ταχέως διελύθησαν· ἡ δὲ ἡμετέρα πόλις ἅπαντα τὸν αἰῶνα τοῖς ἀφικνουμένοις πανήγυρίς ἐστιν.

§ 13. Φιλοσοφίαν τοίνυν, ἣ πάντα ταῦτα συνεξεῦρε καὶ συγκατεσκεύασε, καὶ πρός τε τὰς πράξεις ἡμᾶς ἐπαίδευσε, καὶ

---

τῶν Ολυμπίων), καὶ τὰ σημειωθέντα μοι εἰς Ἡρακλείδην τὸν Ποντικὸν (Πρόδρ. Ἑλλην. Βιβλιοθ. σελ. 351). — 3. Ἐγγενέσθαι.) Εἰς τοῦτο δεῖν ἔγνων τρέψαι τὸ παρ' ἅπασιν ἁπλοῦν, Γενέσθαι. Αἴτιον δὲ τοῦ παραλελεῖφθαι τὴν πρόθεσιν τοῖς γράφουσι τὸ προηγούμενον, Ἕν. — 4. Τὰς ἑαυτῶν εὐτυχίας.) Τὸν πλοῦτον δηλονότι, τὴν ῥώμην, καὶ τὴν παίδευσιν, καθὰ προϊὼν αἰνίξεται, καὶ ἀλλαχοῦ (Περὶ τοῦ ζεύγ. σελ. 353) διαῤῥήδην εἴρηκε· τούτων γὰρ ἦσαν αἱ ἐπιδείξεις. — 5. Ἀθύμως.) Ἔν τινι τῶν ἀντιγράφων φέρεται, Ῥαθύμως. — 6. Ἀλλήλοις.) Οὕτω καὶ τὸ ἐμὸν ἀντίγραφον, ὡς διώρθου ὁ Οὐόλφιος, ἀντὶ τοῦ, Ἀλλήλους. — 7. Μὴ μόνον.) Ἀβλεψία τῶν γραψάντων ἔοικε παρεισδῦναι ὁ, Καὶ, ἐν τῷ παρὰ τοῖς ἄλλοις, Καὶ μὴ μόνον. — 8. Παρὰ πᾶσιν ἀνθρώποις ἀγαπᾶσθαι.) Σημείωσαι τὴν πρόθεσιν, διὰ τὸ, Πᾶσιν ἀνθρώποις, ὅπερ, εἰ ἀπροθέτως ἐλέγετο, οὐκ ἂν ὤκνησαν Γραμματικῶν παῖδες δοτικὴν παθητικὴν προσαγορεῦσαι.

πρὸς ἀλλήλους ἐπράϋνε, καὶ τῶν συμφορῶν τάς τε δι' ἀμαθίαν, καὶ τὰς ἐξ ἀνάγκης γιγνομένας[2] διεῖλε, καὶ τὰς μὲν φυλάξασθαι, τὰς δὲ καλῶς ἐνεγκεῖν ἐδίδαξεν, ἡ πόλις ἡμῶν κατέδειξε,[3] καὶ λόγους ἐτίμησεν, ὧν πάντες μὲν ἐπιθυμοῦσι, τοῖς δὲ ἐπισταμένοις φθονοῦσι· συνειδυῖα μὲν, ὅτι τοῦτο μόνον ἐξ ἁπάντων τῶν ζώων ἴδιον ἔφυμεν ἔχοντες, καὶ ὅτι, τούτῳ πλεονεκτήσαντες, καὶ τοῖς ἄλλοις ἅπασιν αὐτῶν διηνέγκαμεν, ὁρῶσα δὲ περὶ μὲν τὰς ἄλλας πράξεις οὕτω ταραχώδεις οὔσας τὰς τύχας, ὥστε πολλάκις ἐν αὐταῖς καὶ τοὺς φρονίμους ἀτυχεῖν, καὶ τοὺς ἀνοήτους κατορθοῦν, τῶν δὲ λόγων τῶν καλῶς καὶ τεχνικῶς ἐχόντων, οὐ μετὸν τοῖς φαύλοις, ἀλλὰ ψυχῆς εὖ φρονούσης ἔργον ὄντας, καὶ τούς τε σοφοὺς καὶ τοὺς ἀμαθεῖς δοκοῦντας εἶναι, ταύτῃ πλεῖστον ἀλλήλων διαφέροντας, ἔτι δὲ τοὺς ἐξ ἀρχῆς ἐλευθέρως τεθραμμένους, ἐκ μὲν ἀνδρίας καὶ πλούτου καὶ τῶν τοιούτων ἀγαθῶν οὐ γιγνωσκομένους, ἐκ δὲ τῶν λεγομένων μάλιστα καταφανεῖς γιγνομένους, καὶ τοῦτο σύμβολον τῆς παιδεύσεως ἡμῶν ἑκάστου πιστότατον ἀποδεδειγμένον, καὶ τοὺς τῷ λόγῳ καλῶς χρωμένους, οὐ μόνον ἐν ταῖς αὐτῶν δυναμένους, ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις ἐντίμους ὄντας. Τοσοῦτον δ' ἀπολέλοιπεν[4] ἡ πόλις ἡμῶν περὶ τοῦ φρονεῖν καὶ λέγειν[5] τοὺς ἄλλους ἀνθρώπους, ὥσθ' οἱ ταύτης μαθηταὶ τῶν ἄλλων διδάσκαλοι γεγόνασι, καὶ τὸ τῶν Ἑλλήνων ὄνομα πεποίηκε μηκέτι τοῦ γένους, ἀλλὰ τῆς διανοίας δοκεῖν τεκμήριον εἶναι, καὶ μᾶλλον Ἕλληνας καλεῖσθαι τοὺς τῆς παιδεύσεως τῆς ἡμετέρας, ἢ τοὺς τῆς κοινῆς φύσεως μετασχόντας.

---

§ 13. 2. Τάς τε δι' ἀμαθίαν, καὶ τὰς ἐξ ἀνάγκης γιγνομένας.) Συμφοραὶ ἐξ ἀνάγκης εἰσὶ γῆς σεισμοὶ, ὑδάτων ἐπικλύσεις ἀθρόαι, τοῦ περιέχοντος ἀνωμαλίαι ἀνθρώπους, ζῶα, καὶ φυτὰ λυμαινόμεναι, καὶ τὰ τοιαῦτα· συμφοραὶ δι' ἀμαθίαν, πυρπολήσεις πόλεων σπάνει τῶν σβεστηρίων ὀργάνων, λοιμὸς ἐκ τοῦ μὴ φυλάττεσθαι τὴν μετὰ τῶν νοσούντων ἀνάχρωσιν, ἢ λιμὸς διὰ τὸ μὴ ἐν δέοντι γενέσθαι τὴν συγκομιδήν τε καὶ φυλακὴν τῶν καρπῶν, καὶ ὅλως ἅπανθ' ὅσα ἡ τῶν διοικούντων τὰς πόλεις κακία καὶ ἄγνοια προσεξευρίσκει καὶ προστίθησι τοῖς ἀναγκαίοις μὴ ἀναγκαῖα κακά. — 3. Ἡ πόλις ἡμῶν κατέδειξε.) Προσέθηκα, εἰς ἀπαρτισμὸν τῆς περιόδου, ἐξ ἀντιγράφου τὸ, Κατέδειξε, ἄλλως τε καὶ φίλην οὖσαν τὴν λέξιν τῷ Ῥήτορι (Πρὸς Νικοκλ. σελ. 16, Βουσιρ. σελ. 226, Παναθην. 275 καὶ 276). Οἱ δὲ τὴν προσθήκην ἀποδοκιμάζοντες οὕτω συναρτῶσι τὸν λόγον, «Ἡ πόλις τοίνυν ἡμῶν φιλοσοφίαν (ἣ πάντα ταῦτα συνεξεῦρε... καὶ ... ἐδίδαξεν) καὶ λόγους ἐτίμησεν» ὥστε κοινῶς ἓν ῥῆμα τὸ, Ἐτίμησεν, πρὸς ἀμφότερα τό,τε, Φιλοσοφίαν, καὶ τὸ, Λόγους, συνάπτεσθαι, ὅπερ ἀπᾴδει τῆς φίλης Ἰσοκράτει σαφηνείας. — 4. Τοσοῦτον δ' ἀπολέλοιπεν) Προσέθηκα τὸν σύνδεσμον ἐξ Αὐγήρου διορθώσεως. — 5. Περὶ τοῦ φρονεῖν καὶ λέγειν.) Καινῶς τοῦτο ἀντὶ τοῦ μᾶλλον ἐν χρήσει, Τῷ φρονεῖν καὶ λέγειν, κατὰ δοτικὴν (ὡς ἐν τῷ Παναθηναϊκ. τοῖς μὲν Γραμματικοῖς Συνεκδοχικὴν καλουμένην, οὖσαν δ' ἐλλειπτικὴν τῆς, Ἐν, προθέσεως, ὡς ἐκ τοῦ, «Τὴν ἐν ἅπασι τούτοις ἀπολελειμμένην.» (Παναθηναϊκός. σελ. 244) ἀποχρόντως δηλοῦται. Οὐκ ἀπιθάνως Οὐόλφιος εἰκάζει γραπτέον

§ 14. Ἵνα δὲ μὴ δοκῶ περὶ τὰ μέρη διατρίβειν, ὑπὲρ ὅλων τῶν πραγμάτων ὑποθέμενος ἐρεῖν, μηδὲ ἐκ τούτων ἐγκωμιάζειν τὴν πόλιν, ἀπορῶν τὰ πρὸς τὸν πόλεμον αὐτὴν ἐπαινεῖν, ταῦτα μὲν εἰρήσθω μοι πρὸς τοὺς ἐπὶ τοῖς τοιούτοις φιλοτιμουμένους. Ἡγοῦμαι δὲ[2] τοὺς προγόνους[3] ἡμῶν, οὐχ ἧττον ἐκ τῶν κινδύνων τῶν πρὸς τὸν πόλεμον,[4] τιμᾶσθαι προσήκειν, ἢ τῶν ἄλλων εὐεργεσιῶν. Οὐ γὰρ μικρούς, οὐδὲ ὀλίγους, οὐδὲ ἀφανεῖς ἀγῶνας ὑπέμειναν, ἀλλὰ πολλοὺς καὶ δεινοὺς καὶ μεγάλους, τοὺς μὲν ὑπὲρ τῆς αὐτῶν[5] χώρας, τοὺς δὲ ὑπὲρ τῆς τῶν ἄλλων ἐλευθερίας· ἅπαντα γὰρ τὸν χρόνον διετέλεσαν κοινὴν τὴν πόλιν παρέχοντες, καὶ τοῖς ἀδικουμένοις ἀεὶ τῶν Ἑλλήνων ἐπαμύνουσαν.[6] Διὸ δὴ καὶ κατηγοροῦσί τινες ἡμῶν, ὡς οὐκ ὀρθῶς βουλευομένων, ὅτι τοὺς ἀσθενεστέρους εἰθίσμεθα θεραπεύειν, ὥσπερ οὐ μετὰ τῶν ἐπαινεῖν βουλομένων ἡμᾶς τοὺς λόγους ὄντας τοὺς τοιούτους.[7] Οὐ γὰρ ἀγνοοῦντες, ὅσον διαφέρουσιν αἱ μείζους τῶν συμμαχιῶν πρὸς τὴν ἀσφάλειαν, οὕτως ἐβουλευσάμεθα[8] περὶ αὐτῶν, ἀλλά, πολλὺ τῶν ἄλλων ἀκριβέστερον εἰδότες τὰ συμβαίνοντα ἐκ τῶν τοιούτων, ὅμως ᾑρούμεθα τοῖς ἀσθενεστέροις, καὶ παρὰ τὸ συμφέρον, βοηθεῖν μᾶλλον, ἢ τοῖς κρείττοσι, τοῦ λυσιτελοῦντος ἕνεκα, συναδικεῖν.

§ 15. Γνοίη δ᾽ ἄν τις καὶ τὸν τρόπον καὶ τὴν ῥώμην[2] τῆς πόλεως ἐκ τῶν ἱκετειῶν, ἃς ἤδη τινὲς ἡμῶν ἐποιήσαντο. Τὰς μὲν οὖν ἢ νεωστὶ γεγενημένας, ἢ περὶ μικρῶν ἐλθούσας, παραλείψω. Πολὺ δὲ πρὸ τῶν Τρωϊκῶν (ἐκεῖθεν γὰρ δίκαιων τὰς πίστεις λαμβάνειν τοὺς περὶ τῶν πατρίων ἀμφισβητοῦντας) ἦλθον οἵ θ᾽ Ἡρακλέους παῖδες, καὶ μικρὸν πρὸ τούτων Ἄδραστος ὁ Ταλαοῦ, βασιλεὺς ὢν Ἄργους· οὗτος μὲν ἐκ τῆς στρατείας δεδυστυχηκὼς τῆς ἐπὶ Θήβας,[3] καὶ τοὺς ὑπὸ τῇ Καδμείᾳ[4]

εἶναι ὧδε, Περὶ τὸ φρονεῖν καὶ λέγειν.

§ 14. 2. Ἡγοῦμαι δὲ κ. τ. λ.) Ἀπὸ τῶν δὲ μέχρι τοῦ κθ΄. κεφαλαίου (σελ. 57) ταῦτά ἐστι τὰ λεγόμενα τοῖς ἐν τῷ Περὶ ἀντιδόσεως (σελ. 322 καὶ 332), ἀλλὰ διαφόρως τὰ πολλὰ γεγραμμένα, εἴτε διὰ τοὺς ἀντιγράψαντας, εἴθ᾽, ὃ καὶ μᾶλλον εἰκός, αὐτοῦ Ἰσοκράτους μεταβαλόντος τὰ πλεῖστα. Τὰς γραφικὰς τοίνυν διαφορὰς ταύτας διὰ τῶν γραμμάτων Ἀντὶ (ἃ σημαίνει τὸ Περὶ Ἀντιδόσεως), ὅπου ἂν ᾖ χρεία, καθεξῆς καὶ ἡμεῖς δηλώσωμεν. — 3. Τοὺς προγόνους.) Ἀντὶ Τοῖς προγόνοις. — 4. Πρὸς τὸν πόλεμον.) Ἀντὶ Περὶ τὸν πόλεμον. — 5. Αὑτῶν.) Ἀντ. Ἑαυτῶν. — 6. Ἐπαμύνουσαν.) Ἀντ. Ἐπαμύνοντες· πρὸς τὸ, Πρόγονοι. — 7. Ὥσπερ οὐ μετὰ τῶν ἐπαινεῖν βουλομένων ἡμᾶς τοὺς λόγους ὄντας τοὺς τοιούτους.) Ὥσπερ ἂν εἰ οἱ τοιοῦτοι λόγοι, ἤγουν αἱ τοιαῦται κατηγορίαι, οὐ συνηγόρουν μᾶλλον, ἢ ἀντέλεγον τοῖς ἐπαινεῖν ἡμᾶς βουλομένοις. — 8. Ἐβουλευσάμεθα.) Ἀντ. Ἐβουλευόμεθα.

§ 15. 2. Ῥώμην.) Ἐκ τούτου ἔτρεψεν ὁ Λάγγιος καὶ τὸ ἐν Ἀντ. Γνώμην, εἰς τὸ, Ῥώμην. — 3. Δεδυστυχηκὼς τῆς ἐπὶ Θήβας.) Ἀντ. Τῆς ἐπὶ Θήβας δεδυστυχηκώς. — 4. Ὑπὸ τῇ Καδμείᾳ.) Καθὰ καὶ ἐν Ἀντ. ἐν ἄλλοις δὲ γράφηται κακῶς Ἐπὶ τῇ Καδμείᾳ.

**τελευτήσαντας** αὐτὸς μὲν οὐ δυνάμενος ἀνελέσθαι,[5] τὴν δὲ πόλιν ἡμῶν[6] ἀξιῶν βοηθεῖν ταῖς κοιναῖς τύχαις,[7] καὶ μὴ περιορᾷν[8] τοὺς ἐν τοῖς πολέμοις ἀποθνήσκοντας ἀτάφους γιγνομένους, μηδὲ παλαιὸν ἔθος καὶ πάτριον νόμον καταλυόμενον· οἱ δὲ παῖδες Ἡρακλέους,[9] φεύγοντες τὴν Εὐρυσθέως ἔχθραν, καὶ τὰς μὲν ἄλλας πόλεις ὑπερορῶντες, ὡς οὐκ ἂν δυναμένας βοηθῆσαι ταῖς ἑαυτῶν[10] συμφοραῖς, τὴν δ' ἡμετέραν ἱκανὴν νομίζοντες εἶναι[11] μόνην ἀποδοῦναι χάριν, ὑπὲρ ὧν ὁ πατὴρ αὐτῶν ἅπαντας[12] ἀνθρώπους εὐηργέτησεν. Ἐκ δὴ τούτων[13] ῥᾴδιον κατιδεῖν, ὅτι καὶ κατ' ἐκεῖνον τὸν χρόνον ἡ πόλις ἡμῶν ἡγεμονικῶς εἶχε, καὶ νῦν οὐκ ἀδίκως ἀμφισβητεῖ περὶ τῆς ἡγεμονίας.[14] Τίνες[15] γὰρ ἂν ἱκετεύειν τολμήσαιεν,[16] ἢ τοὺς ἥττους αὑτῶν, ἢ τοὺς ὑφ' ἑτέροις ὄντας, παραλιπόντες[17] τοὺς μείζω δύναμιν ἔχοντας, ἄλλως τε καὶ περὶ πραγμάτων οὐκ ἰδίων, ἀλλὰ κοινῶν, καὶ περὶ ὧν οὐδένας ἄλλους εἰκὸς ἦν ἐπιμεληθῆναι, πλὴν τῶν προεστάναι τῶν Ἑλλήνων ἀξιούντων.[18] Ἔπειτα, οὐδὲ ψευσθέντες[19] φαίνονται τῶν ἐλπίδων, δι' ἃς κατέφυγον ἐπὶ τοὺς προγόνους ἡμῶν. Ἀνελόμενοι γὰρ τὸν πόλεμον,[20] ὑπὲρ μὲν τῶν τελευτησάντων πρὸς Θη-

---

Ἐν δ' Ἑλένης ἐγκωμίῳ (σελ. 212) κατ' αἰτιατικὴν εἴρηκεν, Ὑπὸ τὴν Καδμείαν. Ἐκαλεῖτο δὲ οὕτως ἡ τῶν Θηβαίων ἀκρόπολις. — 5. Ἀνελέσθαι.) Κυρίως ἐνταῦθα, τὸ χαμόθεν ἀναλαβεῖν, ὡς καὶ τὸ ἐν τῇ συνηθείᾳ, Σηκόνω, οἷον ἂν φαῖμεν ἑρμηνεύειν βουλόμενοι τόδε τὸ χωρίον, Μὴ δυνάμενος νὰ σηκώσῃ τὰ λείψανα τῶν ἀποθανόντων. Μετ' ὀλίγα δὲ καὶ μεταφορικῶς ἐρεῖ Ἀνελόμενοι πόλεμον, ἣν μεταφορὰν ἔσωσε καὶ ἡ συνήθεια, Ἐσήκωσαν πόλεμον, λέγουσα. Τοῦτο δὲ τὸ Σηκόνω (καὶ οὐ Σικώνω, οὔτε Συκώνω, ὡς γράφεται παρὰ τοῖς Λεξικογράφοις), ἐστὶ παρὰ τὸ Σηκόω, οὗ τὸ παράγωγον Σήκωμα (τὸ ἐν τῇ συνηθείᾳ καλούμενον, Ἀντιζύγιον) μόνον εὕρηται παρὰ τοῖς ἀρχαίοις, καὶ τὰ σύνθετα Ἀντισηκόω, Ἀνασηκόω· καὶ Διασηκόω. Καὶ τὸ μὲν πρῶτον σημαίνει τὸ τῆς συνηθείας ἀντιζυγίζω, τουτέστι βάρος βάρει ἐξισῶ, ἢ Βάρος ἀνέλκω καὶ εἰς ὕψος αἴρω ἑτέρου Βάρους προσαγωγῇ τοῦ καλουμένου σηκώματος. Ταυτὸν δέ τι δηλοῦν βούλεται καὶ τὸ Ἀνασηκόω, μεταφορικῶς δὲ καὶ τὸ ἁπλῶς εἰς ὕψος αἴρω καὶ ἀνεγείρω. Τὸ δὲ Διασηκῶσαι, τὸ ψηλαφῆσαι καὶ διασκέψασθαι τῇ χειρὶ τὴν ὁλκὴν ἐξηγεῖται Σουΐδας. — 6. Τὴν δὲ πόλιν ἡμῶν.) Ἀντ. Τὴν δ' ἡμετέραν πόλιν. — 7. Τύχαις.) Ἀντ. Ἀτυχίαις. — 8. Περιορᾷν.) Προειλόμην ἔκ τε ἀντιγράφων (οἷς συνᾴδει καὶ τὸ ἐμὸν) καὶ ἐκ τοῦ περὶ Ἀντ. τὸ Περιορᾷν, τοῦ παρὰ τοῖς λοιποῖς, Παρορᾷν. — 9. Οἱ δὲ παῖδες Ἡρακλέους.) Ἀντ. Οἱ δ' Ἡρακλέους παῖδες. — 10. Ἑαυτῶν.) Ἀντ. αὑτῶν. — 11 Ἱκανὴν νομίζοντες εἶναι κτλ.) Ὅρα ὅπως κομψῶς καὶ τῇ λέξει καὶ τῇ διανοίᾳ ἐπαίρει τὸ τῆς πατρίδος ἀξίωμα· συμπάσης γὰρ τῆς Ἑλλάδος ἀνταξίαν εἶναι τὴν Ἀθηναίων πόλιν εἰκὸς, εἴγε μόνη ἐξαρκεῖ ὑπὲρ τῶν εἰς σύμπασαν εὐεργετημάτων χάριν ἀποδοῦναι. — 12. Ἅπαντας.) Ἀντ. Πάντας. — 13. Ἐκ δὴ τούτων.) Ἔν τισι δὲ τῶν ἀντιγράφων, Ἐκ δὲ τούτων — 14. Καὶ νῦν οὐκ ἀδίκως ἀμφισβητεῖ περὶ τῆς Ἡγεμονίας.) Λείποντα ταῦτα ἐν Ἀντ. προσετέθησαν ἐκ τοῦδε τοῦ λόγου. — 15. Τίνες.) Ἀντ. Τίς. — 16. Τολμήσαιεν.) Ἀντ. Τολμήσειεν. — 17. Παραλιπόντες.) Ἀντ. Παραλιπών. — 18. Πλὴν τῶν προεστάναι τῶν Ἑλλήνων ἀξιούντων.) Ὁ Αὔγηρος ἔγραφε, Πλὴν τοὺς . . . ἀξιοῦντας, ἐκ τοῦ περὶ Ἀντ. ἐνθάδε μετενεγκών. — 19. Ἔπειτα οὐδὲ ψευσθέντες.) Ἀντ. Ἔπειτ' οὐ διαψευσθέντες. — 20. Τὸν πόλεμον.) Ἀντ. λείπε

βαίους,[21] ὑπὲρ δὲ τῶν παίδων τῶν Ἡρακλέους πρὸς τὴν Εὐρυσθέως δύναμιν, τοὺς μὲν ἐπιστρατεύσαντας ἠνάγκασαν ἀποδοῦναι θάψαι τοὺς νεκροὺς τοῖς προσήκουσι, Πελοποννησίων δὲ τοὺς μετ' Εὐρυσθέως εἰς τὴν χώραν ἡμῶν εἰσβαλόντας, ἐπεξελθόντες ἐνίκησαν μαχόμενοι, κἀκεῖνον τῆς ὕβρεως ἔπαυσαν. Θαυμαζόμενοι δὲ καὶ διὰ τὰς ἄλλας[22] πράξεις, ἐκ τούτων τῶν ἔργων ἔτι μᾶλλον εὐδοκίμησαν.[23] Οὐ γὰρ παρὰ μικρὸν ἐποίησαν,[24] ἀλλὰ τοσοῦτον τὰς τύχας ἑκατέρων[25] μετήλλαξαν, ὥσθ' ὁ μὲν ἱκετεύειν ἡμᾶς ἀξιώσας, βίᾳ τῶν ἐχθρῶν κρατήσας,[26] ἅπανθ' ὅσων ἐδεήθη διαπραξάμενος ἀπῆλθεν· Εὐρυσθεὺς δὲ βιάσεσθαι[27] προσδοκήσας, αὐτὸς αἰχμάλωτος γεγονὼς[28] ἱκέτης ἠναγκάσθη καταστῆναι· καὶ τῷ μὲν ὑπερενεγκόντι τὴν ἀνθρωπίνην φύσιν, ὃς ἐκ Διὸς μὲν ἦν γεγονώς, ἔτι δὲ θνητὸς ὢν θεοῦ ῥώμην εἶχε, τούτῳ μὲν ἐπιτάττων καὶ λυμαινόμενος ἅπαντα τὸν χρόνον διετέλεσεν· ἐπειδὴ δὲ εἰς ἡμᾶς ἐξήμαρτεν, εἰς τοσαύτην κατέστη μεταβολήν, ὥστε, ἐπὶ τοῖς παισὶ τοῖς ἐκείνου[29] γενόμενος, ἐπονειδίστως τὸν βίον ἐτελεύτησε.

§ 16. Πολλῶν δὲ ὑπαρχουσῶν εὐεργεσιῶν ἡμῖν[2] εἰς τὴν πόλιν τῶν Λακεδαιμονίων, περὶ ταύτης μόνης μοι συμβέβηκεν εἰπεῖν. Ἀφορμὴν γὰρ λαβόντες τὴν δι' ἡμῶν αὐτοῖς γενομένην σωτηρίαν οἱ πρόγονοι μὲν τῶν νῦν ἐν Λακεδαίμονι βασιλευόν-

---

τὸ ἄρθον. — 21. Πρὸς Θηβαίους.) Ἐνταῦθά τε καὶ ἐν τῷ Ἑλένης ἐγκωμίῳ (σελ. 212) πολέμῳ τοὺς Ἀθηναίους λαβεῖν παρὰ τῶν Θηβαίων φησὶ τοὺς νεκρούς, καθὰ καὶ Εὐριπίδης ἐποίησεν ἐν Ἱκέτισι, καὶ Λυσίας ἱστόρηκεν ἐν τῷ Ἐπιταφίῳ. Παυσανίας δὲ (Α, λθ') τοῦτο μὲν ὑπὸ Ἀθηναίων οὕτω λέγεσθαι ἱστόρηκε, Θηβαίους δ' οὐ φάσκειν συνάψαι μάχην, ἀλλ' ἑκόντας τῶν νεκρῶν τὴν ἀναίρεσιν ἀξιοῦντι συγχωρῆσαι Θησεῖ· ᾧ καὶ αὐτὸς Ἰσοκράτης ἀλλαχοῦ (Παναθην. σελ. 269.), ἀντιφάσκων οἷς ἐνταῦθα εἴρηκε, συναινεῖ. — 22. Καὶ διὰ τὰς ἄλλας.) Ἀντ. λείπει ὁ σύνδεσμος. — 23. Εὐδοκίμησαν.) Ἀντ. Ηὐδοκίμησαν. — 24. Οὐ γὰρ παρὰ μικρὸν ἐποίησαν κ τ λ.) Πλεονάζειν ὑπειλήφασί τινες τὴν πρόθεσιν· οὐ μέν τοι γε πλεονάζει. Τὸ γὰρ Παρὰ μικρὸν τὶ ποιεῖν, Μικροῦ δεῖν ποιεῖν τί ἐστι, τουτέστιν οὐ τελείως καὶ ἀπηρτισμένως τι ποιεῖν, ἀλλὰ καταλείπειν μικρὸν αὐτοῦ μέρος ἀποίητον. Ἔστω παράδειγμα τοῦ λεγομένου ἐξ αὐτοῦ Ἰσοκράτους (Συμμαχ. λδ') τοῦτο, «Τὴν γὰρ πολιτείαν. . . λυθῆναι παρὰ «μικρὸν ἐποίησεν», ὅπερ οὐ σημαίνει τό, Ἔλυσε τὴν πολιτείαν, ἀλλὰ τό, Ἐπὶ τοσοῦτον ἐχάλασε τοὺς δεσμοὺς αὐτῆς, ὡς ἐγγὺς τοῦ λυθῆναι παντάπασι γενέσθαι. Τὸν αὐτὸν οὖν τρόπον καὶ τὸ προκείμενον ἑρμηνεύοντες χωρίον, φαμέν, Οὐ παρὰ μικρὸν ἦλθον ποιῆσαι ὃ ἐποίησαν· ἔστι δὲ τοῦτο τὸ μεταλλάξαι τὰς τύχας ἑκατέρων, ὡς ἂν εἰ ἁπλούστερον ἔλεγεν, Οὐ παρὰ μικρόν, ἀλλὰ παρὰ τοσοῦτον, τουτέστιν οὕτω τελείως, μετήλλαξαν ἑκατέρων τὰς τύχας, ὥστε κ τ λ. — 25. Τὰς τύχας ἑκατέρων.) Ἀντ. Ἑκατέρων τὰς τύχας· — 26. Κρατήσας.) Ἀντ. λείπει. — 27. Βιάσεσθαι.) Ἐκ διορθώσεως τοῦ Μόσου, ἀντὶ τοῦ, Βιάσασθαι. — 28. Γεγονώς.) Ἀντ. Γενόμενος. — 29 Ἐπὶ τοῖς παισὶ τοῖς ἐκείνου) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου τὸ δεύτερον ἄρθρον, ὃ παρείληφε καὶ Λάγγιος ἐξ ἀρχαιοτέρων ἐκδόσεων· φέρεται δὲ καὶ ἐν τῷ ἀντιγράφῳ τοῦ Ἄγγλου ἐκδότου, καὶ ἐν τῷ περὶ Ἀντ.

§ 16. 2. Εὐεργεσιῶν ἡμῖν.) Ἀντ.

των, ἔκγονοι δ' Ἡρακλέους, κατῆλθον μὲν εἰς Πελοπόννησον, κατέσχον δ' Ἄργος, καὶ Λακεδαίμονα, καὶ Μεσσήνην,[3] οἰκισταὶ δὲ Σπάρτης ἐγένοντο, καὶ τῶν παρόντων αὐτοῖς ἀγαθῶν ἁπάντων[4] ἀρχηγοὶ κατέστησαν. Ὧν ἐχρῆν ἐκείνους μεμνημένους, μηδέποτ' εἰς τὴν χώραν ταύτην ἐμβαλεῖν,[5] ἐξ ἧς ὁρμηθέντες αὐτῶν οἱ πρόγονοι εἰς τοσαύτην εὐδαιμονίαν κατέστησαν,[6] μηδ' εἰς κινδύνους καθιστάναι τὴν πόλιν, τὴν ὑπὲρ τῶν παίδων τῶν Ἡρακλέους προκινδυνεύσασαν, μηδὲ τοῖς μὲν ἀπ' ἐκείνου γενομένοις[7] διδόναι τὴν βασιλείαν, τὴν δὲ τῷ γένει τῆς σωτηρίας αἰτίαν οὖσαν, δουλεύειν ἑαυτοῖς[8] ἀξιοῦν. Εἰ δὲ δεῖ τὰς χάριτας καὶ τὰς ἐπιεικείας[9] ἀνελόντας[10] ἐπὶ τὴν ὑπόθεσιν πάλιν ἐπανελθεῖν, καὶ τὸν ἀκριβέστατον τῶν λόγων[11] εἰπεῖν, οὐ δήπου πάτριόν ἐστιν ἡγεῖσθαι τοὺς ἐπήλυδας τῶν αὐτοχθόνων, οὐδὲ τοὺς εὖ παθόντας τῶν εὖ ποιησάντων, οὐδὲ τοὺς ἱκέτας γενομένους τῶν ὑποδεξαμένων.

§ 17. Ἔτι δὲ συντομωτέρως[2] ἔχω δηλῶσαι περὶ αὐτῶν.[3] Τῶν μὲν γὰρ Ἑλληνίδων πόλεων, χωρὶς τῆς ἡμετέρας, Ἄργος, καὶ Θῆβαι, καὶ Λακεδαίμων, καὶ τότ' ἦσαν μέγισται, καὶ νῦν ἔτι διατελοῦσι. Φαίνονται δ' ἡμῶν οἱ πρόγονοι τοσοῦτον ἁπάντων διενεγκόντες, ὑπὲρ μὲν Ἀργείων[4] δυστυχησάντων, Θηβαίοις, ὅτε μέγιστον ἐφρόνησαν, ἐπιτάττοντες, ὑπὲρ δὲ τῶν παίδων τῶν Ἡρακλέους, Ἀργείους καὶ τοὺς ἄλλους Πελοποννησίους[5] μάχῃ

---

Ἡρῴων εὐεργετικῶν. — 3. Μεσσήνην) Διὰ δύο σ γραπτέον, ὡς φέρεται ἐν ἀρχαίοις νομίσμασι· τὰ δὲ ἀντίγραφα ἄλλοτε ἄλλως. — 4. Αὐτοῖς ἀγαθῶν ἁπάντων.) Ἀντ. Ἀγαθῶν ἁπάντων αὐτοῖς. — 5. Ἐμβαλεῖν.) Ἀντ. Εἰσβαλεῖν. — 6. Ὁρμηθέντες αὐτῶν οἱ πρόγονοι εἰς τοσαύτην εὐδαιμονίαν κατέστησαν.) Ἀντ. Ὁρμηθέντες τοσαύτην εὐδαιμονίαν ἐκτήσαντο, διὰ τεσσάρων μόνων λέξεων. — 7. Γενομένοις.) Ἀντ. Γεγονόσι. — 8. Ἑαυτοῖς.) Ἀντ. Αὐτοῖς. — 9. Τὰς χάριτας καὶ τὰς ἐπιεικείας.) Διὰ τοῦ, Τὰς χάριτας καὶ τὰς καλοτυχίας, τοῦτο ἂν ἐκράτειεν ἡ συνήθεια. — 10. Ἀνελόντας.) Οὐκ ἀπιθάνως εἰκάζει ὁ Μῶρος γεγράφθαι πάλαι ἑνικῶς, Ἀνελόντα, ἐμὲ δηλαδὴ τὸν Ἰσοκράτην. Εἴρηκε γὰρ καὶ ἀλλαχοῦ, Εἰ δὲ δεῖ... παρρησίᾳ χρησάμενον εἰπεῖν (Εὐαγ. ιζ'), καὶ Εἰ δεῖ τῶν σῶν ἀπαλλαγέντα... ἐξετάζειν (Βούσιρ. ιδ'). — 11. Τὸν ἀκριβέστατον τῶν λόγων) Ἄμεινον τοῦτο τοῦ ἐν τῇ Ἀντ. Τὸν ἀκριβέστατον λόγον.

§ 17. 2 Συντομωτέρως) Ἀντ. Συντομώτερον. — 3. Περὶ αὐτῶν.) Λείπουσιν ἐν τῷ Οὐολφίου ἀντιγράφῳ. — 4. Ὑπὲρ μὲν Ἀργείων... ὥστε κ τ λ.) Ἐν ἅπασι τοῖς ἀντιγράφοις, ὧδέ τε καὶ ἐν τῷ περὶ Ἀντ. φέρεται, «Ὥσθ' ὑπὲρ μὲν Ἀργείων... ὥστε κ. τ. λ.» Ὡς οὖν προφανῶς πλεονάζοντος θατέρου τῶν δύο, Ὥστε, ὠβέλισα τὸ πρῶτον, δόξαν τοῦτο, τῷ τε Μώρῳ καὶ τῷ Αὐγήρῳ. Τὸ γὰρ ἑξῆς τοιοῦτόν ἐστιν ἑρμηνευόμενον, Φαίνονται οἱ ἡμέτεροι πρόγονοι, ἔκ τε τοῦ Θηβαίοις πολεμῆσαι ὑπὲρ Ἀργείων, καὶ τοῦ Ἀργείους τε καὶ τοὺς ἄλλους Πελοποννησίους νικῆσαι μαχόμενοι ὑπὲρ τῶν Ἡρακλέους παίδων, ἔτι δὲ καὶ τοῦ διασῶσαι τοὺς οἰκιστὰς τῆς Σπάρτης ἐξ Εὐρυσθέως, τοσοῦτον τῶν ἄλλων διενεγκόντες, ὥστε οὐκ οἶδα ὅπως ἄν τις σαφέστερον ἐπιδείξειε προσήκειν τοῖς ἡμετέροις προγόνοις τὴν ἐν τοῖς Ἕλλησι δυναστείαν. — 5. Τοὺς ἄλλους Πελοποννησίους. Ἀντ. Τοὺς ἄλλους τῶν Πελοποννησίων.

νικήσαντες, ἐκ δὲ τοῦ πρὸς Εὐρυσθέα κινδύνου τοὺς οἰκιστὰς τῆς Σπάρτης,[6] καὶ τοὺς ἡγεμόνας τοὺς Λακεδαιμονίων, διασώσαντες, ὥστε[4] περὶ μὲν τῆς ἐν τοῖς Ἕλλησι δυναστείας, οὐκ οἶδ' ὅπως ἂν τις σαφέστερον ἐπιδεῖξαι δυνηθείη.

§ 18. Δοκεῖ δέ μοι καὶ περὶ τῶν πρὸς τοὺς βαρβάρους[2] τῇ πόλει πεπραγμένων προσήκειν εἰπεῖν, ἄλλως τε, καὶ ἐπειδὴ[3] τὸν λόγον κατεστησάμην περὶ τῆς ἡγεμονίας τῆς ἐπ' ἐκείνους. Ἅπαντας μὲν οὖν ἐξαριθμῶν τοὺς κινδύνους, λίαν ἂν μακρολογοίην· ἐπὶ δὲ τῶν μεγίστων στὰς, τὸν αὐτὸν τρόπον, ὅνπερ ὀλίγῳ πρότερον διῆλθον, πειράσομαι καὶ περὶ τούτων διελθεῖν.[4] Ἔστι γὰρ ἀρχικώτατα[5] μὲν τῶν ἐθνῶν, καὶ μεγίστας δυναστείας ἔχοντα, Σκύθαι καὶ Θρᾷκες καὶ Πέρσαι. Τυγχάνουσι δ' οὗτοι μὲν ἅπαντες ἡμῖν ἐπιβουλεύσαντες, ἡ δὲ ἡμετέρα πόλις[6] πρὸς ἅπαντας τούτους διακινδυνεύσασα. Καίτοι τί λοιπὸν ἔσται τοῖς ἀντιλέγουσιν, ἢν ἐπιδειχθῶσι τῶν μὲν Ἑλλήνων οἱ μὴ δυνάμενοι τυγχάνειν τῶν δικαίων, ἡμᾶς ἱκετεύειν ἀξιοῦντες, τῶν δὲ βαρβάρων οἱ βουλόμενοι καταδουλώσασθαι[7] τοὺς Ἕλληνας, ἐφ' ἡμᾶς πρώτους ἰόντες;

§ 19. Ἐπιφανέστατος μὲν οὖν τῶν πολέμων ὁ Περσικὸς γέγονεν. Οὐ μὴν ἐλάττω τούτων[2] τεκμήρια τὰ παλαιὰ τῶν ἔργων

— 6. Τῆς Σπάρτης.) Ἀντ. λείπουσι.

§ 18 2. Καὶ περὶ τῶν πρὸς τοὺς βαρβάρους.) Ἐν ἅπασι τοῖς ἀντιγράφοις, »Καὶ περὶ τῶν πρότερον τῶν πρὸς »τοὺς βαρβάρους« ἐν δὲ τῷ περὶ Ἀντ. λείπουσιν αἱ δύο λέξεις, Τῶν πρότερον. Διὸ κἀνταῦθα περιγραπτέας εἶναι ὀρθῶς ἔκρινεν ὁ Μόρος, διὰ μακρῶν τοῦτο κατασκευάσας. — 3. Ἄλλως τε καὶ ἐπειδὴ) Ἐνταῦθά τε καὶ ἐν Ἀντ. παρ' ἅπασι φέρεται, Ἄλλως τε ἐπειδὴ καί. Τοῦτο δὲ οὐκ ὀρθῶς ἔχειν ἐκ πολλῶν παραδειγμάτων ἐστὶ πιστώσασθαι. — 4. Ἐπὶ δὲ τῶν μεγίστων στὰς, τὸν αὐτὸν τρόπον ... καὶ περὶ τούτων διελθεῖν.) Λείπει ἔν τε ταῖς ἐκδόσεσι (πλὴν τῆς τοῦ Αὐγήρου) καὶ τοῖς ἀντιγράφοις ἅπασιν ἐνταῦθα ἡ μετοχή, Στάς· ὁ δ' Αὐγῆρος ἐκ τοῦ περὶ Ἀντ. αὐτὴν παραλαβεῖν φάσκει, ἐπιλαθόμενος διορίσασθαι, ὅτι οὐκ ἐκ τῶν ἤδη τύποις ἐκδιδομένων, ἀλλ' ἐκ τῶν χειρὶ γεγραμμένων τινὸς τῶν περὶ Ἀντιδόσεως λόγων εἴληφε τὴν γραφήν· Τὸ γὰρ ἐμὸν ἀντίγραφον, συνᾷδον ἐνταῦθα τοῖς ἄλλοις, ἐν τῷ περὶ Ἀντιδόσεως προφανῶς φέρει, Ἐπὶ δὲ τῶν μεγίστων στάς. Δύναται δὲ τοῦτο, Ἐπὶ τὰ μέγιστα ἐπιστὰς, τουτέστι, προσχὼν τὸν νοῦν τοῖς μεγίστοις ἔργοις, ὅπερ ἀλλαχοῦ (Εὐαγόρ. σελ. 202), Ἐπιστήσω τὴν γνώμην, εἴρηκεν· ἢ καὶ ἐμμείνας ἐπὶ τοῖς μεγίστοις, καὶ τούτοις ἐνδιατρίψας. Ἡ τοίνυν ταύτην ἀποδεκτέον τὴν γραφὴν, καίπερ οὖσαν οὐ λείαν διὰ τὴν τῶν συμφώνων ἐπαλληλίαν, ἢ τρέποντας τὴν, Ἐπὶ, εἰς τὴν, Περὶ, ἀναγνωστέον, Περὶ δὲ τῶν μεγίστων τὸν αὐτὸν τρόπον . . . καὶ περὶ τούτων διελθεῖν. Μηδὲ δυσχεράνῃς τὴν ἐπανάληψιν τῆς προθέσεως· πλεονάζειν γὰρ ὁ Ῥήτωρ ταῖς προθέσεσι φιλεῖ, ἐν ταῖς μακραῖς μάλιστα τῶν περιόδων, σαφηνείας φροντίζων. Αὐτίκα ἐν τῷ Εὐαγόρᾳ (σελ. 190), »Πρῶτον μὲν οὖν ΠΕΡΙ »τῆς φύσεως τῆς Εὐαγόρου, καὶ τίνων »ἦν ἀπόγονος, εἰ καὶ πολλοὶ προεπίσταν»ται, δοκεῖ μοι πρέπειν καὶ ἐμὲ τῶν »ἄλλων ἕνεκα διελθεῖν ΠΕΡΙ αὐτῶν.« — 5. Ἀρχικώτατα.) Ἀρχῇ καὶ ἡγεμονίᾳ μεγίστῃ διαπρέψαντα. Ἐν δὲ τῷ Ἀντ. γράφεται οὐκ ὀρθῶς, Ἀρχαϊκώτατα. — 6. Ἡ δὲ ἡμετέρα πόλις.) Ἀντ. Ἡ δὲ πόλις. — 7. Καταδουλώσασθαι.) Ἀντ. Καταδουλοῦσθαι.

§ 19. 2. Τούτων.) Ἀντ. λείπει.

ἐστὶ τοῖς περὶ τῶν πατρίων ἀμφισβητοῦσιν. Ἔτι γὰρ ταπεινῆς οὔσης τῆς Ἑλλάδος, ἦλθον εἰς τὴν χώραν ἡμῶν Θρᾷκες μὲν[3] μετ' Εὐμόλπου τοῦ Ποσειδῶνος, Σκύθαι δὲ μετὰ Ἀμαζόνων τῶν Ἄρεως θυγατέρων, οὐ κατὰ τὸν αὐτὸν χρόνον, ἀλλὰ καθ' ὃν ἑκάτεροι τῆς Εὐρώπης ἐπῆρχον, μισοῦντες μὲν ἅπαν τὸ τῶν Ἑλλήνων γένος, ἰδίᾳ δὲ πρὸς ἡμᾶς ἐγκλήματα ποιησάμενοι,[4] νομίζοντες ἐκ τούτου τοῦ τρόπου πρὸς μίαν μὲν πόλιν κινδυνεύσειν, ἁπασῶν δὲ ἅμα κρατήσειν. Οὐ μὴν κατώρθωσαν, ἀλλὰ πρὸς μόνους τοὺς προγόνους τοὺς ἡμετέρους συμβαλόντες, ὁμοίως διεφθάρησαν, ὥσπερ ἂν εἰ πρὸς ἅπαντας[5] ἀνθρώπους ἐπολέμησαν. Δῆλον δὲ τὸ μέγεθος τῶν κακῶν τῶν γενομένων ἐκείνοις· οὐ γὰρ ἄν ποθ' οἱ λόγοι περὶ αὐτῶν τοσοῦτον χρόνον διέμειναν, εἰ μὴ καὶ τὰ πραχθέντα πολὺ τῶν ἄλλων διήνεγκε. Λέγεται δ' οὖν περὶ μὲν Ἀμαζόνων,[6] ὡς τῶν μὲν ἐλθουσῶν οὐδεμία πάλιν ἀπῆλθεν, αἱ δ' ὑπολειφθεῖσαι[7] διὰ τὴν ἐνθάδε συμφορὰν ἐκ τῆς ἀρχῆς ἐξεβλήθησαν· περὶ δὲ Θρᾳκῶν, ὅτι, τὸν ἄλλον χρόνον ὅμοροι προσοικοῦντες ἡμῖν, διὰ τὴν τότε γεγενημένην στρατείαν[8] τοσοῦτον διέλιπον,[9] ὥστε ἐν τῷ μεταξὺ τῆς χώρας ἔθνη πολλὰ, καὶ γένη παντοδαπὰ,[10] καὶ πόλεις μεγάλας κατοικισθῆναι.

§ 20. Καλὰ μὲν οὖν καὶ ταῦτα, καὶ πρέποντα τοῖς περὶ τῆς ἡγεμονίας ἀμφισβητοῦσιν· ἀδελφὰ δὲ τῶν εἰρημένων, καὶ τοιαῦτα, οἵαπερ εἰκὸς[2] τοὺς ἐκ τοιούτων γεγονότας, οἱ πρὸς Δαρεῖον καὶ Ξέρξην πολεμήσαντες ἔπραξαν.[3] Μεγίστου γὰρ ἐκείνου[4] πολέμου συστάντος, καὶ πλείστων κινδύνων κατὰ τὸν αὐτὸν[5]

— 3. Θρᾷκες μέν.) Ἀντ. λείπει ὁ σύνδεσμος. — 4. Ἰδίᾳ δὲ πρὸς ἡμᾶς ἐγκλήματα ποιησάμενοι.) Ὁ μὲν Εὔμολπος τῆς Ἀθηναίων πόλεως ἀμφισβητῶν Ἐρεχθεῖ. Σκύθαι δὲ, διὰ τὴν Ἀντιώπην, καθὰ φησιν ἐν τῷ Παναθηναϊκῷ (σελ. 273). — 5. Ὥσπερ ἂν εἰ πρὸς ἅπαντας κ. τ. λ.) Ὅμοιον τοῦτο καὶ τῆς αὐτῆς μεγαλοῤῥημοσύνης ἐχόμενον τῷ πρὸ μικροῦ (σελ. 47) εἰρημένῳ, »Ἱκανὴν νομίζοντες εἶναι μόνην ἀποδοῦναι »χάριν«. Ἀλλὰ τοιοῦτος ὁ φιλόπατρις Ἰσοκράτης, ὁπότε τὰ τῶν Ἀθηναίων σεμνύνειν βούλεται. — 6. Περὶ μὲν Ἀμαζόνων.) Ἀντ. λείπει ὁ σύνδεσμος. — 7. Αἱ δ' ὑπολειφθεῖσαι.) Αἱ οἴκοι μείνασαι, καὶ μὴ μετασχοῦσαι τῆς στρατείας. — 8. Διὰ τὴν τότε γεγενημένην στρατείαν) Λείπουσι ταῦτα ἐν τῷ περὶ Ἀντ. — 9. Τοσοῦτον διέλιπον.) Τοσοῦτον ἡμῶν ἐχωρίσθησαν, καὶ μακρὰν τῆς Ἀττικῆς ἀφωρίσθησαν. — 10. Καὶ γένη παντοδαπά.) Ἀντ. Καὶ παντοδαπὰ, ἄνευ τοῦ, Γένη.

§ 20. 2. Οἷά περ εἰκός.) Ὁ Λάγγιος, γράφει, Οἷά περ εἰκὸς ποιεῖν, οὐ δεόντως. ὑπονοεῖται γὰρ ἢ τοῦτο, ἢ τὸ συνώνυμον Πράττειν, ἐκ τοῦ ἐχομένου, Ἔπραξαν. — 3 Οἱ πρὸς Δαρεῖον καὶ Ξέρξην πολεμήσαντες ἔπραξαν.) Ἀντὶ τοῦ ἀντωνυμικοῦ, Ἃ, προειλόμην τὸ Οἱ, ἄρθρον, ἐκ τοῦ περὶ Ἀντιδόσεως· ὅπου μέντοι κακῶς γράφεται ὀξείᾳ τῇ τάσει, οἵ. Συνάπτεται γὰρ πρὸς τὸ, Πολεμήσαντες· καὶ ἔστιν ὁ νοῦς, Καλὰ μὲν καὶ τὰ ὑπὸ τῶν πάλαι Ἀθηναίων πρὸς Θρᾷκας καὶ Σκύθας πραχθέντα· ἀδελφὰ δὲ, ἤγουν ὅμοια, τοῖς εἰρημένοις, καὶ τοιαῦτα, οἷα εἰκὸς πράττειν τοὺς ἐξ ἐκείνων (τῶν πρὸς Θρᾷκας καὶ Σκύθας πολεμησάντων δηλονότι) γεγονότας, ἔπραξαν καὶ οἱ πρὸς Δαρεῖον καὶ Ξέρξην πολεμήσαντες. — 4. Ἐκείνου.) Ἀντ. λείπει. — 5. Κατὰ τὸν αὐτόν.)

χρόνον συμπεσόντων, καὶ τῶν μὲν πολεμίων ἀνυποστάτων οἰομένων εἶναι[6] διὰ τὸ πλῆθος, τῶν δὲ συμμάχων ἀνυπέρβλητον ἡγουμένων ἔχειν[7] τὴν ἀρετήν, ἀμφοτέρων κρατήσαντες, ὡς ἑκατέρων προσῆκε,[8] καὶ πρὸς ἅπαντας τοὺς κινδύνους διενεγκόντες, εὐθὺς μὲν τῶν ἀριστείων ἠξιώθησαν·[9] οὐ πολλῷ δ' ὕστερον τῆς θαλάττης τὴν ἀρχὴν ἔλαβον,[10] δόντων μὲν τῶν ἄλλων Ἑλλήνων,[11] οὐκ ἀμφισβητούντων δὲ τῶν νῦν ἡμᾶς ἀφαιρεῖσθαι ζητούντων.

§ 21. Καὶ μηδεὶς οἰέσθω με ἀγνοεῖν, ὅτι καὶ Λακεδαιμόνιοι περὶ τούτους τοὺς καιρούς[2] πολλῶν ἀγαθῶν αἴτιοι τοῖς Ἕλλησι κατέστησαν· ἀλλὰ διὰ τοῦτο καὶ μᾶλλον ἐπαινεῖν ἔχω τὴν πόλιν τὴν ἡμετέραν,[3] ὅτι τοιούτων ἀνταγωνιστῶν[4] τυχοῦσα, τοσοῦτον αὐτῶν διήνεγκε. Βούλομαι δὲ ὀλίγῳ[5] μακρότερα περὶ ταῖν πολέοιν ταύταιν εἰπεῖν, καὶ μὴ ταχὺ λίαν παραδραμεῖν, ἵν' ἀμφοτέρων ἡμῖν ὑπομνήματα[6] γένηται, τῆς τε τῶν προγόνων ἀρετῆς, καὶ τῆς πρὸς τοὺς βαρβάρους ἔχθρας. Καίτοι με οὐ λέληθεν,[7] ὅτι χαλεπόν ἐστιν, ὕστατον[8] ἐπελθόντα, λέγειν περὶ πραγμάτων πάλαι προκατειλημμένων, καὶ περὶ ὧν οἱ μάλιστα δυνηθέντες τῶν πολιτῶν εἰπεῖν ἐπὶ τοῖς δημοσίᾳ θαπτομένοις πολλάκις εἰρήκασιν· ἀνάγκη γὰρ τὰ μὲν μέγιστα τούτων ἤδη κατακεχρῆσθαι,[9] μι-

---

Ἀντ. Εἰς τὸν αὐτόν. — 6. Οἰομένων εἶναι.) Ἀντ. Ὄντων, διὰ μιᾶς λέξεως. — 7. Ἡγουμένων ἔχειν.) Ἀντ. Ἔχειν ἡγουμένων — 8. Ὡς ἑκατέρων προσῆκε.) Ὡς ἐχρῆν κρατῆσαι ἑκατέρων, τῶν μὲν πολεμίων δηλονότι, τοῖς ὅπλοις, τῶν συμμάχων δὲ, τῷ ὑπερβαλέσθαι τὴν ἐκείνων ἀρετήν, καὶ τῶν ἀριστείων ἀξιωθῆναι. Ἐλήφθη δὲ τὸ, Ἑκατέρων, ἐκ τοῦ περὶ τῆς Ἀντιδόσεως, ἀντὶ τοῦ κακῶς ὧδε γραφομένου, Ἑκατέρᾳ, δῆλον ἄλλως ὂν καὶ ἐκ τοῦ εἰς Δημοσθένην ἀναφερομένου Ἐρωτικοῦ (σελ. 1409), γραφέντος δὲ, ὡς εἰκότως ὑπειλήφασί τινες, Ἀνδροτίωνι τῷ Ἰσοκράτους μαθητῇ, ὃς, πρὸς οὐκ ὀλίγοις τοῖς ἄλλοις, καὶ τοῦτο ἐμιμήσατο τοῦ διδασκάλου τὸ ἐνθύμημα. — 9. Εὐθὺς μὲν . . . ἠξιώθησαν.) Κέχρηται τούτῳ τῷ χωρίῳ παραδείγματι Ἀριστοτέλης ἐν τῇ Ῥητορικῇ (Γ, θ') — 10 Τῆς θαλάττης τὴν ἀρχὴν ἔλαβον.) Ἀντ. Τὴν ἀρχὴν τῆς θαλάττης παρέλαβον. — 11. Τῶν ἄλλων Ἑλλήνων.) Λείπει τὸ, Ἄλλων, ἔν τινι τῶν ἀντιγράφων· Αἴτιον δὲ τῆς γραφικῆς ταύτης πλάνης ἡ ὁπωσοῦν ὁμοιότης τῆς λέξεως πρὸς τὸ Ἑλλήνων, περὶ ἧς ἔπιθι τὰ ἀλλαχοῦ (Προσφ. Ἑλλ. Βιβλ. σελ. 373) σημειωθέντα μοι.

§ 21. 2. Περὶ τούτους τοὺς καιρούς.) Ἀντ. Περὶ τοὺς αὐτοὺς καιροὺς τούτους. — 3 Τὴν ἡμετέραν.) Ἀντ. λείπουσι — 4. Ὅτι τοιούτων ἀνταγωνιστῶν κτλ.) Καλὴ καὶ ἔντεχνος ἡ πίστις· ἐπὶ μᾶλλον αὔξειν τὴν ἀρετὴν τοῦ κρατοῦντος ἀπὸ τοῦ τῶν κεκρατημένων ἐπαίνου. Ἐχρήσατο δὲ καὶ ἐν τῷ τῆς Ἑλένης ἐγκωμίῳ (ιή): — 5. Ὀλίγῳ.) Ἀντ. Μικρῷ. — 6. Ἡμῖν ὑπομνήματα.) Ἀντ. Ὑμῖν ὑπόμνημα. — 7. Οὐ λέληθεν.) Παρείληφα ἐκ τῆς Ἀντ. ἀντὶ τοῦ, Οὐδὲ λέληθεν. — 8. Ὕστατον.) Ἀντ. Ὕστερον. — 9. Ἀνάγκη γὰρ τὰ μὲν μέγιστα τούτων ἤδη κατακεχρῆσθαι.) Ἀντ. Ἀνάγκη γάρ ἐστι τὰ μὲν μέγιστ' αὐτῶν κατακεχρῆσθαι. Ἐπιτείνει ἡ πρόθεσις ἀντὶ τοῦ, Ἄγαν κεχρῆσθαι· καὶ ἐπειδὴ οὐδαμοῦ ἐπαινεῖται, τὸ Ἄγαν, μετηνέχθη καὶ εἰς τὴν σημασίαν τοῦ Κακῶς χρῆσθαι, τὸ Καταχρῆσθαι. Σημείωσαι δὲ ὅτι καὶ παθητικῶς ὧδε τὸ Κατακεχρῆσθαι, κατὰ σπανιόν τινα χρῆσιν, μέσον ὂν φύσει τῶν καλουμένων Ἀποθε-

κρὰ δέ τινα[10] παραλελεῖφθαι. Ὅμως δὲ ἐκ τῶν ὑπολοίπων, ἐπειδὴ συμφέρει τοῖς πράγμασιν, οὐκ ὀκνητέον μνησθῆναι περὶ αὐτῶν.[11]

§ 22. Πλείστων μὲν οὖν ἀγαθῶν αἰτίους, καὶ μεγίστων ἐπαίνων ἀξίους[2] ἡγοῦμαι γεγενῆσθαι τοὺς τοῖς σώμασιν[3] ὑπὲρ τῆς Ἑλλάδος προκινδυνεύσαντας.[4] Οὐ μὴν οὐδὲ τῶν πρὸ τοῦ πολέμου τούτου γεγενημένων,[5] καὶ δυναστευσάντων[6] ἐν ἑκατέρᾳ[7] ταῖν πολέοιν, δίκαιον ἀμνημονεῖν. Ἐκεῖνοι γὰρ ἦσαν οἱ προασκήσαντες[8] τοὺς ἐπιγιγνομένους, καὶ τὰ πλήθη προτρέψαντες ἐπ' ἀρετήν,[9] καὶ χαλεποὺς ἀνταγωνιστὰς τοῖς βαρβάροις ποιήσαντες. Οὐ γὰρ ὠλιγώρουν τῶν κοινῶν, οὐδ' ἀπέλαυον μὲν ὡς ἰδίων, ἠμέλουν δὲ ὡς ἀλλοτρίων, ἀλλ' ἐκήδοντο μὲν ὡς οἰκείων, ἀπείχοντο δὲ, ὥσπερ χρὴ τῶν μηδὲν προσηκόντων·[10] οὐδὲ πρὸς ἀργύριον τὴν εὐδαιμονίαν ἔκρινον, ἀλλ' οὗτος ἐδόκει πλοῦτον ἀσφαλέστατον κεκτῆσθαι, καὶ κάλλιστον, ὅστις τυγχάνοι[11] τοιαῦτα πράττων, ἐξ ὧν αὐτός τε μέλλοι μάλιστα εὐδοκιμήσειν, καὶ τοῖς παισὶ μεγίστην δόξαν καταλείψειν. Οὐδὲ γάρ[12] τὰς θρασύτητας τὰς ἀλλήλων[13] ἐζήλουν, οὐδὲ τὰς τόλμας τὰς καθ' ἑαυτῶν ἤσκουν· ἀλλὰ δεινότερον μὲν[14] ἐνόμιζον εἶναι, τὸ κακῶς[15] ὑπὸ τῶν πολιτῶν ἀκούειν, ἢ καλῶς ὑπὲρ τῆς πατρίδος ἀποθανεῖν·[16] μᾶλλον δὲ ᾐσχύνοντο ἐπὶ τοῖς κοινοῖς ἁμαρτήμασιν, ἢ νῦν ἐπὶ τοῖς ἰδίοις τοῖς σφετέροις αὐτῶν. Τούτων δ' ἦν αἴτιον, ὅτι τοὺς νόμους ἐσκόπουν ὅπως ἀκριβῶς καὶ καλῶς ἕξουσιν, οὐχ οὕτω τοὺς περὶ τῶν ἰδίων συμβολαίων, ὡς τοὺς περὶ τῶν καθ' ἑκάστην ἡμέραν ἐπιτηδευμάτων. Ἠπίσταντο

---

τικῶν. — 10. Μικρὰ δέ τινα.) Ἀντ. λείπει τὸ, Τινά. — 11. Περὶ αὐτῶν.) Λείπει ἡ πρόθεσις ἔν τισι τῶν ἐκδόσεων.

§ 22. 2. Πλείστων μὲν οὖν ἀγαθῶν αἰτίους, καὶ μεγίστων ἐπαίνων ἀξίους) Καθάπτεται τῆς ὑπεράγαν γλαφυρότητος Ἰσοκράτους, ὁ Ἁλικαρνασεὺς Διονύσιος, τοῦτο παρατιθέμενος τὸ χωρίον, ἐν ᾧ, ὥς φησιν, «Οὐ μόνον τῷ κώλῳ τὸ »κῶλον ἴσον, ἀλλὰ καὶ τὰ ὀνόματα τοῖς »ὀνόμασι, τῷ μὲν ΠΛΕΙΣΤΩΝ τὸ »ΜΕΓΙΣΤΩΝ, τῷ δ' ΑΓΑΘΩΝ τὸ Ε»ΠΑΙΝΩΝ, τῷ δ' ΑΙΤΙΟΥΣ τὸ ΑΞΙΟΥΣ.» — 3. Τοῖς σώμασι) Ἀντ. Τοῖς αὐτῶν σώμασιν — 4. Προκινδυνεύσαντας) Προπολεμήσαντας. Ἐπιδε τὰς εἰς τὸν Ἡλιόδωρον σημειώσεις (σελ. 165). — 5. Γεγενημένων) Ἀντ. Γενομένων. — 6. Δυναστευσάντων.) Ἔν τισι τῶν ἀρχαίων ἐκδόσεων, Δυναστευόντων. — 7. Ἐν ἑκατέρᾳ.) Παρείληφα, καθὰ καὶ τινες τῶν πρὸ ἐμοῦ, τὴν πρόθεσιν ἐκ τῆς Ἀντ. — 8. Προασκήσαντες) Ἀντ. Προπαιδεύσαντες. — 9. Προτρέψαντες ἐπ' ἀρετήν) Οὕτω τινὲς τῶν πρὸ ἐμοῦ, ἐκ διορθώσεως Οὐολφίου, τῶν ἄλλων κατὰ δοτικὴν ἐξενεγκόντων, Προτρέψαντες ἐπ' ἀρετῇ, οὐκ ὀρθῶς. Οὐ γὰρ μόνον ἐν τῷ περὶ τῆς ἀντιδόσεως ἀλλὰ καὶ ἀλλαχοῦ πλειστάκις ὁ ῥήτωρ χρησάμενος τῷ ῥήματι, Προτρέπειν ἐπί τι, ἢ πρός τι, λέγει, οὐ μὲν οὖν, Ἐπί τινι, ἢ πρός τινι. — 10. Οὐδ' ἀπέλαυον μὲν ὡς ἰδίων . . . προσηκόντων.) Καὶ τούτων τὸ περιέργως γλαφυρὸν ἀποδοκιμάζει εἰκότως ὁ Διονύσιος. — 11. Τυγχάνοι) Ἐκ τῆς Ἀντ. ἡ γραφή· ἀντὶ τοῦ, Τυγχάνει. — 12. Οὐδὲ γάρ) Ἀντ. Οὐ γάρ. — 13. Τὰς θρασύτητας τὰς ἀλλήλων.) Προσέθηκα τὸ δεύτερον ἄρθρον ἐκ Διονυσίου τοῦ Ἁλικαρνασέως, ὡς φίλης οὔσης Ἰσοκράτει τῆς ἐπαναλήψεως τῶν ἄρθρων. — 14. Δεινότερον μέν.) Προσέθηκα τὸν σύνδεσμον ἔκ τε τῆς Ἀντ. καὶ Διονυσίου τοῦ Ἁλικαρνασέως. — 15. Τὸ κακῶς) Ἀντ. δίχα τοῦ ἄρθρου. — 16. Ἀποθανεῖν.)

γάρ, ὅτι τοῖς καλοῖς κἀγαθοῖς τῶν ἀνθρώπων οὐδὲν δεήσει πολλῶν γραμμάτων,[17] ἀλλὰ ἀπ' ὀλίγων συνθημάτων ῥᾳδίως καὶ περὶ τῶν ἰδίων καὶ περὶ τῶν κοινῶν ὁμονοήσουσιν. Οὕτω δὲ πολιτικῶς εἶχον, ὥστε καὶ τὰς στάσεις ἐποιοῦντο πρὸς ἀλλήλους, οὐχ ὁπότεροι τοὺς ἑτέρους ἀπολέσαντες, τῶν λοιπῶν ἄρξουσιν, ἀλλ' ὁπότεροι ὀφθήσονται[18] τὴν πόλιν ἀγαθόν τι ποιήσαντες· καὶ τὰς ἑταιρίας συνῆγον, οὐχ ὑπὲρ τῶν ἰδίᾳ συμφερόντων, ἀλλ' ἐπὶ τῇ τοῦ πλήθους ὠφελείᾳ. Τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ τῶν ἄλλων διῴκουν, θεραπεύοντες, ἀλλ' οὐχ ὑβρίζοντες τοὺς Ἕλληνας· καὶ στρατηγεῖν οἰόμενοι δεῖν, ἀλλὰ μὴ τυραννεῖν αὐτῶν· καὶ μᾶλλον ἐπιθυμοῦντες ἡγεμόνες ἢ δεσπόται προσαγορεύεσθαι· καὶ σωτῆρες, ἀλλὰ μὴ λυμεῶνες, ἀποκαλεῖσθαι· τῷ ποιεῖν εὖ προσαγόμενοι τὰς πόλεις, ἀλλ' οὐ βίᾳ καταστρεφόμενοι· πιστοτέροις μὲν τοῖς λόγοις, ἢ νῦν τοῖς ὅρκοις,[19] χρώμενοι, ταῖς δὲ συνθήκαις, ὥσπερ ἀνάγκαις ἐμμένειν ἀξιοῦντες· οὐχ οὕτως ἐπὶ ταῖς δυναστείαις μέγα φρονοῦντες, ὡς ἐπὶ τῷ σωφρόνως ζῆν φιλοτιμούμενοι· τὴν αὐτὴν ἀξιοῦντες γνώμην ἔχειν πρὸς τοὺς ἥττους, ἥνπερ τοὺς κρείττους πρὸς σφᾶς αὐτούς· ἴδια μὲν ἄστη τὰς ἑαυτῶν πόλεις ἡγούμενοι, κοινὴν δὲ πατρίδα τὴν Ἑλλάδα νομίζοντες εἶναι.

§ 23. Τοιαύταις δὲ διανοίαις χρώμενοι, καὶ τοὺς νεωτέρους ἐν τοιούτοις[2] ἤθεσι παιδεύοντες, οὕτως ἄνδρας ἀγαθοὺς ἀπέδειξαν τοὺς πολεμήσαντας πρὸς τοὺς ἐκ τῆς Ἀσίας, ὥστε μηδένα πώποτε δυνηθῆναι περὶ αὐτῶν, μήτε τῶν ποιητῶν, μήτε τῶν σοφιστῶν,[3] ἀξίως τῶν ἐκείνοις[4] πεπραγμένων εἰπεῖν. Καὶ πολλὴν αὐτοῖς ἔχω συγγνώμην· ὁμοίως γὰρ ἐστι χαλεπὸν, ἐπαινεῖν τοὺς ὑπερβεβηκότας[5] τὰς τῶν ἄλλων ἀρετὰς, ὥσπερ τοὺς μηδὲν ἀγαθὸν πεποιηκότας·

---

Ἀντ. Ἀποθνήσκειν. — 17. Πολλῶν γραμμμάτων.) Ἀντ. Πραγμάτων, πολλῶν, οὐκ ὀρθῶς. Γράμματα γὰρ ὧδε ὡς καὶ ἐν τῷ Ἀρειοπαγιτικῷ (ις'), τοὺς νόμους λέγει. Πολλὴ δὲ ἡ χρῆσις καὶ παρὰ Πλάτωνι· αὐτίκα ἐν τῷ Πολιτικῷ (σελ. 293), «Ἄν τε κατὰ τὰ »γράμματα, ἄν τε ἄνευ γραμμάτων» φησὶ, τουτέστιν, «Ἐάν τε κατὰ νόμους, »ἐάν τε ἄνευ νόμων» ὡς αὐτὸς αὖθις ἑαυτὸν ἐξηγούμενος λέγει. Τοῦτο δὲ ἀντιδιεσταλμένως πρὸς τὰ ἔθη ἐκδεκτέον· νόμοι γάρ τινές εἰσι κἀκεῖνα, ἄγραφοι μέν τοι. Ἢ καὶ διὰ τὸ στήλαις, ἐγγράφειν, τουτέστιν ἐγχαράττειν τοὺς νόμους, εἰκότως καὶ Γράμματα ἐκάλεσαν αὐτοὺς οἱ ἀρχαῖοι· ἢ καὶ διότι εὑρεθεῖσι τοῖς γράμμασι πρώτως εἰς τὴν τῶν νόμων γραφὴν ἐχρήσαντο. — 18. Ὀφθήσονται.) Οὕτως ἐγέγραπτο καὶ ἐν τῇ Ἀντ. Κἀκεῖ μὲν διώρθωκα ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, τρέψας, εἰς τὸ Φθήσονται, ἐνταῦθα δ' ἐπελαθόμην παραλαβεῖν τὴν γραφήν. — 19. Ὅρκοις.) Ἀντ. Ἔργοις οὐκ ὀρθῶς.

§ 23. 2. Ἐν τοιούτοις.) Οὕτως ἐν ἐνίοις τῶν ἀντιγράφων, ἐν οἷς καὶ τὸ ἐμὸν, ἀντὶ τοῦ παρ' ἄλλοις ἀπροθέτως γραφομένου, Τοιούτοις· ἐν δὲ Ἀντ. καὶ ἐνάρθρως, Ἐν τοῖς τοιούτοις. — 3. Μήτε τῶν ποιητῶν, μήτε τῶν σοφιστῶν.) Λείπει κακῶς τὸ πρῶτον τῶν ἄρθρων ἔν τισι τῶν ἐκδόσεων. Σοφιστὰς δ' ἐνταῦθα ἐκδέχου πάντας τοὺς κατὰ λογάδην γράφοντας, ἀντιδιεσταλμένως πρὸς τοὺς ποιητάς. — 4. Ἐκείνοις.) Ἀντ. λείπει. — 5. Ὑπερβεβηκότας.) Ἀντ. Ὑπερβε-

τοῖς μὲν γὰρ οὐχ ὑπεισι πράξεις, πρὸς δὲ τοὺς, οὐκ εἰσὶν ἁρμόττοντες λόγοι. Πῶς γὰρ ἂν γένοιντο σύμμετροι τοιούτοις ἀνδράσιν, οἳ τοσοῦτον[6] τῶν ἐπὶ Τροίαν στρατευσαμένων διήνεγκαν, ὅσον οἱ μὲν, ἐπὶ μίαν πόλιν[7] στρατεύσαντες,[8] ἔτη δέκα διέτριψαν, οἱ δὲ τὴν ἐξ ἁπάσης τῆς Ἀσίας δύναμιν ἐν ὀλίγῳ χρόνῳ κατεπολέμησαν, οὐ μόνον δὲ τὰς ἑαυτῶν πατρίδας διέσωσαν, ἀλλὰ καὶ τὴν Ἑλλάδα σύμπασαν[9] ἠλευθέρωσαν; Ποίων δ' ἂν ἔργων, ἢ πόνων, ἢ κινδύνων ἀπέστησαν, ὥστε ζῶντες εὐδοκιμεῖν, οἵτινες ὑπὲρ τῆς δόξης, ἧς ἔμελλον τελευτήσαντες ἕξειν, οὕτως ἑτοίμως ἤθελον ἀποθνήσκειν; Οἶμαι δὲ καὶ τὸν πόλεμον τοῦτον[10] θεῶν τινὰ συναγαγεῖν, ἀγασθέντα τὴν ἀρετὴν αὐτῶν, ἵνα μὴ τοιοῦτοι γενόμενοι τὴν φύσιν διαλάθοιεν, μηδ' ἀκλεῶς τὸν βίον τελευτήσαιεν,[11] ἀλλὰ τῶν αὐτῶν τοῖς ἐκ τῶν θεῶν γεγονόσι, καὶ καλουμένοις ἡμιθέοις, ἀξιωθεῖεν. Καὶ γὰρ ἐκεῖνοι τὰ μὲν σώματα ταῖς τῆς φύσεως ἀνάγκαις ἀπέδοσαν, τῆς δ' ἀρετῆς ἀθάνατον τὴν μνήμην κατέλιπον.[12]

§ 24. Ἀεὶ μὲν οὖν οἵ θ' ἡμέτεροι πρόγονοι, καὶ Λακεδαιμόνιοι, φιλοτίμως πρὸς ἀλλήλους εἶχον·[2] οὐ μὴν ἀλλὰ καὶ περὶ[3] καλλίστων ἐν ἐκείνοις τοῖς χρόνοις ἐφιλονείκησαν, οὐκ ἐχθροὺς, ἀλλ' ἀνταγωνιστὰς σφᾶς αὐτοὺς εἶναι νομίζοντες, οὐδὲ ἐπὶ δουλείᾳ τῇ τῶν Ἑλλήνων τὸν βάρβαρον θεραπεύοντες, ἀλλὰ ἅμα μὲν περὶ τῆς[4] κοινῆς σωτηρίας ὁμονοοῦντες, ὁπότεροι δὲ ταύτης αἴτιοι γενήσονται, περὶ τούτου ποιούμενοι τὴν ἅμιλλαν. Ἐπεδείξαντο δὲ τὰς αὐτῶν ἀρετὰς,[5] πρῶτον μὲν ἐν τοῖς ὑπὸ Δαρείου πεμφθεῖσιν. Ἀποβάντων γὰρ αὐτῶν εἰς τὴν Ἀττικὴν, οἱ μὲν οὐ περιέμειναν τοὺς συμμάχους, ἀλλὰ, τὸν κοινὸν πόλεμον ἴδιον κίνδυνον[6] ποιησάμενοι, πρὸς τοὺς ἁπάσης τῆς Ἑλλάδος καταφρονήσαντας ἀπήντων, τὴν οἰκείαν δύναμιν ἔχοντες, ὀλίγοι πρὸς πολλὰς μυριάδας, ὥσπερ

βληκότας. — 6. Τοσοῦτον.) Ἀντ. Τοσοῦτον μέν. Ἐμιμήσατο δὲ τουτὶ Ἰσοκράτους τὸ χωρίον Δημοσθένης, ἢ ὅστις ποτ' ἐστὶν ὁ τὸν εἰς Δημοσθένην ἀναφερόμενον Ἐπιτάφιον γράψας (σελ. 1392) «Τοσοῦτον γὰρ ἀμείνους τῶν »ἐπὶ Τροίαν στρατευσαμένων νομίζοιτ' »ἂν εἰκότως, ὅσον μὲν ἐξ ἁπάσης τῆς »Ἑλλάδος, ὄντες ἀριστεῖς, δέκ' ἔτη »τῆς Ἀσίας ἓν χωρίον πολιορκοῦντες, »μόλις εἷλον· οὗτοι δὲ τὸν ἐκ πάσης »τῆς ἠπείρου στόλον ἐλθόντα μόνοι, τἄλ»λα πάντα κατεστραμμένον, οὐ μόνον »ἠμύναντο, ἀλλὰ καὶ τιμωρίαν, ὑπὲρ ὧν »τοὺς ἄλλους ἠδίκησαν, ἐπέθηκαν.» — 7. Ἐπὶ μίαν πόλιν κ. τ. λ.) Οὕτω Οὐόλφιος καὶ οἱ μετ' αὐτὸν συνάπτοντες πρὸς τὸ Στρατεύσαντες, πλὴν Μόρου τε καὶ Λαγγίου, παρ' οἷς, Περὶ μίαν πόλιν, ὡς καὶ ἐν τῷ ἐμῷ ἀντιγράφῳ, καὶ ἐν τῇ Ἀντ. Ἀλλ' ἐκεῖ μὲν ὀρθῶς ἔχει ἡ Περὶ διὰ τὴν παράλειψιν τοῦ Στρατεύσαντες, ἐνταῦθα δὲ προέχει, ἡ Ἐπί. — 8. Στρατεύσαντες.) Ἀντ. Λείπει. — 9. Σύμπασαν.) Ἀντ. Πᾶσαν. — 10. Τοῦτον.) Ἀντ. Λείπει. — 11. Τελευτήσειεν.) Ἀντ. Τελέσειαν. — 12. Κατέλιπον.) Ἀντ. Πεποίηνται.

§ 24. 2. Φιλοτίμως πρὸς ἀλλήλους εἶχον.) Ἀντ. Πρὸς ἀλλήλους φιλοτίμως ἔσχον. — 3. Ἀλλὰ καὶ περί.) Ἀντ. Ἀλλὰ περί. — 4. Ἀλλὰ ἅμα μὲν περὶ τῆς.) Ἀντ. Ἀλλὰ περὶ μὲν τῆς. — 5. Ἀρετάς.) Ἀντ. Εὐψυχίας. — 6. Κίνδυνον.)

ἐν ἀλλοτρίαις ψυχαῖς μέλλοντες κινδυνεύσειν·[7] οἱ δὲ οὐκ ἔφθησαν πυθόμενοι τὸν περὶ τὴν Ἀττικὴν πόλεμον, καὶ πάντων τῶν ἄλλων ἀμελήσαντες[8] ἧκον ἡμῖν ἀμυνοῦντες, τοσαύτην ποιησάμενοι σπουδὴν, ὅσηνπερ ἂν τῆς ἑαυτῶν[9] χώρας πορθουμένης. Σημεῖον δὲ τοῦ τάχους καὶ τῆς ἁμίλλης·[10] τοὺς μὲν γὰρ ἡμετέρους προγόνους φασὶ τῆς αὐτῆς ἡμέρας πυθέσθαι τε τὴν ἀπόβασιν τὴν τῶν βαρβάρων,[11] καὶ βοηθήσαντας ἐπὶ τοὺς ὅρους τῆς χώρας, καὶ μάχῃ νικήσαντας, τρόπαιον στῆσαι τῶν πολεμίων· τοὺς δὲ ἐν τρισὶν ἡμέραις, καὶ τοσαύταις νυξὶ, διακόσια καὶ χίλια στάδια[12] διελθεῖν, στρατοπέδῳ πορευομένους. Οὕτω σφόδρα ἠπείχθησαν, οἱ μὲν μετασχεῖν τῶν κινδύνων, οἱ δὲ φθῆναι[13] συμβαλόντες, πρὶν ἐλθεῖν τοὺς βοηθήσοντας.

§ 25. Μετὰ δὲ ταῦτα γενομένης τῆς ὕστερον στρατείας, ἣν αὐτὸς Ξέρξης ἤγαγεν, ἐκλιπὼν μὲν τὰ βασίλεια,[2] στρατηγὸς δὲ καταστῆναι τολμήσας, ἅπαντας δὲ τοὺς ἐκ τῆς Ἀσίας συναγείρας, περὶ οὗ τίς οὐχ, ὑπερβολὰς προθυμηθεὶς[3] εἰπεῖν, ἐλάττω τῶν ὑπαρχόντων εἴρηκεν; ὃς εἰς τοσοῦτον ἦλθεν ὑπερηφανίας, ὥστε, μικρὸν μὲν ἡγησάμενος ἔργον εἶναι τὴν Ἑλλάδα χειρώσασθαι, βουληθεὶς δὲ τοιοῦτο μνημεῖον[4] καταλιπεῖν, ὃ μὴ τῆς ἀνθρωπίνης φύσεώς ἐστιν,[5] οὐ πρότερον ἐπαύσατο, πρὶν ἐξεῦρε καὶ συνηνάγκασεν, ὃ πάντες θρυλλοῦσιν, ὥστε τῷ στρατοπέδῳ πλεῦσαι μὲν διὰ τῆς ἠπείρου, πεζεῦσαι δὲ διὰ τῆς θαλάττης, τὸν μὲν Ἑλλήσποντον ζεύξας, τὸν δὲ Ἄθω διορύξας·[6] πρὸς δὴ τὸν οὕτω

---

Ἀντ. λείπει. — 7. Κινδυνεύσειν.) Ἀντ ἐγράφετο πρὸ ἡμῶν, Κινδυνεύειν. — 8. Πάντων τῶν ἄλλων ἀμελήσαντες.) Οὐ μὲν οὖν τῆς γε περὶ τὰ παρ' αὐτοῖς νομιζόμενα δεισιδαιμονίας· Ἦν γὰρ ἐννάτη ἱσταμένου μηνὸς, ὥς φησιν Ἡρόδοτος (ς, ϛς'. καὶ ρκ'.), ἡνίκα ἡ τῶν Ἀθηναίων δέησις ἠγγέλθη τοῖς Σπαρτιάταις· οὗτοι δὲ ὥσπερ Ἰουδαῖοι σαββατίζοντες, οὐκ ἔφασαν λύειν τὸν παρ' αὐτοῖς νόμον, τὸν ἐξιέναι πρὸ τῆς πανσελήνου κωλύοντα. Μετὰ δὲ τὴν πανσέληνον ἐξελθόντες, ὕστεροι καὶ τῆς συμβολῆς ἐπὶ τὴν Ἀττικὴν παρεγένοντο. — 9. Ἑαυτῶν.) Ἀντ. Αὑτῶν. — 10. Ἁμίλλης.) Ἀντ. Ἁμίλλης αὐτῶν. — 11. Τὴν τῶν βαρβάρων.) Ἀντ. λείπει τὸ πρῶτον τῶν ἄρθρων. — 12. Διακόσια καὶ χίλια στάδια.) Πεντήκοντα σχεδὸν λεύγας Γαλατικάς. — 13. Φθῆναι.) Ταύτην προειλόμην τὴν γραφὴν ἐκ τῆς Ἀντ. τῆς παρ' ἅπασι φερομένης Ὀφθῆναι.

§ 25. 2. Τὰ βασίλεια.) Καθὰ φαμὲν καὶ ἐν τῇ συνηθείᾳ Προσυπακουστέον δὲ, τὸ, Οἰκήματα, ἢ Δώματα. Ὡσαύτως καὶ Ἡρόδοτος (Α. ϟή.) «Τὰ βασιλήϊα» εἴρηκε, τὸν βασιλέως οἶκον δηλῶσαι βουλόμενος. Ἰσοκράτης δὲ καὶ τὸ ἑνικὸν, Βασίλειον, ἐπὶ τῆς αὐτῆς ἐννοίας τέταχεν ἐν τῷ Εὐαγόρᾳ (σελ. 194). Τοῦτο δὲ παρ' ἡμῖν οὐκέτι τὸν βασίλειον οἶκον, ἀλλ' αὐτὴν τὴν βασιλείαν σημαίνει, καθὰ καὶ παρὰ τοῖς Ἑβδομήκοντα (Γ Βασιλ. ιδ', 8). — 3. Προθυμηθείς.) Ἀντ. Βουληθείς. — 4. Μνημεῖον.) Ὅπερ ἡ συνήθεια λέγει, Μνημόσυνον, ἐν ταύτῃ δηλονότι τῇ φράσει, «Εἰς »μνημόσυνον αἰώνιον.» Τὸ γὰρ Μνημεῖον παρ' αὐτῇ, τὸν τάφον δηλοῖ, ἧς ἐννοίας παρὰ μὲν τοῖς ἀρχαίοις ἡ χρῆσις ἠγνόηται, πλὴν εἰ μή που παρὰ Θουκυδίδῃ (Α, ρλή καὶ Ε, ιά)· παρὰ δὲ τοῖς μεταγενεστέροις ἀπὸ τῶν Πτολεμαϊκῶν χρόνων ἀρξάμενον, συνεχέστερον εὕρηται τὸ Μνημεῖον, ἀντὶ τοῦ Τάφου. — 5. Φύσεως ἐστίν.) Ἀντ. Φύσεως ἔργον ἐστίν. — 6. Τὸν μὲν Ἑλλήσποντον ζεύξας, τὸν δὲ Ἄθω διορύξας.)

μέγα φρονήσαντα,[7] καὶ τηλικαῦτα διαπραξάμενον, καὶ τοσούτων[8] δεσπότην γενόμενον, ἀπήντων, διελόμενοι τὸν κίνδυνον, Λακεδαιμόνιοι μὲν εἰς Θερμοπύλας, πρὸς τὸ πεζὸν, χιλίους αὐτῶν ἐπιλέξαντες, καὶ τῶν συμμάχων ὀλίγους παραλαβόντες, ὡς ἐν τοῖς στενοῖς κωλύσοντες αὐτοὺς περαιτέρω προελθεῖν· οἱ δὲ ἡμέτεροι πατέρες ἐπ' Ἀρτεμίσιον, ἑξήκοντα τριήρεις πληρώσαντες[9] πρὸς ἅπαν τὸ τῶν πολεμίων ναυτικόν. Ταῦτα δὲ ποιεῖν ἐτόλμων, οὐχ οὕτω τῶν πολεμίων καταφρονοῦντες, ὡς πρὸς ἀλλήλους ἀγωνιζόμενοι·[10] Λακεδαιμόνιοι μὲν ζηλοῦντες τὴν πόλιν τῆς ἐν Μαραθῶνι μάχης, καὶ ζητοῦντες ἑαυτοὺς ἐξίσου καταστῆσαι,[11] καὶ δεδιότες μὴ δὶς ἐφεξῆς ἡ πόλις ἡμῶν αἰτία γένηται τοῖς Ἕλλησι τῆς σωτηρίας· οἱ δὲ ἡμέτεροι πρόγονοι,[12] μάλιστα μὲν βουλόμενοι διαφυλάξαι τὴν παροῦσαν δόξαν, καὶ πᾶσι ποιῆσαι φανερὸν, ὅτι καὶ πρότερον[13] δι' ἀρετὴν, ἀλλ' οὐ διὰ τὴν τύχην[14] ἐνίκησαν·[15] ἔπειτα δὲ καὶ προσαγαγέσθαι[16] τοὺς Ἕλληνας ἐπὶ τὸ διαναυμαχεῖν,[17] ἐπιδείξαντες αὐτοῖς, ὁμοίως ἐν τοῖς ναυτικοῖς κινδύνοις, ὥσπερ ἐν τοῖς πεζοῖς,[18] τὴν ἀρετὴν τοῦ πλήθους περιγιγνομένην.

§ 26. Ἴσας δὲ τὰς τόλμας παρασχόντες, οὐχ ὁμοίαις[2] ἐχρήσαντο ταῖς τύχαις. Ἀλλ' οἱ μὲν διεφθάρησαν, καὶ, ταῖς ψυχαῖς νικῶντες, τοῖς σώμασιν ἀπεῖπον, (οὐ γὰρ δὴ τοῦτό γε θέμις εἰπεῖν, ὡς ἡττήθησαν, οὐδεὶς γὰρ αὐτῶν φυγεῖν ἠξίωσεν)· οἱ δὲ ἡμέτεροι τοὺς μὲν πρόπλους[3] ἐνίκησαν, ἐπειδὴ δὲ ἤκουσαν τῆς παρόδου τοὺς

Τὸ μὲν Ζεύξας, πρὸς τὸ, Πεζεῦσαι διὰ τῆς θαλάσσης, τὸ δὲ Διορύξας, πρὸς τὸ, Πλεῦσαι διὰ τῆς ἠπείρου κατὰ σχῆμα τὸ καλούμενον Χιαστόν. Μνημονεύει καὶ τούτου τοῦ χωρίου Ἀριστοτέλης (Ῥητορικ. Γ, θ'.) Ἡ δὲ ἱστορία τῆς τε Ἑλλησπόντου ζεύξεως, καὶ τῆς διορυχῆς τοῦ Ἄθω, παρ' Ἡροδότῳ. (Ζ, κγ, καὶ λγ.) — 7. Οὕτω μέγα φρονήσαντα.) Ἀντ. Οὕτω φρονήσαντα. — 8. Καὶ τοσούτων.) Ὁ Στέφανος καὶ ἕτεροί τινες, Τοσούτων δέ. — 9. Ἑξήκοντα τριήρεις πληρώσαντες.) Οὐκ ἔῤῥωται τὸ χωρίον. Ἴσως γραπτέον, Ἑξήκοντα καὶ ἑκατὸν, ἵν' ὁπωσοῦν ἔχῃ συμβαίνειν τὰ τοῦ ἀριθμοῦ τοῖς Ἡροδότῳ ἱστορημένοις, ἐκεῖνος γὰρ ἑπτὰ πρὸς τοῖς εἴκοσι καὶ ἑκατὸν παρασχέσθαι ναῦς τοὺς Ἀθηναίους φησὶ (Η, α') τὴν πρώτην· μετὰ δὲ, τρεῖς καὶ πεντήκοντα (Η, ιδ'.) προσεπιπέμψαι, ὡς γενέσθαι τὰς πάσας Ἀττικὰς τριήρεις ὀγδοήκοντα πρὸς τοῖς ἑκατόν. — 10. Ἀγωνιζόμενοι.) Ἀντ. Φιλοτιμούμενοι. — 11. Ἑαυτοὺς ἐξίσου καταστῆσαι.) Ἀντ. Αὐτοὺς ἐξισῶσαι. — 12. Πρόγονοι.) Ἀντ. Πατέρες. — 13. Πρότερον.) Ἀντ. Πρότερον ἡ πόλις ἡμῶν. — 14. Διὰ τὴν τύχην.) Ἀντ. λείπει τὸ ἄρθρον — 15. Ἐνίκησαν.) Ἀντ. Ἐνίκησεν. — 16. Προσαγαγέσθαι.) Ἀντ. Προαγαγέσθαι βουλόμενοι. — 17. Ἐπὶ τὸ διαναυμαχεῖν.) Προειλόμην μετὰ τοῦ Αὐγήρου ταύτην τὴν ἐξ Ἀντ. γραφὴν τῆς ἑτέρας, Ἐπὶ τῷ διαναυμαχεῖν. — 18. Ἐν τοῖς πεζοῖς.) Προσέθηκα τὸ ἄρθρον ἐκ τῆς Ἀντ.

§ 26. 2. Ὁμοίαις.) Ὁμοίως γράφεται παρ' ἅπασι· τὸ δ' ἐμὸν ἀντίγραφον ἐνταῦθα μὲν, Ὁμοίως, ἐν δὲ τῇ Ἀντ. Ὁμοίαις. Ταύτην οὖν τὴν γραφὴν, οὐ χαλεπὴν εἰκάσαι, προειλόμην, προσλόμενος, ἂν καὶ εἰ μηδὲν τῶν ἀντιγράφων ὡμολόγει μου τῇ διορθώσει· οὕτω γὰρ καὶ, «Ἐξουσίαις ὁμοίαις κεχρημένας» καὶ, «Παραπλησίαις ἀτυχίαις χρησαμένους» εἴρηκεν ἐν τῷ Παναθηναϊκῷ (σελ. 240, καὶ 244) ὁ Ἰσοκράτης. — 3. Τὰς μὲν πρόπλους.) Τὰς πρὸ τῶν ἄλλων πλεούσας, ἐλλειπτικῶς τοῦ, Ναῦς· Θουκυδίδης δὲ (ς, μδ) «Πρόπλοι τῆς»

πολεμίους κρατοῦντας,[4] οἴκαδε καταπλεύσαντες [καὶ τὰ κατὰ τὴν πόλιν διοικήσαντες],[5] οὕτως ἐβουλεύσαντο περὶ τῶν λοιπῶν, ὥστε, πολλῶν καὶ καλῶν αὐτοῖς[6] προειργασμένων, ἐν τοῖς τελευταίοις τῶν κινδύνων ἐπὶ πλέον διενεγκεῖν.[7] Ἀθύμως γὰρ ἁπάντων τῶν συμμάχων διακειμένων, καὶ Πελοποννησίων μὲν διατειχιζόντων τὸν Ἰσθμὸν, καὶ ζητούντων ἰδίαν αὑτοῖς σωτηρίαν, τῶν δὲ ἄλλων πόλεων ὑπὸ τοῖς βαρβάροις γεγενημένων, καὶ συστρατευομένων[8] ἐκείνοις, πλὴν εἴ τις διὰ σμικρότητα παρημελήθη,[9] προσπλεουσῶν δὲ τριηρῶν διακοσίων καὶ χιλίων,[10] καὶ τῆς πεζῆς στρατιᾶς ἀναριθμήτου μελλούσης εἰς τὴν Ἀττικὴν εἰσβάλλειν,[11] οὐδεμιᾶς σωτηρίας αὐτοῖς ὑπολειπομένης,[12] ἀλλ' ἔρημοι συμμάχων γεγενημένοι, καὶ τῶν ἐλπίδων ἁπασῶν διημαρτηκότες, ἐξὸν αὐτοῖς, μὴ μόνον τοὺς παρόντας κινδύνους διαφυγεῖν, ἀλλὰ καὶ τιμὰς ἐξαιρέτους λαβεῖν, ἃς αὐτοῖς ἐδίδου βασιλεὺς,[13] ἡγούμενος, εἰ τὸ τῆς πόλεως προσλάβοι ναυτικὸν, παραχρῆμα καὶ Πελοποννήσου κρατήσειν, οὐχ ὑπέμειναν τὰς παρ' ἐκείνου δωρεὰς,[14] οὐδὲ ὀργισθέντες[15] τοῖς Ἕλλησιν, ὅτι προὐδόθησαν, ἀσμένως ἐπὶ τὰς διαλλαγὰς τὰς πρὸς τοὺς βαρβάρους ὥρμησαν, ἀλλ' αὐτοὶ μὲν ὑπὲρ τῆς ἐλευθερίας πολεμεῖν παρεσκευάζοντο, τοῖς δ' ἄλλοις τὴν δουλείαν αἱρουμένοις συγγνώμην εἶχον. Ἡγοῦντο γὰρ ταῖς μὲν ταπειναῖς τῶν πόλεων προσήκειν ἐξ ἅπαντος τρόπου[16] ζητεῖν τὴν σωτηρίαν· ταῖς δὲ προεστάναι τῆς Ἑλλάδος ἀξιούσαις οὐχ οἷόν τ' εἶναι διαφεύγειν

---

ἀνελλειπῶς εἶπε. — 4. Τῆς παρόδου τοὺς πολεμίους κρατοῦντας.) Ἀντ. Τοὺς πολεμίους τῆς παρόδου κρατήσαντας. — 5. Καὶ τὰ κατὰ τὴν πόλιν διοικήσαντες.) Αἱ ἐξ αὗται λέξεις, οὐχ εὑρισκόμεναι ἐν τοῖς ἀντιγράφοις, προσετέθησαν ὑπὸ Οὐολφίου· ἀντὶ δὲ τούτων ἐν τῇ Ἀντ. γράφεται, Καὶ κατασκευάσαντες τὰ περὶ τὴν πόλιν. — 6. Πολλῶν καὶ καλῶν αὐτοῖς.) Ἀντ. Πολλῶν αὐτοῖς καὶ καλῶν. — 7. Ἐπὶ πλέον διενεγκεῖν.) Ἀντ. Ἔτι πλέον διήνεγκαν. — 8. Συστρατευομένων.) Ἀντ. Συστρατευσαμένων. — 9 Εἴ τις . . . παρημελήθη.) Ἀντ. Εἴ τινες αὐτῶν . . . παρημελήθησαν. — 10. Τριηρῶν διακοσίων καὶ χιλίων.) Καθὰ καὶ Λυσίας ἐν τῷ Ἐπιταφίῳ, παρέλιπε τὰς ἑπτὰ, ἃς Ἡρόδοτος (Ζ. πθ'.) προστίθησι ταύταις· οὐδὲ γὰρ ὤφειλεν ἐξ ἀνάγκης τὴν ἱστορικὴν ἀκρίβειαν, πανηγυρίζων φυλάξαι ἄλλως τε καὶ ἐξὸν καὶ τοῖς μὴ πανηγυρίζουσι τῆς ἀκριβείας ὀλιγωρεῖν ἐν τοῖς ἐλαχίστοις τῶν ἀριθμῶν. — 11. Εἰσβάλλειν.) Ἀντ. Ἐμβαλεῖν. — 12. Ὑπολειπομένης.) Ἀντ. Ὑποφαινομένης. — 13. Τιμὰς . . . ἃς αὐτοῖς ἐδίδου βασιλεύς.) Μνήμης ἁμαρτίᾳ συνέχεεν ὁ Ῥήτωρ τοὺς χρόνους· καὶ γὰρ ἃ Ξέρξης ὑπέσχετο, ταῦτα μετὰ τὴν ἐν Σαλαμῖνι μάχην Μαρδόνιος διὰ Ἀλεξάνδρου τοῦ Ἀμύντου Ἀθηναίοις ἀπήγγειλεν· ἢ δῆλον ἐκ τῶν ἐχομένων »Ἡγούμενος εἰ τὸ τῆς πόλεως προσ»λάβοι ναυτικὸν κτλ.» παραβληθέντων τοῖς ἱστορηθεῖσιν Ἡροδότῳ (Η, ρλς'.) »Τουτέων δὲ προσγενομένων, κατήλπιζε »εὐπετέως τῆς θαλάσσης κρατήσειν», καὶ οἷς Δημοσθένης φησὶν ἐν τῷ κατὰ Φιλίππου δευτέρῳ (σελ. 45.) — 14. Οὐχ ὑπέμειναν τὰς παρ' ἐκείνου δωρεάς.) Καλὸν, καὶ μεγαλοφροσύνης Ἑλληνικῆς ἄξιον τὸ, Ὑπέμειναν ἀπὸ τῶν ὕβρεων ἐπὶ τὰς τιμάς τε καὶ δωρεὰς μετενεχθέν. Αἱ γὰρ παρὰ τῶν τυράννων δωρεαὶ, οὐδέν εἰσιν ἕτερον ἢ ὕβρεις τοῖς ἐλευθέροις εἶναι βουλομένοις. — 15. Οὐδὲ ὀργισθέντες.) Ἀντ. Οὐδ' ὀργιζόμενοι. — 16. Ἐξ ἅπαντος τρόπου.) Μετ' αἰσχύνης δηλονότι, καὶ ἄνευ αἰσχύνης.

τοὺς κινδύνους, ἀλλ' ὥσπερ τῶν ἀνδρῶν τοῖς καλοῖς κἀγαθοῖς αἱρετώτερόν ἐστι καλῶς ἀποθανεῖν, ἢ ζῆν αἰσχρῶς, οὕτω καὶ τῶν πόλεων ταῖς ὑπερεχούσαις λυσιτελεῖν ἐξ ἀνθρώπων ἀφανισθῆναι μᾶλλον, ἢ δούλαις ὀφθῆναι γενομέναις.[17] Δῆλον δ' ὅτι ταῦτα διενοήθησαν· ἐπειδὴ γάρ[18] οὐχ οἷοί τ' ἦσαν πρὸς ἀμφοτέρας ἅμα παρατάξασθαι τὰς δυνάμεις, παραλαβόντες ἅπαντα τὸν ὄχλον τὸν ἐκ τῆς πόλεως, εἰς τὴν ἐχομένην νῆσον[19] ἐξέπλευσαν, ἵν' ἐν μέρει πρὸς ἑκατέραν τὴν δύναμιν, ἀλλὰ μὴ πρὸς ἀμφοτέρας ἅμα κινδυνεύσωσι.[20]

§ 27. Καίτοι πῶς ἂν ἐκείνων ἄνδρες ἀμείνους, ἢ μᾶλλον φιλέλληνες, ὄντες ἐπιδειχθεῖεν, οἵτινες ἐτόλμησαν[2] ἐπιδεῖν, ὥστε μὴ τοῖς λοιποῖς[3] αἴτιοι γενέσθαι τῆς δουλείας, ἐρήμην μὲν τὴν πόλιν γιγνομένην, τὴν δὲ χώραν πορθουμένην, ἱερὰ δὲ συλώμενα,[4] καὶ νεὼς ἐμπιπραμένους, ἅπαντα δὲ τὸν πόλεμον[5] περὶ πατρίδα τὴν ἑαυτῶν[6] γιγνόμενον; Καὶ οὐδὲ ταῦτα ἀπέχρησεν αὐτοῖς, ἀλλὰ πρὸς χιλίας καὶ διακοσίας[7] τριήρεις μόνοι διαναυμαχεῖν ἐτόλμησαν. Οὐ μὴν εἰάθησαν·[8] καταισχυνθέντες γὰρ Πελοποννήσιοι τὴν ἀρετὴν αὐτῶν, καὶ νομίσαντες, προδιαφθαρέντων μὲν τῶν ἡμετέρων, οὐδ' αὐτοὶ σωθήσεσθαι, κατορθωσάντων δέ, εἰς ἀτιμίαν τὰς αὑτῶν πόλεις καταστήσειν, ἠναγκάσθησαν μετασχεῖν τῶν κινδύνων. Καὶ τοὺς μὲν θορύβους[9] τοὺς ἐν τῷ πράγματι γενομένους, καὶ τὰς κραυγάς, καὶ τὰς παρακελεύσεις, ἃ κοινὰ πάντων εἰσὶ[10] τῶν ναυμαχούντων, οὐχ ὁρῶ ὅτι δεῖ[11] λέγοντα διατρίβειν· ἃ δέ ἐστιν ἴδια, καὶ τῆς ἡγεμονίας ἄξια, καὶ τοῖς προειρημένοις[12] ὁμολογούμενα, ταῦτα δ' ἐμὸν ἔργον εἰπεῖν ἐστί.[13] Τοσοῦτον γὰρ ἡ πόλις ἡμῶν διέφερεν, ὅτ' ἦν ἀκέραιος, ὥστε ἀνάστατος γενομένη, πλείους μὲν συνεβάλετο[14] τριήρεις εἰς τὸν κίνδυνον, τὸν ὑπὲρ τῆς

---

Ἐν τῇ Ἀντ. γράφεται, Ἐκ παντὸς τρόπου. — 17. Δούλαις ὀφθῆναι γενομέναις.) Ἀντ. Δούλας ὀφθῆναι γενομένας. — 18. Ἐπειδὴ γάρ.) Λείπει ὁ δεύτερος τῶν συνδέσμων ἔν τισι τῶν ἀντιγράφων, ἐν οἷς καὶ τὸ ἐμόν. — 19. Εἰς τὴν ἐχομένην νῆσον.) Τὴν Σαλαμῖνα λέγει. Οἱ μέντοι πλεῖστοι εἰς Τροιζῆνα ἐξέπλευσαν, καὶ εἰς Αἴγιναν ἄλλοι καθ' Ἡρόδοτον (Η. μά). — 20. Ἅμα κινδυνεύσωσι.) Ἀντ. Ἅμα τὰς δυνάμεις παρακινδυνεύσωσι.

§ 27. 2. Ἐτόλμησαν.) Ἀντ. Ἔτλησαν. — 3. Τοῖς λοιποῖς.) Ἀντ. Τοῖς Ἕλλησιν. — 4. Συλώμενα.) Ἀντ. Σεσυλημένα. — 5. Ἅπαντα δὲ τὸν πόλεμον.) Ἐν τῇ Στεφάνου ἐκδόσει οὐκ ὀρθῶς, Ἅπαντα δὲ καὶ τὸν πόλεμον. — 6. Πατρίδα τὴν ἑαυτῶν.) Ἀντ. Τὴν πατρίδα τὴν αὑτῶν. — 7. Χιλίας καὶ διακοσίας.) Ἀντ. Διακοσίας καὶ χιλίας. — 8. Οὐ μὴν εἰάθησαν.) Ἀντ. Οὐ μὴν εἰάθησάν γε. — 9. Καὶ τοὺς μὲν θορύβους . . . διατρίβειν.) Ὅμοια τοῖς ἐν τῷ Εὐαγόρᾳ (σελ. 194) λεχθεῖσιν. Ὑπειλήφασι δέ τινες τὸν Ἰσοκράτην ἐνταῦθα Λυσίου καθάπτεσθαι· ἐκεῖνος γάρ ἐστιν ὁ πέρα τοῦ μετρίου ἐν τῷ Ἐπιταφίῳ διατρίψας περὶ τὴν ἔκφρασιν τῆς ναυμαχίας ταύτης. — 10. Εἰσί.) Ἀντ. Ἐστί. — 11. Οὐχ ὁρῶ ὅτι δεῖ.) Διεσκεύασα τὴν γραφήν, ἔκ τε τῆς κολοβῆς τοῦ ἐμοῦ ἀντιγράφου, Οὐχ ὅτι δεῖ, καὶ ἐκ τῆς Ἀντ. Οὐκ οἶδ' ὅτι δεῖ. — 12. Προειρημένοις.) Ἀντ. Προηγουμένοις. — 13. Εἰπεῖν ἐστί.) Ἀντ. Ἐστὶν εἰπεῖν. — 14. Πλείους μὲν συνεβάλετο.)

Ἑλλάδος, ἢ σύμπαντες οἱ συνναυμαχήσαντες·[15] οὐδεὶς δὲ πρὸς ἡμᾶς οὕτως ἔχει δυσμενῶς, ὅστις οὐκ ἂν ὁμολογήσειε, διὰ μὲν τὴν ναυμαχίαν ἡμᾶς τῷ πολέμῳ[16] κρατῆσαι, ταύτης δὲ τὴν ἡμετέραν πόλιν αἰτίαν γενέσθαι.[17]

§ 28. Καίτοι μελλούσης στρατείας ἐπὶ τοὺς βαρβάρους ἔσεσθαι, τίνας χρὴ τὴν ἡγεμονίαν ἔχειν; οὐ τοὺς ἐν τῷ προτέρῳ πολέμῳ μάλιστα εὐδοκιμήσαντας, καὶ πολλάκις μὲν ἰδίᾳ προκινδυνεύσαντας, ἐν δὲ τοῖς κοινοῖς τῶν ἀγώνων ἀριστείων ἀξιωθέντας; οὐ τοὺς τὴν ἑαυτῶν[2] ἐκλιπόντας ὑπὲρ τῆς τῶν ἄλλων σωτηρίας, καὶ τό τε παλαιὸν οἰκιστὰς τῶν πλείστων πόλεων γενομένους,[3] καὶ πάλιν αὐτὰς ἐκ τῶν μεγίστων συμφορῶν διασώσαντας; Πῶς δὲ οὐκ ἂν δεινὰ πάθοιμεν, εἰ, τῶν κακῶν πλεῖστον μέρος μετασχόντες, ἐν ταῖς τιμαῖς ἔλαττον ἔχειν ἀξιωθείημεν, καί, τότε προταχθέντες ὑπὲρ ἁπάντων, νῦν ἑτέροις ἀκολουθεῖν ἀναγκασθείημεν;

§ 29. Μέχρι μὲν οὖν τούτων οἶδ' ὅτι πάντες ἂν ὁμολογήσαιεν πλείστων ἀγαθῶν τὴν πόλιν ἡμῶν αἰτίαν γεγενῆσθαι, καὶ δικαίως ἂν αὐτῆς τὴν ἡγεμονίαν εἶναι.[2] Μετὰ δὲ ταῦτα ἤδη τινὲς ἡμῶν κατηγοροῦσιν, ὡς, ἐπειδὴ τὴν ἀρχὴν τῆς θαλάττης παρελάβομεν πολλῶν κακῶν αἴτιοι τοῖς Ἕλλησι κατέστημεν, καί τόν τε Μηλίων[3] ἀνδραποδισμόν, καὶ τὸν Σκιωναίων[4] ὄλεθρον ἐν τούτοις τοῖς λόγοις ἡμῖν προφέρουσιν.[5] Ἐγὼ δ' ἡγοῦμαι, πρῶτον μὲν οὐδὲν εἶναι τοῦτο σημεῖον, ὡς κακῶς ἤρχομεν, εἴ

---

Ὀβελιστέον εἶναι τὸν ΜΕΝ, εἴτιν οἱ τῶν πρὸ ἡμῶν παρήνεσαν, διὰ τὸ δοκοῦν ἀνταπόδοτον. Ἔστι γε μὴν ἀνταποδιδόναι πρὸς τό, Οὐδεὶς δὲ πρὸς ἡμᾶς, ἀπὸ κοινοῦ λαμβάνοντες τό, Ὥστε, ἵν' ᾖ, Τοσοῦτον ἡ πόλις ἡμῶν διέφερε, ὥστε οὐκ ἔστιν ὃς οὐκ ἂν ὁμολογήσειεν αἰτίαν αὐτὴν γενέσθαι τῆς ναυμαχίας, δι' ἣν ἐκρατήσαμεν τῶν βαρβάρων· χωρὶς εἰ μή τις εἰς τό, ΜΟΝΗ τρεπτέον εἶναι τόν, ΜΕΝ, ὑπολάβοι ἵνα συνάπτηται μὲν πρὸς τό, Πόλις, ἀντιδιαστέλληται δὲ πρὸς τό, Σύμπαντες· οὕτω γὰρ καὶ Ἡρόδοτος (Η, μδ'.) περὶ αὐτῶν τούτων τῶν Ἀττικῶν νεῶν τὸν λόγον ποιούμενος, »Ἀθηναῖοι μὲν πρὸς ΠΑΝΤΑΣ τοὺς ἄλλους, παρεχόμενοι νῆας ὀγδώκοντα καὶ »ἑκατὸν ΜΟΥΝΟΙ.» — 15. Συνναυμαχήσαντες.) Δι' ἣν αἰτίαν ἐν τῷ Παναθηναϊκῷ (ιζ'.) ἔτρεψα τό, Κινδυνεύσαντες, εἰς τό, Συγκινδυνεύσαντες, ὑπαγορεύοντος τοῦτο καὶ τοῦ ἐμοῦ ἀντιγράφου, διὰ τὴν αὐτὴν κἀνταῦθα οὐκ ὤκνησα τρέψαι τὸ παρὰ τοῖς ἄλλοις Ναυμαχήσαντες εἰς τὸ Συνναυμαχήσαντες, καὶ ἄνευ τῆς παρὰ τῶν ἰδίων ἀντιγράφων ἐπικουρίας. Μέτιθι οὖν τὰ ἐκεῖ λεχθησόμενα, ἵνα μὴ δὶς ταὐτὰ λέγειν ἀναγκαζώμεθα. — 16. Τῷ πολέμῳ.) Ἀντ. Τῶν πολεμίων. — 17. Τὴν ἡμετέραν πόλιν αἰτίαν γενέσθαι.) Ἀντ. Τὴν πόλιν αἰτίαν γεγενῆσθαι.

§ 28. Ἑαυτῶν.) Ἀντὶ αὑτῶν. — 3. Γενομένους.) Ἀντὶ Γεγενημένους.

§ 29. 2. Μέχρι μὲν οὖν . . . τὴν ἡγεμονίαν εἶναι.) Ἐξήλλακται ταῦτα μικρὸν ἐν τῇ Ἀντ. »περὶ μὲν οὖν τῆς ἡγε»μονίας, ὡς δικαίως ἂν εἴη τῆς πόλεως »ῥᾴδιον ἐκ τῶν εἰρημένων καταμαθεῖν.» — 3. Μηλίων.) Τῶν οἰκούντων τὴν νῆσον Μῆλον, ἣ καὶ μέχρι δεῦρο τῷ αὐτῷ καλεῖται ὀνόματι. — 4. Τὸν Σκιωναίων.) Οὕτως ἐν τῷ ἐμῷ ἀντιγράφῳ, ἀντὶ τοῦ παράπασι, τῶν Σκιωναίων. Ἡ δὲ Σκιώνη, πόλις Θρᾴκης, ἧς ὁ πολίτης Σκιωνεύς, καὶ Σκιωναῖος· καλεῖται δὲ τανῦν Νέα Κασάνδρεια, ὥς φησιν ὁ Γαλατικὸς Γεωγράφος Δαμβίλλης. — 5. Προφέρουσιν.) Ὀνειδίζουσι. κατὰ τὸ (Ἰλιάδ. Γ. 64,)

Μή μοι δῶρ' ἐρατὰ πρόφερε...

τινες τῶν πολεμησάντων ἡμῖν, σφόδρα φαίνονται κολασθέντες· ἀλλὰ πολὺ τόδε μεῖζον τεκμήριον, ὡς καλῶς διῳκοῦμεν τὰ τῶν συμμάχων, ὅτι τῶν πόλεων, τῶν ὑφ' ἡμῖν[6] οὐσῶν, οὐδεμία ταύταις συμφοραῖς περιέπεσεν. Ἔπειτα, εἰ μὲν ἄλλοι τινὲς τῶν αὐτῶν πραγμάτων πρᾳότερον ἐπεμελήθησαν, εἰκότως ἂν ἡμῖν ἐπιτιμῷεν· εἰ δὲ μήποτε τοῦτο γέγονε, μήτ' οἷόν τέ ἐστι τοσούτων πόλεων τὸ πλῆθος κρατεῖν, ἢν μή τις κολάζῃ τοὺς ἐξαμαρτάνοντας, πῶς οὐ δίκαιόν ἐστιν ἡμᾶς ἐπαινεῖν, οἵτινες ἐλαχίστοις χαλεπήναντες, πλεῖστον χρόνον τὴν ἀρχὴν κατασχεῖν ἠδυνήθημεν;

§ 30. Οἶμαι δὲ πᾶσι δοκεῖν, τούτους κρατίστους προστάτας γεγενῆσθαι τῶν Ἑλλήνων, ἐφ' ὧν οἱ πειθαρχήσαντες ἄριστα τυγχάνουσι πράξαντες. Ἐπὶ τοίνυν τῆς ἡμετέρας ἡγεμονίας, εὑρήσομεν καὶ τοὺς οἴκους τοὺς ἰδίους πρὸς εὐδαιμονίαν πλεῖστον ἐπιδόντας, καὶ τὰς πόλεις μεγίστας γενομένας. Οὐ γὰρ ἐφθονοῦμεν ταῖς αὐξανομέναις αὐτῶν, οὐδὲ ταραχὰς ἐνεποιοῦμεν,[2] πολιτείας ὑπεναντίας παρακαθιστάντες, ἵν' ἐν ἀλλήλοις μὲν στασιάζοιεν, ἡμᾶς δὲ ἀμφότεροι θεραπεύοιεν· ἀλλά, τὴν τῶν συμμάχων ὁμόνοιαν κοινὴν ὠφέλειαν νομίζοντες, τοῖς αὐτοῖς νόμοις ἁπάσας τὰς πόλεις διῳκοῦμεν, συμμαχικῶς, ἀλλ' οὐ δεσποτικῶς, βουλευόμενοι[3] περὶ αὐτῶν· ὅλων μὲν τῶν πραγμάτων ἐπιστατοῦντες, ἰδίᾳ δ' ἑκάστους ἐλευθέρους ἐῶντες εἶναι· καὶ τῷ μὲν πλήθει[4] βοηθοῦντες, ταῖς δυναστείαις δὲ πολεμοῦντες, δεινὸν ἡγούμενοι τοὺς πολλοὺς ὑπὸ τοῖς λόγοις εἶναι, καὶ τοὺς ταῖς οὐσίαις ἐνδεεστέρους, τὰ δὲ ἄλλα μηδὲν χείρους ὄντας, ἀπελαύνεσθαι τῶν ἀρχῶν· ἔτι δέ, κοινῆς τῆς πατρίδος οὔσης, τοὺς μὲν τυραννεῖν, τοὺς δὲ μετοικεῖν,[5] καὶ φύσει πολίτας ὄντας, νόμῳ τῆς πολιτείας ἀποστερεῖσθαι. Τοιαῦτ' ἔχοντες ταῖς ὀλιγαρχίαις ἐπιτιμᾷν, καὶ πλείω τούτων, τὴν αὐτὴν πολιτείαν, ἥνπερ παρ' ἡμῖν αὐτοῖς, καὶ παρὰ τοῖς ἄλλοις κατεστήσαμεν· ἣν οὐκ οἶδ' ὅτι δεῖ διὰ μακροτέρων ἐπαινεῖν, ἄλλως τε καὶ συντόμως ἔχοντα δηλῶσαι περὶ αὐτῆς. Μετὰ γὰρ ταύτης οἰκοῦντες ἑβδομήκοντα ἔτη[6] διετελέσαμεν, ἀπει-

— 6. Ὑφ' ἡμῖν.) Εἰς τοῦτο ἔτρεψα τό, Ἐφ' ἡμῖν.

§ 30 2. Ἐνεποιοῦμεν.) Ἐκ διορθώσεως τοῦ Οὐολφίου, ἀντὶ τοῦ ἁπλοῦ, Ἐποιοῦμεν· δῆλον δὲ καὶ ἐξ ὧν ἀλλαχοῦ (σελ. 100) εἴρηκεν, «Ἐν ταῖς ἑαυτῶν »πόλεσι στάσεις καὶ σφαγὰς καὶ ταραχὰς »ἐμποιοῦντες». — 3. Δεσποτικῶς, βουλευόμενοι.) Αὐτογνωμόνως, ὡς δεσπόται βουλεύονται περὶ δούλων. Σημειοῦ δὲ τό, Δεσποτικῶς, ἐνταῦθα, ταὐτὸν δυνάμενον τῷ τυραννικῶς, καθὰ καὶ παρὰ τοῖς Γαλάταις ἐκλαμβάνεται αὐτὸ τοῦτο τὸ ἐπίρρημα, μεταποιηθὲν εἰς τὸ Despotiquement. — 4. Τῷ μὲν πλήθει.) Τῇ δημοκρατίᾳ· τοῦτο γὰρ σημαίνει πολλάκις παρὰ τοῖς ῥήτορσιν ἡ λέξις. — 5. Μετοικεῖν.) Ὡς μετοίκους ζῆν ἐν ταῖς ἑαυτῶν πατρίσι, τουτέστι μὴ μετέχειν τῆς πολιτείας. — 6. Ἑβδομήκοντα ἔτη.) Οὐ περὶ τῆς Ἀθηναίων ἀρχῆς ὑπείληφεν ὁ Μόρος εἶναι τὸν λόγον ἐνταῦθα τῷ ῥήτορι, περὶ ἧς (ὡς ὑπέλαβον ἕτεροι) ἀνωτέρω μὲν ἀδιορίστως

ροι μὲν τυραννίδων, ἐλεύθεροι δὲ πρὸς τοὺς βαρβάρους, ἀστασίαστοι δὲ πρὸς σφᾶς αὐτούς, εἰρήνην δὲ ἄγοντες πρὸς ἅπαντας ἀνθρώπους.

§ 31. Ὑπὲρ ὧν προσήκει τοὺς εὖ φρονοῦντας μεγάλην χάριν ἔχειν πολὺ μᾶλλον, ἢ τὰς κληρουχίας[2] ἡμῖν ὀνειδίζειν, ἃς ἡμεῖς εἰς τὰς ἐρημουμένας τῶν πόλεων,[3] φυλακῆς ἕνεκα τῶν χωρίων, ἀλλ' οὐ διὰ πλεονεξίαν, ἐξεπέμπομεν. Σημεῖον δὲ τούτων· ἔχοντες γὰρ χώραν πρὸς μὲν τὸ πλῆθος τῶν πολιτῶν ἐλαχίστην, ἀρχὴν δὲ μεγίστην, κεκτημένοι δὲ τριήρεις, διπλασίας μὲν ἢ σύμπαντες οἱ ἄλλοι, δυναμένας δὲ πρὸς δὶς τοσαύτας κινδυνεύειν, ὑποκειμένης[4] δὲ τῆς Εὐβοίας ὑπὸ τὴν Ἀττικήν, ἣ καὶ πρὸς τὴν ἀρχὴν τῆς θαλάττης εὐφυῶς εἶχε, καὶ πρὸς τὴν ἄλλην ἀρετὴν ἁπασῶν τῶν νήσων διέφερε, κρατοῦντες αὐτῆς μᾶλλον, ἢ τῆς ἡμετέρας αὐτῶν, καὶ πρὸς τούτοις εἰδότες, καὶ τῶν ἄλλων Ἑλλήνων, καὶ τῶν βαρβάρων τούτους μάλιστ' εὐδοκιμοῦντας,[5] οἳ τοὺς ὁμόρους ἀναστάτους ποιήσαντες, ἄφθονον καὶ ῥᾴθυμον αὑτοῖς κατεστήσαντο τὸν βίον, ὅμως οὐδὲν τούτων ἡμᾶς ἐπῆρε περὶ τοὺς ἔχοντας τὴν νῆσον ἐξαμαρτεῖν, ἀλλὰ μόνοι δὴ τῶν μεγάλην δύναμιν ἐχόντων περιείδομεν ἡμᾶς αὐτοὺς ἀπορώτερον ζῶντας, τῶν δουλεύειν αἰτίαν ἐχόντων.[6] Καίτοι βουλόμενοι πλεονεκτεῖν, οὐκ ἂν δήπου τῆς μὲν Σκιωναίων γῆς ἐπεθυμήσαμεν, ἣν Πλαταιέων

---

εἴρηκε, «Πλεῖστον χρόνον τὴν ἀρχὴν κατασχεῖν ἠδυνήθημεν»· ἐνταῦθα δὲ, ὁμολογῶν τῷ Λυσίᾳ (Ἐπιταφ. σελ. 113.) ἑβδομήκοντα φησὶ ταύτην ἔτη διαμεῖναι ἐν τῷ Παναθηναϊκῷ (σελ. 243.) πέντε καὶ ἑξήκοντα φήσας. Διαπεφώνηται γὰρ μάλιστα τὰ περὶ τοῦ χρόνου τῆς Ἀθηναίων ἀρχῆς. Καὶ γὰρ καὶ Δημοσθένης ὁτὲ μὴν (Ὀλυνθ. Γ. σελ. 25) πέντε καὶ τεσσαράκοντα, ὁτὲ δὲ (κατὰ Φιλιππ. Γ. σελ. 68,) ἑβδομήκοντα καὶ τρία ἔτη προστῆναι τοὺς Ἀθηναίους τῶν Ἑλλήνων λέγει· Λυκοῦργος δὲ (κατὰ Λεωκράτ. § 17,) ἐνενήκοντα (πλὴν εἰ μὴ γραφικῶς ἡμάρτηται ὁ ἀριθμὸς, ὥς τινες ὑπειλήφασι·) Ἀνδοκίδης δὲ (περὶ τῆς πρὸς Λακεδ. εἰρ. σελ. 107,) πέντε καὶ ὀγδοήκοντα. Διονύσιος δὲ ὁ Ἁλικαρνασεὺς (Ῥωμ. Ἀρχ. Α, γ'.) δυοῖν δέοντα ἑβδομήκοντα.

§ 31. 2. Κληρουχίας.) Ἀφῃρημένῳ χρῆται τῷ Κληρουχίας, ἀντὶ τοῦ συγκεκριμένου, Κληρούχους, ὡς καὶ ἀλλαχοῦ, Μοναρχίας εἴρηκεν ἀντὶ τοῦ, Μονάρχους. Ἐκαλοῦντο δὲ Κληροῦχοι ἥ φησιν Ἁρποκρατίων, τουτὶ τὸ χωρίον Ἰσοκράτους ἐξηγούμενος «Οὓς Ἀθηναῖοι ἔπεμπον »ἐπὶ τὰς πόλεις, ἃς ἐλάμβανον, κλήρους »ἑκάστοις διανεμοῦντας.» Παρ' ᾧ ἀντὶ Διανεμοῦντας, γραπτέον ἴσως, Διανέμοντες· εἰ γὰρ καὶ Κληροῦχοι ἔσθ', ὅτε ἐλέγοντο οἱ κλήρῳ μερίζοντες τὴν γῆν, κυριώτερον ὅμως τοῦτο ἐκαλοῦντο αὐτοὶ οἱ τοὺς κλήρους, ἤγουν τὰς μερίδας, τῆς πολέμῳ ἢ ἄλλως κρατηθείσης γῆς λαμβάνοντες ἄποικοι, οἱονεὶ κληρονόμοι γινόμενοι τῶν ἀπελαθέντων, ἢ φονευθέντων κατοίκων. — 3. Εἰς τὰς ἐρημουμένας τῶν πόλεων.) Καὶ μὴν ἥ τε Μῆλος καὶ ἡ Σκιώνη, πρὸ τοῦ κληρουχηθῆναι, ὑπὸ τῶν σῶν πολιτῶν, Ἰσόκρατες, ὑπὲρ ὧν ἀπολογῇ, ἠρήμωντο. — 4. Ὑποκειμένης.) Παρακειμένης, γειτνιώσης, οὐχ, ὡς παρὰ τοῖς μεταγενεστέροις, ἀντὶ τοῦ Ὑπηκόου οὔσης. — 5. Μάλιστ' εὐδοκιμοῦντας.) Ἐκ δύο ἀντιγράφων καὶ τρίτου τοῦ ἐμοῦ, ἀντὶ τοῦ, Κάλλιστ' εὐδοκιμοῦντας. — 6. Τῶν δουλεύειν αἰτίαν ἐχόντων.) Τῶν ἀξίων ὄντων δουλεύειν, διὰ τὸ ἀφεστάναι τῶν Ἀθηναίων· λέγει δὲ τοὺς Εὐβοέας (Διοδώρ. Σικελ. ΙΒ. ζ'.)

τοῖς ὡς ἡμᾶς καταφυγοῦσι φαινόμεθα παραδόντες, τοσαύτην δὲ χώραν παρελίπομεν, ἣ πάντας ἂν ἡμᾶς εὐπορωτέρους ἐποίησε.

§ 32. Τοιούτων τοίνυν ἡμῶν γεγενημένων, καὶ τοσαύτην πίστιν δεδωκότων ὑπὲρ τοῦ μὴ τῶν ἀλλοτρίων ἐπιθυμεῖν, τολμῶσι κατηγορεῖν οἱ τῶν δεκαδαρχιῶν[2] κοινωνήσαντες, καὶ τὰς ἑαυτῶν πατρίδας λυμηνάμενοι, καὶ μικρὰς μὲν ποιήσαντες δοκεῖν εἶναι τὰς τῶν προγεγενημένων ἀδικίας, οὐδεμίαν δὲ ἀπολιπόντες ὑπερβολὴν τοῖς αὖθις βουλομένοις γενέσθαι πονηροῖς,[3] ἀλλὰ φάσκοντες μὲν λακωνίζειν, τἀναντία δ' ἐκείνοις ἐπιτηδεύοντες, καὶ τὰς μὲν Μηλίων. ὀδυρόμενοι συμφοράς, περὶ δὲ τοὺς ἑαυτῶν πολίτας ἀνήκεστα τολμήσαντες ἐξαμαρτεῖν. Ποῖον γὰρ αὐτοὺς ἀδίκημα διέφυγεν; ἢ τί τῶν αἰσχρῶν καὶ δεινῶν οὐ διεξῆλθον; οἱ τοὺς μὲν ἀνομωτάτους[4] πιστοτάτους ἐνόμιζον, τοὺς δὲ προδότας ὥσπερ εὐεργέτας ἐθεράπευον, ᾑροῦντο[5] δὲ τῶν Εἱλώτων ἐνίοις δουλεύειν, ὥστε εἰς τὰς ἑαυτῶν πατρίδας ὑβρίζειν, μᾶλλον δὲ ἐτίμων τοὺς αὐτόχειρας *καὶ φονέας* τῶν πολιτῶν,[6] ἢ τοὺς γονέας τοὺς ἑαυτῶν, εἰς τοῦτο δ' ὠμότητος ἅπαντας ἡμᾶς κατέστησαν, ὥστε πρὸ τοῦ μέν, διὰ τὴν παροῦσαν εὐδαιμονίαν, καὶ ταῖς μικραῖς ἀτυχίαις πολλοὺς ἕκαστος ἡμῶν εἶχε τοὺς συμπαθήσοντας, ἐπὶ δὲ τῆς τούτων ἀρχῆς, διὰ τὸ πλῆθος τῶν οἰκείων κακῶν, ἐπαυσάμεθα ἀλλήλους ἐλεοῦντες. Οὐδενὶ γὰρ τοσαύτην σχολὴν παρέλιπον, ὥσθ' ἑτέρῳ συναχθεσθῆναι. Τίνος γὰρ οὐκ ἐφίκοντο;[7] ἢ

§ 32. 2. Δεκαδαρχιῶν.) Τοὺς δέκα ἄνδρας λέγει, οὓς ἐν ἑκάστῃ τῶν ὑπ' αὐτοῖς πόλεων καθιστᾶναι εἰώθεσαν οἱ Λακεδαιμόνιοι, τὰς δημοκρατίας καταλύοντες, (Διοδώρ. Σικελ. ΙΔ, ιγ, καὶ Α'ρποκρατ. λέξ. Δεκαρχία.) Μνημονεύει τούτων ὁ Ῥήτωρ καὶ ἐν τοῖς ἑξῆς· (σελ. 98 καὶ 246.) Τὸ δὲ ὄνομα εὕρηται παρὰ τοῖς Ῥήτορσι καὶ τετρασυλλάβως, Δεκαρχία, καὶ πεντασυλλάβως, Δεκαδαρχία. — 3. Τοῖς αὖθις βουλομένοις γενέσθαι πονηροῖς.) Διώρθωκα τρέψας τό, Γεγενῆσθαι εἰς τό, Γενέσθαι· πλὴν εἰ μή τις προαιροῖτο γράφειν, Τοῖς αὖθις βουλομένοις γε γενέσθαι πονηροῖς. — 4. Ἀνομωτάτους.) Δύο τοῖς πρὸ ἐμοῦ παραβληθέντα ἀντίγραφα φέρει τὴν γραφὴν ταύτην, ἣν προείλετο καὶ ὁ Λάγγιος· ἐν δὲ τῷ ἐμῷ γράφεται μέν, Ἀνομωτάτους, προσγράφεται δ' ἔξωθεν τό, Α'νοητοτάτους, ὃ φέρεται ἐν ἁπάσαις ταῖς ἄλλαις ἐκδόσεσι. Μήποτε δὲ γραπτέον φησὶν ὁ Μόρος, Ἀνοητοτάτους, τουτέστιν Ἀνωφελεστάτους. — 5. Ἡροῦντο.) Τὸ ἐμὸν ἀντίγραφον φέρει, Ἡγοῦντο, μετ' ἐπιγεγραμμένης διορθώσεως τῆς Ἡροῦντο. Ταύτην δὲ τὴν γραφήν, πολλοῖς τῶν ἐκδοτῶν ἐγκριθεῖσαν, εὑρεῖν ἔστι καὶ ἐν ἄλλοις τισὶν ἀντιγράφοις. — 6. Τοὺς αὐτόχειρας καὶ φονέας τῶν πολιτῶν.) Ὀρθῶς εἴκασέ τις γραπτέον εἶναι, Τοὺς αὐτόχειρας τῶν πολιτῶν, ᾧ κἀγὼ πεισθεὶς ἀστερίσκοις διείληφα τὰς δύο λέξεις *Καὶ φονέας* ὡς οὐδὲν οὔσας ἄλλο, ἢ ἐπεξήγησιν τοῦ Αὐτόχειρας, ἢ δῆλον καὶ ἐξ αὐτοῦ Ἰσοκράτους, ἐπὶ τοῦ Φονέας, ἀλλαχοῦ (σελ. 302) χρησαμένου τῇ λέξει. Αὐτόχειρες γάρ, καθ' Ἡσύχιον, ἐλέγοντο οἱ ταῖς ἰδίαις χερσὶ φονεύοντες. Λαμβάνεται δ' ἡ λέξις καὶ ἐπὶ τοῦ *ἁπλῶς ὁτιοῦν ἐργαζομένου ταῖς ἰδίαις χερσίν, ὡς αὖθις αὐτὸς Ἰσοκράτης (σελ. 109) μαρτυρεῖ. — 7. Τίνος γὰρ οὐκ ἐφίκοντο;) Ποίῳ γὰρ ἀνομήματι οὐκ ἐπεχείρησαν, ἤ, ὡς πρὸ μικροῦ εἴρηκε, Ποῖον γὰρ αὐτοὺς ἀδίκημα διέφυγε; — 8. Οὕτω πόῤῥω.) Ἐγράφετο,

τίς οὕτω πόῤῥω[8] τῶν πολιτικῶν ἦν πραγμάτων, ὅστις οὐκ ἐγγὺς ἠναγκάσθη γενέσθαι τῶν συμφορῶν, εἰς ἃς αἱ τοιαῦται φύσεις ἡμᾶς κατέστησαν; Εἶτα οὐκ αἰσχύνονται τὰς μὲν ἑαυτῶν πόλεις οὕτως ἀνόμως διαθέντες, τῆς δ' ἡμετέρας ἀδίκως κατηγοροῦντες· ἀλλὰ πρὸς τοῖς ἄλλοις καὶ περὶ τῶν δικῶν[9] καὶ τῶν γραφῶν, τῶν ποτὲ παρ' ἡμῖν γενομένων, λέγειν τολμῶσιν, αὐτοὶ πλείους ἐν τρισὶ μησίν[10] ἀκρίτους ἀποκτείναντες, ὧν ἡ πόλις ἐπὶ τῆς ἀρχῆς ἁπάσης[11] ἔκρινε. Φυγὰς δὲ, καὶ στάσεις, καὶ νόμων συγχύσεις, καὶ πολιτειῶν μεταβολὰς, ἔτι δὲ παίδων ὕβρεις, καὶ γυναικῶν αἰσχύνας,[12] καὶ χρημάτων ἁρπαγὰς, τίς ἂν δύναιτο διεξελθεῖν; Πλὴν τοσοῦτον εἰπεῖν ἔχω κατὰ πάντων, ὅτι τὰ μὲν ἐφ' ἡμῶν δεινὰ ῥᾳδίως ἄν τις ἑνὶ ψηφίσματι διέλυσε· τὰς δὲ σφαγὰς καὶ τὰς ἀνομίας, τὰς ἐπὶ τούτων γενομένας, οὐδεὶς ἂν ἰάσασθαι δύναιτο.

§ 33. Καὶ μὴν οὐδὲ τὴν παροῦσαν εἰρήνην, οὐδὲ τὴν αὐτονομίαν, τὴν ἐν ταῖς πολιτείαις μὲν οὐκ ἐνοῦσαν, ἐν δὲ ταῖς συνθήκαις ἀναγεγραμμένην, ἄξιον ἑλέσθαι μᾶλλον, ἢ τὴν ἀρχὴν τὴν ἡμετέραν. Τίς γὰρ ἂν τοιαύτης καταστάσεως ἐπιθυμήσειεν; ἐν ᾗ καταποντισταὶ[2] μὲν τὴν θάλατταν κατέχουσι, πελτασταὶ[3] δὲ τὰς πόλεις καταλαμβάνουσιν, ἀντὶ δὲ τοῦ πρὸς ἑτέρους περὶ τῆς χώρας πολεμεῖν, ἐντὸς τείχους πρὸς ἀλλήλους οἱ πολῖται μάχονται, πλείους δὲ πόλεις αἰχμάλωτοι γεγόνασιν, ἢ πρὶν τὴν εἰρήνην ἡμᾶς ποιήσασθαι, διὰ δὲ τὴν πυκνότητα τῶν μεταβολῶν, ἀθυμότερον διάγουσιν οἱ τὰς πόλεις οἰκοῦντες τῶν ταῖς φυγαῖς ἐζημιωμένων· οἱ μὲν γὰρ τὸ μέλλον δεδίασιν, οἱ δὲ ἀεὶ κατιέναι προσδοκῶσι. Τοσοῦτον δ' ἀπέχουσι τῆς ἐλευθερίας καὶ τῆς αὐτονομίας, ὥστε αἱ μὲν ὑπὸ τυράννοις εἰσὶ, τὰς δὲ ἁρμοσταὶ[4] κατέ-

---

Οὕτω τοσοῦτον πόῤῥω. Διέγραψα τὸ, Τοσοῦτον, ὡς προδήλως ἡμαρτημένον· ὃ καὶ ἕτεροι πρὸ ἡμῶν συνῆκαν μὲν, οὐ μὴν ἐτόλμησαν ἐξαλεῖψαι. Λέγει δὲ καὶ ἀλλαχοῦ (σελ. 247.) «Οὕ»τως ἦν πόῤῥω τούτου.» — 9. Καὶ περὶ τῶν δικῶν.) Προσέθηκα ἐξ ἀντιγράφου (καθὰ καὶ πρὸ ἐμοῦ ἕτεροι) τὴν πρόθεσιν, λείπουσαν ἐν τῇ Στεφανείῳ καὶ ἄλλαις πολλαῖς ἐκδόσεσιν, καὶ ἐν τοῖς πλείσταις τῶν ἀντιγράφων, ἐν οἷς ἐστι καὶ τὸ ἐμόν. — 10. Ἐν τρισὶ μησίν.) Τοὺς τριάκοντα τυράννους λέγει, περὶ ὧν καὶ ἀλλαχοῦ εἴρηκε (σελ. 151.), ὅτι χιλίους καὶ πεντακοσίους τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν. Ξενοφῶν δὲ (Ἑλληνικ. Β, δ'. 21) «Ὀλίγου δεῖν »(φησὶ) πλείους ἀπεκτόνασιν Ἀθηναίων ἐν »ὀκτὼ μησὶν, ἢ πάντες Πελοποννήσιοι, »δέκα ἔτη πολεμοῦντες,» τὸν χρόνον ὅλον ὃν ἦρξαν οἱ τριάκοντα, λέγων. Μετήνεγκε δὲ ταῦτα μιμησάμενος ὁ Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς (Κατὰ Φιλίππ. Γ. σελ. 117. Ῥεϊσκ.) — 11. Ἐπὶ τῆς ἀρχῆς ἁπάσης.) Ἐν ὅλοις ἑβδομήκοντα ἔτεσιν, ἐν οἷς τῶν Ἑλλήνων ἦρξε. — 12. Γυναικῶν αἰσχύνας.) Ἔπιθι τὰ σημειωθέντα μοι ἀλλαχοῦ (Πρόδρ. Ἑλλ. Βιβλ. σελ. 366) περὶ τῆς λέξεως, καὶ σημείωσαι ὅτι ἐπὶ μὲν γυναικῶν τῷ, Αἰσχύνας, ἐπὶ παίδων δὲ τῷ, Ὕβρεις, ἐχρήσατο· ὁ δὲ Λουκιανὸς (Κατάπλ. ἢ Τύρ. § 26.) «Παρθένους »διαφθείρων, καὶ ἐφήβους καταισχύνων» εἴρηκε.

§ 33. 2. Καταποντισταί.) Πειραταί. — 3. Πελτασταί.) Στρατιῶται οὕτω καλούμενοι ἀφ' ἧς ἔφερον Πέλτης· ἦν δ' αὕτη μικρὸν ἀσπιδίσκιον τετράγωνον. — 4. Ἁρμοσταί.) «Οἱ ὑπὸ Λακεδαι-

χουσιν, ἔνιαι δὲ ἀνάστατοι γεγόνασι, τῶν δὲ οἱ βάρβαροι δεσπόται καθεστήκασιν· οὓς ἡμεῖς διαβῆναι τολμήσαντας εἰς τὴν Εὐρώπην, καὶ μεῖζον ἢ προσῆκεν[5] αὐτοῖς φρονήσαντας, οὕτω διέθεμεν, ὥστε μὴ μόνον παύσασθαι στρατείας ἐφ' ἡμᾶς ποιουμένους, ἀλλὰ καὶ τὴν αὑτῶν χώραν ἀνέχεσθαι πορθουμένην,[6] καὶ διακοσίαις καὶ χιλίαις ναυσὶ περιπλέοντας εἰς τοσαύτην ταπεινότητα κατεστήσαμεν, ὥστε μακρὸν πλοῖον ἐντὸς Φασήλιδος[7] μὴ καθέλκειν, ἀλλ' ἡσυχίαν ἄγειν, καὶ τοὺς καιροὺς περιμένειν, ἀλλὰ μὴ τῇ παρούσῃ δυνάμει πιστεύειν. Καὶ ταῦθ', ὅτι διὰ τὴν τῶν προγόνων τῶν ἡμετέρων ἀρετὴν οὕτως εἶχον, αἱ τῆς πόλεως συμφοραὶ σαφῶς ἀπέδειξαν· ἅμα γὰρ ἡμεῖς τε τῆς ἀρχῆς ἀπεστερούμεθα, καὶ τοῖς Ἕλλησιν ἀρχὴ τῶν κακῶν ἐγίγνετο. Μετὰ γὰρ τὴν ἐν Ἑλλησπόντῳ γενομένην ἀτυχίαν, ἑτέρων ἡγεμόνων καταστάντων, ἐνίκησαν μὲν οἱ βάρβαροι ναυμαχοῦντες, ἦρξαν δὲ τῆς θαλάττης, κατέσχον δὲ τὰς πλείστας τῶν νήσων, ἀπέβησαν δὲ εἰς τὴν Λακωνικήν, Κύθηρα δὲ κατὰ κράτος εἷλον, ἅπασαν δὲ τὴν Πελοπόννησον κακῶς ποιοῦντες περιέπλευσαν.

§ 34. Μάλιστα δ' ἄν τις συνίδοι τὸ μέγεθος τῆς μεταβολῆς, εἴπερ ἀναγνοίη τὰς συνθήκας, τάς τε ἐφ' ἡμῶν γενομένας, καὶ τὰς νῦν ἀναγεγραμμένας. Τότε μὲν γὰρ ἡμεῖς φανησόμεθα τὴν ἀρχὴν τὴν βασιλέως ὁρίζοντες, καὶ τῶν φόρων ἐνίους τάττοντες, καὶ κωλύοντες αὐτὸν τῇ θαλάττῃ χρῆσθαι· νῦν δὲ ἐκεῖνός ἐστιν ὁ διοικῶν τὰ τῶν Ἑλλήνων, καὶ προστάττων, ἃ χρὴ ποιεῖν ἑκάστους, καὶ μόνον οὐκ ἐπιστάθμους[2] ἐν ταῖς πόλεσι καθιστάς. Πλὴν γὰρ τούτου, τί τῶν ἄλλων ὑπόλοιπόν ἐστιν; Οὐ καὶ τοῦ πολέμου κύριος ἐγένετο, καὶ τὴν εἰρήνην ἐπρυτάνευσε, καὶ τῶν παρόντων πραγμάτων ἐπιστάτης καθέστηκεν;[3] Οὐχ ὡς ἐκεῖνον πλέομεν,[4]

---

«μονίων εἰς τὰς ὑπηκόους πόλεις ἄρχοντες ἐκπεμπόμενοι» ὥς φησιν Ἁρποκρατίων. — 5. Προσῆκεν.) Ὡς ὁ Λάγγιος ἐκ διορθώσεως Οὐολφίου, ἀντὶ τοῦ παρὰ τοῖς ἄλλοις, Προσῆκον· εἴρηκε δὲ καὶ ἀλλαχοῦ (σελ. 176,) Χεῖρον.... ἢ προσῆκεν αὐτοῖς. — 6. Ἀνέχεσθαι πορθουμένην.) Σημείωσαι τὸ κοινὸν τῆς συντάξεως, ᾧ καὶ ἀλλαχοῦ (σελ. 308) ὁ ῥήτωρ ἐχρήσατο· τὸ γὰρ πλῆρες ἦν ἄν, Ἀνέχεσθαι πορθουμένην ὁρῶντας. Τοιοῦτόν ἐστι καὶ τῷ παρὰ τῷ Κωμικῷ (Ἱππ. 783)

Ἐπὶ ταῖσι πέτραις οὐ φροντίζει
σκληρῶς σε καθήμενον οὕτως·

προσυπακουστέα γὰρ κἀνταῦθα ἡ μετοχή, ἵν' ᾖ, Οὐ φροντίζει ὁρῶν σε καθήμενον οὕτω σκληρῶς ἐπὶ ταῖς πέτραις. — 7. Φασήλιδος.) Τῆς Λυκίας ἡ Φάσηλις, τανῦν, Φιόνδα, καλουμένη· καὶ προπαροξύνεται, καθ' Ἡρωδιανόν. Στράβων δέ, Στέφανος ὁ Βυζάντιος καὶ ἄλλοι, ὀξυτόνοις, Φασηλίς, Φασηλίδος.

34. 2. Ἐπιστάθμους.) Τοὺς Σατράπας οὕτως ἐκάλουν, ὥς φησιν Ἁρποκρατίων. — 3. Τὴν εἰρήνην ἐπρυτάνευσε, καὶ τῶν παρόντων πραγμάτων ἐπιστάτης καθέστηκεν.) Τὴν εἰρήνην διῴκησε καὶ ἐπιστάτησε τοῖς νῦν πεπραγμένοις. Σημείωσαι δὲ τὸ ἡδὺ τῆς μεταφορᾶς ἀπὸ τῶν Ἀθήνησι πεντήκοντα Πρυτάνεων, οἳ διῴκουν ἅπαντα τὰ ὑπὸ τῆς βουλῆς ταττόμενα· τούτων δ' εἷς, ὁ λαχών, Ἐπιστάτης ἐκαλεῖτο (Ἁρποκρατ. λέξ. Ἐπιστάτης πρυτανεύοντα, καὶ Πρυτάνεις) Καὶ τοῖς ψηφί-

ὥσπερ πρὸς δεσπότην, ἀλλήλων κατηγορήσοντες; Οὐ βασιλέα τὸν μέγαν αὐτὸν προσαγορεύομεν, ὥσπερ αἰχμάλωτοι γεγονότες; Οὐκ ἐν τοῖς πολεμίοις τοῖς πρὸς ἀλλήλους ἐν ἐκείνῳ τὰς ἐλπίδας ἔχομεν τῆς σωτηρίας, ὃς ἀμφοτέρους ἡμᾶς[5] ἡδέως ἂν ἀπολέσειεν; Ὧν ἄξιον ἐνθυμηθέντας, ἀγανακτῆσαι μὲν ἐπὶ τοῖς παροῦσι, ποθῆσαι δὲ τὴν ἡγεμονίαν τὴν ἡμετέραν, μέμψασθαι δὲ Λακεδαιμονίοις, ὅτι τὴν μὲν ἀρχὴν εἰς τὸν πόλεμον κατέστησαν, ὡς ἐλευθερώσοντες τοὺς Ἕλληνας, ἐπὶ τελευτῆς δὲ οὕτω πολλοὺς αὐτῶν ἐκδότους τοῖς βαρβάροις ἐποίησαν, καὶ τῆς ἡμετέρας πόλεως τοὺς Ἴωνας ἀπέστησαν ἐξ ἧς ἀπῴκησαν, καὶ δι' ἣν πολλάκις ἐσώθησαν, τοῖς δὲ βαρβάροις αὐτοὺς ἐξέδοσαν, ὧν ἀκόντων τὴν χώραν ἔχουσι, καὶ πρὸς οὓς οὐδὲ πώποτε ἐπαύσαντο πολεμοῦντες. Καὶ τότε μὲν ἠγανάκτουν, ὅθ' ἡμεῖς νομίμως ὑπάρχειν τινῶν ἠξιοῦμεν· νῦν δὲ εἰς τοσαύτην δουλείαν καθεστώτων, οὐδὲν φροντίζουσιν αὐτῶν, οἷς οὐκ ἐξαρκεῖ δασμολογεῖσθαι, καὶ τὰς ἀκροπόλεις ὁρᾶν ὑπὸ τῶν ἐχθρῶν κατεχομένας, ἀλλὰ, πρὸς ταῖς κοιναῖς συμφοραῖς, καὶ τοῖς σώμασι δεινότερα πάσχουσι τῶν παρ' ἡμῖν ἀργυρωνήτων· οὐδεὶς γὰρ ἡμῶν οὕτως αἰκίζεται τοὺς οἰκέτας, ὡς ἐκεῖνοι τοὺς ἐλευθέρους κολάζουσι. Μέγιστον δὲ τῶν κακῶν,[6] ὅταν ὑπὲρ αὐτῆς τῆς δουλείας ἀναγκάζωνται συστρατεύεσθαι, καὶ πολεμεῖν τοῖς ἐλευθεροῦν ἀξιοῦσι, καὶ τοιούτους κινδύνους ὑπομένειν, ἐν οἷς ἡττηθέντες μὲν παραχρῆμα διαφθαρήσονται, κατορθώσαντες δὲ μᾶλλον εἰς τὸν ἐπίλοιπον χρόνον δουλεύσουσιν.

§ 35, Ὧν τίνας ἄλλους αἰτίους χρὴ νομίζειν, ἢ Λακεδαιμονίους; οἳ, τοσαύτην ἰσχὺν ἔχοντες, περιορῶσι τοὺς μὲν ἑαυτῶν συμμάχους γενομένους οὕτω δεινὰ πάσχοντας, τὸν δὲ βάρβαρον τῇ τῶν Ἑλλήνων ῥώμῃ τὴν ἀρχὴν τὴν αὐτοῦ κατασκευαζόμενον. Καὶ πρότερον μὲν τοὺς τυράννους ἐξέβαλλον, τῷ δὲ πλήθει[2] τὰς βοηθείας ἐποιοῦντο, νῦν δὲ εἰς τοσοῦτον μεταβεβλήκασιν, ὥστε ταῖς μὲν πολιτείαις πολεμοῦσι, τὰς δὲ μοναρχίας συγκαθιστᾶσι, τὴν

---

σμασι τῆς βουλῆς ἐπιγράφειν ἔθος ἦν τό τε τῆς Πρυτανευούσης φυλῆς ὄνομα, καὶ τὸ τοῦ ἐπιστάτου, ἢ δῆλον πολλαχόθεν μὲν καὶ ἄλλοθεν, καὶ ἐξ ὧν παρῳδήσας ὁ σκώπτης Λουκιανὸς (Θεῶν Ἐκκλ. § 14.) εἰς τὴν τῶν θεῶν ἐκκλησίαν μετήνεγκεν, ἐκκλησίας ἐννόμου ἀγομένης ἑβδόμῃ ἱσταμένου ὁ Ζεὺς ΕΠΡΥΤΑΝΕΥΕ, καὶ προήδρευε Ποσειδῶν, ΕΠΕΣΤΑΤΕΙ Ἀπόλλων. κ. τ. λ. — 4. Οὐχ ὡς ἐκεῖνον πλεομεν.) Ὅμοια ταῦτα τοῖς ἀλλαχοῦ (σελ. 266) εἰρημένοις τῷ Ῥήτορι. — 5. Ὃς ἀμφοτέρους ἡμᾶς κ. τ. λ.) Ἐκ διορθ. τοῦ Οὐολφίου τὸ, Ὅς, ἀντὶ τοῦ φερομένου Ἐν τοῖς ἀντιγράφοις καὶ ἐν ταῖς ἀρχαίαις ἐκδόσεσιν, Οὗς. — 6. Μέγιστον δὲ τῶν κακῶν κ. τ. λ.) Καὶ αἴσχιστον ἅμα, ὅταν τοῖς ἀληθῶς ἐλευθεροῦν ἀξιοῦσι πολεμῶσιν ὑπὲρ δεσποτῶν οἱ δοῦλοι.

§ 35. Τῷ δὲ πλήθει.) Ὅρα καὶ πάλιν ὃ καὶ ἐν τοῖς πρόσθεν εἰρήκαμεν τὸ, Πλῆθος, ἐπὶ τῆς σημασίας τοῦ Δημοκρατίᾳ· ἣν καὶ πολιτείαν οἱ Ἀττικοὶ Ῥή-

δὲ Μαντινέων πόλιν[3] εἰρήνης ἤδη γεγενημένης ἀνάστατον ἐποίησαν, τὴν δὲ Θηβαίων Καδμείαν[4] κατέλαβον, καὶ νῦν Ὀλυνθίοις[5] καὶ Φλιασίοις[6] πολεμοῦσιν, Ἀμύντᾳ δὲ τῷ Μακεδόνων βασιλεῖ, καὶ Διονυσίῳ τῷ Σικελίας τυράννῳ, καὶ τῷ βαρβάρῳ, τῆς Ἀσίας κρατοῦντι, συμπράττουσιν ὅπως μεγίστην ἀρχὴν ἕξουσιν. Καίτοι πῶς οὐκ ἄτοπον, τοὺς προεστῶτας τῶν Ἑλλήνων, ἕνα μὲν ἄνδρα τοσούτων ἀνθρώπων καθιστάναι δεσπότην, ὧν οὐδὲ τὸν ἀριθμὸν ἐξευρεῖν ῥᾴδιόν ἐστι· τὰς δὲ μεγίστας τῶν πόλεων μηδὲ αὐτὰς ἑαυτῶν ἐᾶν εἶναι κυρίας, ἀλλ᾽ ἀναγκάζειν δουλεύειν, ἢ ταῖς μεγίσταις συμφοραῖς περιβάλλειν.[7] Ὁ δὲ πάντων δεινότατον, ὅταν τις ἴδῃ τοὺς τὴν ἡγεμονίαν[8] ἔχειν ἀξιοῦντας ἐπὶ μὲν τοὺς Ἑλ-

---

τορες καλοῦσι πολλάκις. — 3. Τὴν δὲ Μαντινέων πόλιν.) Μνημονεύει τῶν Μαντινέων καὶ ἐν τῷ Συμμαχικῷ (σελ. 178) Ἔπειθι καὶ τὸν Ἁρποκρατίωνα (λέξ. Μαντινέων διοικησμός.) Τανῦν κωμύδριον ταπεινὸν καταλέλειπται ἐπὶ τοῖς ἐρειπίοις τῆς Μαντινείας, Μάντη, καλούμενον, ὥς φησιν ὁ τὴν τοῦ Ἀναχάρσιδος Περιήγησιν συντάξας Βαρθολομαῖος. — 4. Τὴν δὲ Θηβαίων Καδμείαν.) Ἐν ἄλλοις, Καὶ τὴν Θηβαίων Καδμείαν· ἦν δὲ Καδμεία, ἡ Καδμία (ὡς ἔφθην εἰπών,) ἀκρόπολις τῶν Θηβῶν. — 5. Ὀλυνθίοις.) Ἀντὶ τῆς παλαιᾶς Ὀλύνθου ἐστὶ τανῦν καλουμένη, Ἅγιος Μάμας, κώμη. — 6. Φλιασίοις.) Μνημονεύει καὶ ἀλλαχοῦ (σελ. 132, καὶ 178) τῶν Φλιασίων, ὧν ἡ πόλις Φλιοῦς, παρὰ τὸ Φλεῖν, ὅ ἐστιν εὐκαρπεῖν, ὥς φησιν ὁ Βυζάντιος Στέφανος, τανῦν, χυδαϊσθέντος τοῦ ὀνόματος Σταφλίκα, καλεῖται. ἔστι δὲ τοῦτο οὐδὲν ἕτερον ἤ, Εἰς τὰ Φλίκα, ἢ Εἰς τὴν Φλίκαν τουτέστιν Εἰς τὸν Φλιοῦντα, τῆς προθέσεως Τουρκικῶς τῷ κυρίῳ συγκραθείσης ὀνόματι· καθὰ καὶ παρὰ τὸ, Εἰς τὴν Κῶ, ἐποίησαν τὴν Στανκιὸ, καὶ παρὰ τὸ, Εἰς τὴν Σμύρνην, τὴν Εἰσμὺρ, καὶ παρὰ τὸ, Εἰς τὴν πόλιν, τὴν Σταμπὸλ (τὴν Κωνσταντινούπολιν οὕτω καλοῦντες,) καὶ παρὰ τὸ, Εἰς τὴν Νίκαιαν, τὴν Εἰσνίκ, καὶ παρὰ τὸ, Εἰς τὴν Νικομήδειαν, τὴν Εἰσμήτ. — 7. Ἢ ταῖς μεγίσταις συμφοραῖς, περιβάλλειν.) Εἰ δὲ μὴ βούλοιντο δουλεύειν, τοῖς μεγίστοις κακοῖς, οἱονεὶ ἄρκυσιν ἀφύκτοις περικυκλοῦν. Σημειῶσαι πρῶτον τὴν σημασίαν τοῦ διαζευκτικοῦ περὶ ἧς καὶ ἐν τοῖς πρόσθεν (σελ. 11) ἐμνημόνευσα, ἔπειτα καὶ τῆς μεταφορᾶς τοῦ, Περιβάλλειν, τὴν δύναμιν. — 8. Ὁ δὲ πάντων δεινότατον, ὅταν τις ἴδῃ τοὺς τὴν ἡγεμονίαν κ. τ. λ.) Ἐλλειπτικὴ φράσις, φίλη τοῖς Ἀττικοῖς, ἣν ἄλλοτε ἄλλως ἀναπληροῦν ἔξεστιν· ὅταν μὲν γὰρ ἐπαγόμενον ἔχῃ τὸ Ὅταν (ὅ ἐστιν Ὅτε ἄν), προσυπακουστέον τὸ, Τότε συμβαίνει ἢ ἄλλο τι τοιοῦτον, πρὸς ὃ ἔχοι ἀνταποδίδοσθαι τὸ, Ὅταν· οἷον ἐπὶ τοῦ παρόντος εἴη ἂν τὸ πλῆρες, Τοῦτο δὲ, ὃ πάντων δεινότατον ἐστὶ τότε συμβαίνει, ὅταν τις ἴδῃ κ. τ. λ. καθὰ καὶ ἀλλαχοῦ (σελ. 314) εἴρηκεν, «Ὁ δὲ πάντων δεινότατον, »ὅταν τις... ἀξιοῖ κατηγορεῖν κ. τ. λ. »(σελ. 306)· Ὁ δὲ πάντων ἐστὶν ἀλ»γεινότατον, ὅταν τις ἴδῃ κ. τ. λ.» Εἰ δὲ ἐπαγόμενον ἔχοι τὸν συναπτικὸν, Εἰ, προσυπακούειν δεῖ τὸ, Τοῦτο ἂν εἴη, ἢ ἄλλο τι ἰσοδύναμον, κατ᾽ ἔγκλισιν τὴν καλουμένην Εὐκτικὴν, οἷον (σελ. 305) »Ὁ δὲ πάντων ἀλογώτατον, εἰ... δε»όμενον ἡμῖν ἐστι βοηθεῖν,» οὗ τὸ πλῆρες, Ὁ δὲ πάντων ἐστὶν ἀλογώτατον, τοῦτο ἂν εἴη, εἰ κ. τ. λ. Ἢν δ᾽ ἐπάγεται ὁ, Ὅτι, σύνδεσμος ἢ ὁ Γὰρ ὁ τὸν ἀφηγηματικὸν, οὐ τὸν αἰτιολογικὸν, Ὅτι, σημαίνων), ἀναπληρωτέον τὴν ἔλλειψιν διὰ τοῦ, Τοῦτό ἐστι. Ἔστι δὲ καὶ τούτου μαρτυρία παραθέσθαι ἐξ Ἰσοκράτους (σελ. 292) «Ὁ δὲ πάντων καταγελαστότατον, ὅτι ...ἀπιστοῦσιν οἷς »μέλλουσι τὴν δικαιοσύνην παραδώσειν» καὶ ἀλλαχοῦ (σελ. 361,) Ὁ δὲ πάντων δεινότατον διεγγυῶντος ΓΑΡ Μενεξένου τὸν παῖδα κ. τ. λ.» Καὶ ταῦτα μὲν διὰ τοὺς πρωτοπείρους, ὧν χάριν καὶ ἵνα μὴ τὸν λόγον πέραν τοῦ μετρίου ἐμήκυνα, πεισθεῖεν τοῖς ὑπειληφόσιν ἐπὶ τοῦ προκειμένου χωρίου τοῦ Ἰσοκράτους γραπτέον εἶναι, Ὅτι ἂν τις ἴδῃ τοὺς τὴν ἡγεμονίαν.

λῃνας μόνον οὐχὶ καθ' ἑκάστην ἡμέραν στρατευομένους, πρὸς δὲ τοὺς βαρβάρους εἰς ἅπαντα τὸν χρόνον συμμαχίαν πεποιημένους.

§ 36. Καὶ μηδεὶς ὑπολάβῃ με δυσκόλως ἔχειν, ὅτι τραχύτερον τούτων ἐμνήσθην, προειπὼν ὡς περὶ διαλλαγῶν ποιήσομαι τοὺς λόγους· οὐ γὰρ, ἵνα πρὸς τοὺς ἄλλους διαβάλω τὴν πόλιν τὴν Λακεδαιμονίων, οὕτως εἴρηκα περὶ αὐτῶν, ἀλλ' ἵνα αὐτοὺς ἐκείνους παύσω, καθ' ὅσον ὁ λόγος δύναται, τοιαύτην γνώμην ἔχοντας. Ἔστι δὲ οὐχ οἷόν τε ἀποτρέπειν τῶν ἁμαρτημάτων, οὐδ' ἑτέρων πράξεων πείθειν ἐπιθυμεῖν, ἢν μή τις ἐῤῥωμένως ἐπιτιμήσῃ τοῖς ἁμαρτάνουσι. Χρὴ δὲ κατηγορεῖν μὲν ἡγεῖσθαι τοὺς ἐπὶ βλάβῃ λοιδοροῦντας, νουθετεῖν δὲ τοὺς ἐπ' ὠφελείᾳ τοιαῦτα πράττοντας· τὸν γὰρ αὐτὸν λόγον οὐχ ὁμοίως ὑπολαμβάνειν δεῖ, μὴ μετὰ τῆς αὐτῆς διανοίας λεγόμενον. Ἐπεὶ καὶ τοῦτ' ἔχομεν αὐτοῖς ἐπιτιμᾶν, ὅτι τῇ μὲν αὐτῶν πόλει τοὺς ὁμόρους εἱλωτεύειν[2] ἀναγκάζουσι, τῷ δὲ κοινῷ τῶν συμμάχων οὐδὲν τοιοῦτον κατασκευάζουσιν, ἐξ ὧν αὐτοῖς ἔσται,[3] τὰ πρὸς ἡμᾶς διαλυσαμένοις, ἅπαντας τοὺς βαρβάρους περιοίκους[4] ὅλης τῆς Ἑλλάδος καταστῆσαι. Καί τοι χρὴ τοὺς φύσει, καὶ μὴ διὰ τύχην, μέγα φρονοῦντας, τοιούτοις ἔργοις ἐπιχειρεῖν πολὺ μᾶλλον, ἢ τοὺς νησιώτας δασμολογεῖν· οὓς ἄξιόν ἐστιν ἐλεεῖν, ὁρῶντας, τοὺς μὲν, διὰ σπανιότητα τῆς γῆς, τὰ ὄρη γεωργεῖν ἀναγκαζομένους, τοὺς δὲ ἠπειρώτας,[5] δι' ἀφθονίαν χώρας, τὴν μὲν πλείστην αὐτῆς ἀργὸν περιορῶντας, ἐξ ἧς δὲ καρποῦνται, τοσοῦτον πλοῦτον κεκτημένους.

§ 37. Ἡγοῦμαι δ', εἴ τινες ἀλλοθέν ποθεν ἐπελθόντες θεαταὶ

§ 36. 2. Εἱλωτεύειν.) Δουλεύειν (ἐξη»γεῖται ὁ Ἁρποκρατίων). Εἵλωτες γὰρ »οἱ μὴ γένῳ δοῦλοι Λακεδαιμονίων, »ἀλλ' οἱ πρῶτοι χειρωθέντες τῶν Ἕλος »τὴν πόλιν οἰκούντων.» — 3. Ἐξ ὧν αὐτοῖς ἔσται.) Προειλόμην οὕτω τάξαι τὰς λέξεις διὰ τὸ εὐφωνότερον, ἀντὶ τοῦ παρ' ἅπασιν, Ἐξ ὧν ἔσται αὐτοῖς. Τὸ δὲ Ἐξ ὧν, οὔτε εἰς τὸ, Ἐξ οὗ, μεταποιητέον, ὡς ὑπείληφεν ὁ Λευκάριος (Περὶ μορίων σελ. 92. ἐκδ. 1657), οὔτε εἰς τὸ μετοχικὸν, Ἐξὸν διαγράφοντας δηλονότι τὸ, Ἔσται, ὡς εἴκασεν ὁ Λάγγιος, καὶ ὡς ἐφέρετο ὑπὸ τοῦ πρώτου γράψαντος, ἐν τῷ ἐμῷ ἀντιγράφῳ, διορθωθὲν ὑπ' ἀψιαιτέρας χειρὸς εἰς τὸ Ἐξ ὧν ἔσται. Φιλεῖ γὰρ ὁ Ῥήτωρ τῷ, Ἐξ ὧν, καὶ τῷ, Δι' ὧν, ἐπιῤῥηματικῶς χρῆσθαι· καὶ οὐ μόνον πληθυντικοῖς, ἀλλὰ καὶ ἑνικοῖς ἐπιφέρειν, καθὰ καὶ μικρὸν προϊοῦσι γενήσεται δῆλον. Ἐπὶ δὲ τοῦ προκειμένου οὐδ' ἑνικὸν ἂν εἰκότως νομίζοιτο τὸ προηγούμενον· τὸ γὰρ, Οὐδὲν τοιοῦτον, ταὐτόν ἐστι τῷ, Οὐδὲν τῶν τοιούτων. πρὸς ὃ καταλλήλως φέρεται τὸ, Ἐξ ὧν. — 4. Περιοίκους.) Τουτέστι δούλους· ἐφ' ἧς σημασίας ἐξελάμβανον τὴν λέξιν οἱ Λακεδαιμόνιοι, οὕτω καλοῦντες τοὺς περὶ τὴν Λακεδαίμονα κατοίκους, τοὺς μὴ συμμετέχοντας αὐτοῖς τῆς πολιτείας. Εἶεν δ' ἂν περίοικοι καὶ οἱ Εἵλωτες, ἐπεὶ, ὥς φησιν Ἀριστοτέλης (Πολιτικ. Β, ή.) οἱ παρὰ Λακεδαιμονίοις Εἵλωτες ἀνάλογον εἶχον πρὸς τοὺς παρὰ Κρησὶ Περιοίκους. — 5. Ἠπειρώτας.) Τοὺς Ἀσιανούς. Σύνηθες γὰρ, ὥς φησιν Ἁρποκρατίων (λέξ. Ἤπειρον), ἐστὶ τῷ Ἰσοκράτει, τὴν ὑπὸ τῷ βασιλεῖ τῶν Περσῶν γῆν Ἤπειρον καλεῖν.

γένοιντο τῶν παρόντων πραγμάτων, πολλὴν ἂν αὐτοὺς καταγνῶναι μανίαν ἀμφοτέρων ἡμῶν, οἵτινες οὕτω περὶ μικρῶν κινδυνεύομεν, ἐξὸν ἀδεῶς πολλὰ κεκτῆσθαι, καὶ τὴν ἡμετέραν αὐτῶν χώραν διαφθείρομεν, ἀμελήσαντες τοῦ τὴν Ἀσίαν καρποῦσθαι. Καὶ τῷ μὲν[2] οὐδέν ἐστι προὐργιαίτερον,[3] ἢ σκοπεῖν, ἐξ ὧν οὐδέποτε παυσόμεθα[4] πολεμοῦντες πρὸς ἀλλήλους· ἡμεῖς δὲ τοσούτου δέομεν συγκρούειν[5] τι τῶν ἐκείνου πραγμάτων, ἢ ποιεῖν στασιάζειν, ὥστε καὶ τὰς διὰ τύχας αὐτῷ γεγενημένας ταραχὰς διαλύειν ἐπιχειροῦμεν· οἵτινες καὶ τοῖν στρατοπέδοιν τοῖν περὶ Κύπρον ἐῶμεν αὐτὸν τῷ μὲν χρῆσθαι, τὸ δὲ πολιορκεῖν, ἀμφοτέροιν αὐτοῖν ἐκ τῆς Ἑλλάδος ὄντοιν. Οἵ τε γὰρ ἀφεστῶτες,[6] πρὸς ἡμᾶς τε οἰκείως ἔχουσι, καὶ Λακεδαιμονίοις σφᾶς αὐτοὺς ἐνδιδόασι· τῶν τε μετὰ Τιριβάζου στρατευομένων, καὶ τοῦ πεζοῦ τὸ χρησιμώτατον, ἐκ τῶνδε τῶν τόπων ἤθροισται, καὶ τοῦ ναυτικοῦ τὸ πλεῖστον μέρος ἀπ' Ἰωνίας συμπέπλευκεν,[7] οἳ πολὺ ἂν ἥδιον κοινῇ τὴν Ἀσίαν ἐπόρθουν, ἢ πρὸς ἀλλήλους ἕνεκα μικρῶν ἐκινδύνευον. Ὧν ἡμεῖς οὐδεμίαν ποιούμεθα πρόνοιαν· ἀλλὰ περὶ μὲν τῶν Κυκλάδων νήσων ἀμφισβητοῦμεν, τοσαύτας δὲ τὸ πλῆθος τριήρεις, καὶ τη-

---

§ 37. 2. Καὶ τῷ μέν.) Τῷ Περσῶν βασιλεῖ. — 3. Προὐργιαίτερον.) Πλείονος φροντίδος καὶ ἐπιμελείας ἄξιον. — 4. Σκοπεῖν, ἐξ ὧν οὐδέποτε παυσόμεθα.) Καὶ τοῦτο ἔλλειψις, Σκοπεῖν ταῦτα, ἢ, τὰ τοιαῦτα, ἐξ ὧν· καὶ λαμβάνει, διὰ τὸ εἶδος τοῦτο τῆς Ἐλλείψεως, τὸ, Ἐξ ὧν, ἐπιῤῥηματικὴν σημασίαν τοῦ Ὁπόθεν, ἢ, Ὅπως, καθὰ καὶ τὸ, Δι' ὧν. Εὐκατάφορος δὲ ὁ Ῥήτωρ ἐπὶ τὰ τοιαῦτα, τοτὲ μὲν ἐλλειπῶς, τοτὲ δὲ καὶ ἐντελῶς, χρώμενος τῇ φράσει. Αὐτίκα ἐν τῷ Ἀρεοπαγιτικῷ (ις΄.) «Οὐ ΤΟΥΤΟ πρῶτον »ἐσκόπουν, ΔΙ' ὯΝ κολάσουσι τοὺς ἀ»κοσμοῦντας, ἀλλ' ΕΞ ὯΝ κατασκευά»σουσι κ. τ. λ.» Ὅπου ὅρα καὶ ἕτερον σχῆμα λόγου, τὴν ἐναλλαγὴν τοῦ ἀριθμοῦ (περὶ ἧς καὶ μικρὸν ἀνωτέρω ἐμνήσθημεν), Τοῦτο, ἀντὶ τοῦ, Ταῦτα. — 5 Συγκρούειν.) Συγκυκᾷν καὶ συνταράττειν· ὅθεν καὶ Σύγκρουμα παρ' Ἡσυχίῳ, ἡ σύμμικτος λοπὰς, τουτέστιν ἡ ἐκ διαφόρων ὄψων συγκυκηθέντων ἀλλήλοις καὶ μιχθέντων συγκειμένη, ἣν οἱ μὲν Ἱσπανοὶ Olla podrida, οἱ δὲ Γάλλοι Pot pourri καλοῦσι. — 6. Οἵ τε γὰρ ἀφεστῶτες.) Εὐαγόρας τε καὶ οἱ Σαλαμίνιοι, οἱ πολιορκούμενοι. Ἕλληνες γὰρ ἦσαν. — 7. Τῶν τε μετὰ Τιριβάζου στρατευομένων ... συμπέπλευκεν.) Τὸ ἑξῆς, Καὶ τὸ χρησιμώτατον τοῦ πεζοῦ τῶν στρατευομένων μετὰ Τιριβάζου (τοῦ Περσικοῦ σατράπου) συνήθροισται ἐκ τῶνδε τῶν τόπων (Κύπρου τε δηλονότι καὶ τῶν περὶ Κύπρον τόπων, μάλιστα δὲ τῆς κατέναντι Κιλικιακῆς παραλίας, Δωρικαῖς ἀποικίαις τὸ πάλαι κατεχομένης), καὶ τὸ πλεῖστον μέρος τοῦ ναυτικοῦ ἀπ' Ἰωνίας (τουτέστι τῆς Ἀσιανῆς Ἑλλάδος) συμπέπλευκε. Χρήσιμοι γὰρ, ἢ μᾶλλον εἰπεῖν ὧν οὐκ ἄνευ, ἦσαν τοῖς Πέρσαις οἱ Ἴωνες, διὰ τὴν τῶν κατὰ θάλατταν ἐμπειρίαν, οὐδὲν ἧττον ἢ τανῦν τοῖς Τούρκοις πολλοὶ τῶν νησιωτῶν Ἑλλήνων. Ὅτι δὲ τὸ, Ἐκ τῶνδε τῶν τόπων, ἐπὶ τῶν περὶ Κύπρον τόπων, καὶ οὐκ ἐπὶ τῆς Ἰωνίας· οὔτ' ἐπὶ τῶν Ἀθηνῶν, ἐκληπτέον, ὡς ἐξεδέξαντό τινες τῶν πρὸ ἡμῶν, δῆλον ἐξ αὐτῆς τῆς χρήσεως Ἰσοκράτους, παρ' ᾧ τὸ, Ὅδε, καὶ τὸ, Οὗτος, ἐνίοτε οὐ δεικτικῶς πρὸς τὰ σύνεγγυς καὶ προμικροῦ λελεγμένα, ἀλλὰ μᾶλλον ἀναφορικῶς συνάπτεται· οἷόν ἐστι καὶ τὸ ἐν τῇ πρὸς Φίλιππον ἐπιστολῇ (σελ. 421), οὐδ' ἐκεῖνο ὀλίγα πράγματα παρασχὸν Οὐολρίῳ, «Ἐάν τε ᾖ περὶ ὑμᾶς, »ἐάν τε ἡσυχίαν ἔχων διατρίβῃ ΠΕΡΙ »ΤΟΥΤΟΥΣ ΤΟΥΣ ΤΟΠΟΥΣ.» δι' ἀμ-

λικαυτας τὸ μέγεθος δυνάμεις, οὕτως εἰκῆ τῷ βαρβάρῳ παραδεδώκαμεν. Τοιγαροῦν τὰ μὲν ἔχει, τὰ δὲ μέλλει, τοῖς δ' ἐπιβουλεύει, δικαίως ἁπάντων ἡμῶν καταπεφρονηκώς. Διαπέπρακται γὰρ ὃ τῶν ἐκείνου προγόνων οὐδεὶς πώποτε· τήν τε γὰρ Ἀσίαν διωμολόγηται καὶ παρ' ἡμῶν καὶ παρὰ Λακεδαιμονίων βασιλέως εἶναι, τάς τε πόλεις τὰς Ἑλληνίδας οὕτω κυρίως παρείληφεν, ὥστε τὰς μὲν αὐτῶν κατασκάπτειν, ἐν δὲ ταῖς, ἀκροπόλεις τειχίζειν. Καὶ ταῦτα πάντα γέγονε διὰ τὴν ἡμετέραν ἄνοιαν, ἀλλ' οὐ διὰ τὴν ἐκείνου δύναμιν.[8]

§ 38. Καίτοι τινὲς θαυμάζουσι[2] τὸ μέγεθος τῶν βασιλέως πραγμάτων, καὶ φασὶν αὐτὸν εἶναι δυσπολέμητον, διεξιόντες ὡς πολλὰς τὰς μεταβολὰς ἐν τοῖς Ἕλλησι πεποίηται.[3] Ἐγὼ δ' ἡγοῦμαι μὲν ταῦτα τοὺς λέγοντας οὐκ ἀποτρέπειν, ἀλλ' ἐπισπεύδειν τὴν στρατείαν.[4] Εἰ γὰρ, ἡμῶν ὁμονοησάντων ἁπάντων, αὐτὸ ἐν ταραχαῖς ὢν, χαλεπὸς ἔσται προσπολεμεῖν,[5] ἦπου σφόδρα χρὴ δεδιέναι τὸν καιρὸν ἐκεῖνον, ὅταν τὰ μὲν τῶν βαρβάρων καταστῇ, καὶ διὰ μιᾶς γένηται γνώμης, ἡμεῖς δὲ πρὸς ἀλλήλους ὥσπερ νῦν πολεμικῶς ἔχωμεν. Οὐ μὴν, οὐδ' εἰ συναγορεύουσι τοῖς ὑπ' ἐμοῦ λεγομένοις, οὐδ' ὡς ὀρθῶς περὶ τῆς ἐκείνου δυνάμεως[6] γιγνώσκουσιν. Εἰ μὲν γὰρ ἀπέφαινον[7] αὐτὸν ἅμα ταῖν πολέοιν ἀμφοτέραιν πρότερόν ποτε περιγεγενημένον, εἰκότως ἂν ἡμᾶς καὶ νῦν

φοτέρων γὰρ κἀκεῖ τοῦ τε, Περὶ ὑμᾶς, καὶ τοῦ, Περὶ τούτους τοὺς τόπους, ἡ Μακεδονία δηλοῦται. — 8 Τοιγαροῦν, τὰ μὲν ἔχει. . . διὰ τὴν ἐκείνου δύναμιν.) Παράθες τούτοις τὰ τοῦ Δημοσθένους (Γ, Κατὰ Φιλιπ. σελ. 117 - 118).

§ 38. 2. Καίτοι τινὲς θαυμάζουσι κ. τ. λ.) Ἐπιθὲ τὰ ἐν ἀρχῇ τοῦ δευτέρου Ὀλυνθιακοῦ (σελ. 18 - 19) τοῦ Δημοσθένους. — 3. Πολλὰς τὰς μεταβολὰς . . . πεποίηται.) Ἴσως γραπτέον, Πεποίηκεν· οὐ γὰρ ἀπήλλακται ὑποψίας ὧδε τὸ κατὰ μέσην διάθεσιν, Πεποίηται. Ποιεῖ γάρ τις μεταβολὴν, ἑτέρους μεταβάλλων, οἷον καὶ ἐπὶ τοῦ προκειμένου, ὁ Περσῶν βασιλεὺς, οὐ τὰ ἴδια αὐτοῦ, ἀλλὰ τὰ τῶν Ἑλλήνων πράγματα μεταβεβληκέναι λέγεται· Ποιεῖται δὲ μεταβολὴν, αὐτός τις μεταβαλλόμενος, καὶ ἕτερα τῶν πρότερον λέγων, ἢ πράττων. Οὐκ ἄκαιρον δὲ, διὰ τοὺς μαθητιῶντας τῶν νέων καὶ μάτην τὰ τοιαῦτα ἐν ταῖς φερομέναις Γραμματικαῖς τέχναις ζητοῦντας, καὶ παραθέσει ἑτέρου χωρίου τοῦ ἐν ἀρχῇ τοῦ Ἀρχιδάμου (σελ. 113) σαφηνίσαι τὸ λεγόμενον, «Τὸν ἄλλον »χρόνον ἐμμεμενηκὼς τοῖς τῆς πόλεως »νομίμοις . . . τοσαύτην ΠΕΠΟΙΗΜΑΙ τὴν »μεταβολήν·» ἐνταῦθα γὰρ ἐξ ἀνάγκης τῷ μέσῳ, Πεποίημαι, καὶ οὐ τῷ ἐνεργητικῷ, Πεποίηκα, ἐχρήσατο ὁ λέγων Ἀρχίδαμος, ἐπεὶ αὐτὸς ἑαυτὸν (καὶ οὐχ ἕτερον) μεταβέβληκεν, ὑπεριδὼν τὰ τῆς πόλεως νόμιμα, οἷς τέως ἐνέμενε, καὶ ἐπὶ τὸ λέγειν ὁρμηθεὶς, οὐκ ἐξὸν λέγειν τοῖς νεωτέροις. — 4. Στρατείαν.) Ἐξ ἑτέρου διορθώσεως ὁ πρὸ ἐμοῦ τὸ, Στρατείαν, ἀντὶ τοῦ, Στρατιάν. — 5. Χαλεπὸς ἔσται προσπολεμεῖν.) Καὶ τοῦτο ἐξ ἑτέρου ὁ αὐτὸς ἀντὶ τοῦ παρὰ τοῖς λοιποῖς ἅπασι, Χαλεπὸς ἔσται πρὸς τὸ πολεμεῖν. — 6. Περὶ τῆς ἐκείνου δυνάμεως.) Ἐν τῷ ἐμῷ ἀντιγράφῳ φέρεται, Τῆς περὶ ἐκείνου δυνάμεως, ἐξ ἀμείνους ἴσως ἑτέρας γραφῆς, Περὶ τῆς περὶ ἐκεῖνον δυνάμεως. Ἐρεῖ δὲ καὶ προϊὼν (σελ. 67 καὶ 71), Καταφρονήσας τῆς περὶ αὐτὸν δυνάμεως, καὶ, Μείζω δύναμιν περὶ αὐτὸν ποιησάμενος. — 7. Εἰ μὲν γὰρ ἀπέφαινον . . . κρείττους ἦσαν.) Παράθες τούτοις τὰ ἐκ τοῦ Δημοσθένους

ἐκφοβεῖν ἐπεχείρουν. Εἰ δὲ τοῦτο μὲν μηδέποτε γέγονεν, ἀντιπάλων δὲ ὄντων ἡμῶν καὶ Λακεδαιμονίων, προσθέμενος τοῖς ἑτέροις, ἐπικυδέστερα[8] τὰ πράγματα τούτων ἐποίησεν, οὐδέν ἐστι τοῦτο σημεῖον τῆς ἐκείνου ῥώμης. Ἐν γὰρ τοῖς τοιούτοις καιροῖς, πολλάκις μικραὶ δυνάμεις μεγάλας ῥοπὰς[9] ἐποίησαν· ἐπεὶ καὶ περὶ Χίων ἔχοιμ' ἂν τοῦτον τὸν λόγον εἰπεῖν, ὡς, ὁποτέροις ἐκεῖνοι προσθέσθαι βουληθεῖεν, οὗτοι κατὰ θάλατταν κρείττους ἦσαν.

§ 39. Ἀλλὰ γὰρ οὐκ ἐκ τούτων δίκαιόν ἐστι σκοπεῖν τὴν βασιλέως δύναμιν, ἐξ ὧν μεθ' ἑκατέρων γέγονεν, ἀλλ' ἐξ ὧν αὐτὸς ὑπὲρ ἑαυτοῦ πεπολέμηκε. Καὶ πρῶτον μὲν, ἀποστάσης Αἰγύπτου, τί διαπέπρακται πρὸς τοὺς ἔχοντας αὐτήν; Οὐκ ἐκεῖνος[2] μὲν ἐπὶ τὸν πόλεμον τοῦτον κατέπεμψε τοὺς εὐδοκιμωτάτους Περσῶν, Ἀκροκόμαν,[3] καὶ Τιθραύστην, καὶ Φαρνάβαζον· οὗτοι δὲ τρία ἔτη μείναντες, καὶ πλείω κακὰ παθόντες ἢ ποιήσαντες, τελευτῶντες οὕτως αἰσχρῶς ἀπηλλάγησαν, ὥστε τοὺς ἀφεστῶτας μηκέτι τὴν ἐλευθερίαν ἀγαπᾶν, ἀλλ' ἤδη καὶ τῶν ὁμόρων ζητεῖν ἐπάρχειν. Μετὰ δὲ ταῦτα ἐπ' Εὐαγόραν στρατεύσας, ὃς ἄρχει μὲν μιᾶς πόλεως τῶν ἐν Κύπρῳ, ἐν δὲ ταῖς συνθήκαις ἔκδοτός ἐστιν, οἰκῶν δὲ νῆσον,[4] κατὰ μὲν θάλατταν προδεδυστύχηκεν, ὑπὲρ δὲ τῆς χώρας τρισχιλίους εἶχε[5] μόνον πελταστάς, ἀλλ' ὅμως οὕτω ταπεινῆς δυνάμεως οὐ δύναται περιγενέσθαι βασιλεὺς πολεμῶν. Ἀλλ' ἤδη μὲν ἓξ ἔτη[6] διατέτριφεν· εἰ δὲ δεῖ τὰ μέλλοντα τοῖς γεγενημένοις τεκμαίρεσθαι,[7] πολὺ πλείων ἐλπίς ἐστιν, ἕτερον ἀποστῆναι,

---

(β'. Ὀλυνθ. σελ. 22, καὶ πρὸς τὴν Φιλίππ. ἐπιστ. σελ. 154). — 8. Ἐπικυδέστερα.) Ἐνδοξότερα, ἐπικρατέστερα, ὡς ἐξηγεῖται Ἡσύχιος. — 9 Ῥοπάς.) Κλίσεις· ἀπὸ μεταφορᾶς τοῦ ζυγοῦ, οὗ θατέρῳ τῶν μερῶν καί μικρόν τι προστεθὲν τὴν ἰσοῤῥοπίαν διαστρέφει.

§ 39. 2. Οὐκ ἐκεῖνος . . . ζητεῖν ἐπάρχειν.) Ὅλον τοῦτο τὸ χωρίον περιγραπτέον εἶναι ὑπείληφεν ὁ Μόρος, ὡς ἀντιφάσκων τῇ χρονολογίᾳ· τὰς αἰτίας δὲ ὁ βουλόμενος παρ' ἐκείνῳ ζητείτω. — 3. Ἀκροκόμαν.) Ἀβροκόμαν τοῦτον ὀνομάζει ὁ Ἁρποκρατίων. Ἦν δὲ σατράπης Ἀρταξέρξου τοῦ Μνήμονος, καθὰ καὶ ὁ Τιθραύστης καὶ ὁ Φαρνάβαζος. — 4. Οἰκῶν δὲ νῆσον.) Οὕτως ἀνάρθως τὸ ἐμὸν ἀντίγραφον· παρὰ δὲ τοῖς λοιποῖς ἅπασιν, Οἰκῶν δὲ τὴν νῆσον. Ὁ νοῦς καίπερ οἰκῶν νῆσον, ἐν ᾗ εὐπετῶς ἂν κατεκλείσθη ὑπὸ τοῦ Περσῶν ναυτικοῦ, καθὼς ἐξεδέξατο ὁ Οὔολφιος· ἕτεροι δὲ ἄλλως ἐξηγήσαντο τὸ χωρίον. Συνθήκας δὲ λέγει τὰς ἐπ' Ἀνταλκίδου γενομένας, ἐν αἷς ἐγέγραπτο, «Ἀρταξέρξης βασιλεὺς νομίζει δίκαιον τὰς μὲν ἐν τῇ Ἀσίᾳ πόλεις ἑαυτοῦ εἶναι, καὶ τῶν νήσων Κλαζομένας καὶ Κύπρον κ. τ. λ.» (Ξενοφ. Ἑλληνικ. Ε, α, 31). — 5. Εἶχε.) Ἔχει, γέγραφεν ὁ πρὸ ἐμοῦ, ἐκ διορθώσεως τοῦ Οὐολφίου. — 6. Ἓξ ἔτη) Ἐγράφη ἄρα, ἢ γοῦν ἐγράφετο, ὁ Πανηγυρικὸς, τῷ ἕκτῳ ἔτει τοῦ πρὸς Εὐαγόραν πολέμου τῶν Περσῶν. — 7. Εἰ δὲ δεῖ τὰ μέλλοντα τοῖς γεγενημένοις τεκμαίρεσθαι.) Ἀντὶ τοῦ, Γεγενημένοις, παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ (Στρωματ. ϛ', σελ. 625) γράφεται, Προγεγενημένοις. Ὠήθη δ' ὁ Κλήμης Ἀνδοκίδην παρ' Ἰσοκράτους μεμνησάμενον, εἰπεῖν ἐν ἀρχῇ τοῦ περὶ εἰρήνης λόγου, «Χρὴ γὰρ, ὦ Ἀθηναῖοι, τεκμηρίοις χρῆσθαι τοῖς πρότερον γενομένοις περὶ τῶν μελλόντων ἔσεσθαι». οὐκ ὀρθῶς, οὐ μόνον τοῖς χρόνοις, ἐπεὶ ἀρχαιότερος Ἀνδοκίδης Ἰσοκράτους, ὥστ' εἰκὸς μᾶλλον Ἰσοκράτην ἐξ Ἀνδο-

πρὶν ἐκεῖνον ἐκπολιορκηθῆναι. Τοιαῦται βραδυτῆτες[8] ἐν ταῖς πράξεσι ταῖς βασιλέως ἔνεισιν. Ἐν δὲ τῷ πολέμῳ τῷ περὶ Κνίδον,[9] ἔχων μὲν τοὺς Λακεδαιμονίων συμμάχους εὔνους, διὰ τὴν χαλεπότητα τῶν πολιτειῶν, χρώμενος δὲ ταῖς ὑπηρεσίαις[10] ταῖς παρ' ἡμῶν, στρατηγοῦντος δὲ αὐτῷ Κόνωνος,[11] ὃς ἦν ἐπιμελέστατος μὲν τῶν στρατηγῶν, πιστότατος δὲ τοῖς Ἕλλησιν, ἐμπειρότατος δὲ τῶν πρὸς τὸν πόλεμον κινδύνων, τοιοῦτον λαβὼν συναγωνιστὴν, τρία μὲν ἔτη περιεῖδε τὸ ναυτικὸν τὸ περὶ τὴν Ἀσίαν ὑπὸ τριηρῶν ἑκατὸν μόνον πολιορκούμενον, πεντεκαίδεκα δὲ μηνῶν τοὺς στρατιώτας τὸν μισθὸν ἀπεστέρησεν. Ὥστε τὸ μὲν ἐπ' ἐκείνῳ, πολλάκις ἂν διελύθησαν, διὰ δὲ τὸν ἐφεστῶτα κίνδυνον, καὶ τὴν συμμαχίαν τὴν περὶ Κόρινθον συστᾶσαν, μόλις ποτὲ ναυμαχοῦντες ἐνίκησαν. Καὶ ταῦτ' ἐστὶ τὰ βασιλικώτατα καὶ σεμνότατα τῶν ἐκείνῳ πεπραγμένων, καὶ περὶ ὧν οὐδέποτε παύονται λέγοντες οἱ βουλόμενοι τὰ τῶν βαρβάρων μεγάλα ποιεῖν.

§ 40. Ὥστ' οὐδεὶς ἂν ἔχοι τοῦτ' εἰπεῖν, ὡς οὐ δικαίοις χρῶμαι τοῖς παραδείγμασιν, οὐδ' ὡς ἐπὶ μικροῖς διατρίβω, τὰς μεγίστας τῶν πράξεων παραλιπών· φεύγων γὰρ ταύτην τὴν αἰτίαν, τὰ κάλλιστα τῶν ἔργων διῆλθον, οὐκ ἀμνημονῶν οὐδὲ ἐκείνων, ὅτι Δερκυλλίδας μὲν χιλίους ἔχων ὁπλίτας, τῆς Αἰολίδος ἐπῆρξε· Δράκων δὲ Ἀταρνέα καταλαβὼν, καὶ τρισχιλίους πελταστὰς συλλέξας, τὸ Μύσιον πεδίον ἀνάστατον ἐποίησε· Θίμβρων[2] δὲ, ὀλίγῳ πλείους τούτων διαβιβάσας, τὴν Λυδίαν πᾶσαν ἐπόρθησεν· Ἀγησίλαος δὲ, τῷ Κυρείῳ στρατοπέδῳ[3] χρώμενος, μικροῦ δεῖν

κίδου παρειληφέναι. ἀλλ' ὅτι καὶ αἱ τοιαῦται κοιναὶ γνῶμαι καὶ ἔννοιαι πάντων, ὡς εἰπεῖν, ἀνθρώπων οὐδὲν μᾶλλον μιμήσεις λέγοιντ' ἂν, ἢ εἴ τις καὶ παροιμίαν, ἑτέρου προειπόντος, ἐπιλέγειν αὐτὸς ἀναγκάζοιτο. Τεκμήριον δὲ, ὅτι καὶ Σοφοκλῆς, ἀρχαιότερος ὢν καὶ αὐτοῦ Ἀνδοκίδου, τῇ αὐτῇ σχεδὸν ἐχρήσατο γνώμῃ (Οἰδ. 915),

................... Οὐδ', ὁποῖ' ἀνὴρ
Ἔννους, τὰ καινὰ τοῖς πάλαι
τεκμαίρεται.

— 8. Βραδυτῆτες.) Οὕτω καὶ τὸ ἐμὸν ἀντίγραφον Ἀττικῇ περισπάσει, καθὰ καὶ οἱ πρὸ ἐμοῦ, πλὴν Μόρου τε καὶ Λαγγίου, παρ' οἷς γράφεται προπαροξυτόνως, βραδύτητες. — 9. Κνίδον.) Ἐκ διορθώσεως Οὐολφίου, ἣν ἀπεδέξαντο καὶ πολλοὶ τῶν πρὸ ἐμοῦ· τὰ δὲ μέχρι τοῦδε παραβληθέντα ἀντίγραφα φέρουσι. Ῥόδον, ὅπερ ἄμεινον ἦν ἴσως ἐᾶν κατὰ χώραν· οὐ γὰρ τηλικοῦτον τὸ μεταξὺ Κνίδου τε καὶ Ῥόδου διάστημα, ὥστε τὸν περὶ Κνίδον πόλεμον, μὴ καὶ περὶ Ῥόδον λέγεσθαι καλῶς ἔχειν. — 10. Ὑπηρεσίαις.) Ὑπηρέταις, ὃ σημαίνει κυρίως Κωπηλάταις· ἀφῃρημένον ἀντὶ συγκεκριμένου, καθάπερ ἐχρήσατο καὶ Θουκυδίδης καὶ Δημοσθένης. — 11. Κόνωνος.) Ἐκ διορθώσεως Οὐολφίου, ἀντὶ τοῦ, Κίμωνος. Κόνων γὰρ ἦν, καὶ οὐ Κίμων, ὁ στρατηγήσας τὸν πόλεμον τοῦτον.

§ 40. 2. Θίμβρων.) Οὕτως ὁ Στέφανος καὶ ἄλλοι τινὲς τῶν ἐκδοτῶν καθὰ γράφεται καὶ παρὰ τῷ Ξενοφῶντι τοὔνομα· παρὰ δὲ τοῖς λοιποῖς, ὡς καὶ ἐν τῷ ἐμῷ ἀντιγράφῳ Θίβρων. — 3. Τῷ Κυρείῳ στρατοπέδῳ.) Οὕτω γράφειν προήχθην, ἀντὶ τοῦ, Τῷ Κύρου στρατοπέδῳ, τὸ μὲν, διότι, τοῦ Ἁρποκρατίωνος (λέξ. Κυρεῖον) διαῤῥήδην παραδεδωκότως, ὅτι Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ ἐχρήσατο τῇ λέξει, Κυρεῖον, ἐπὶ κτητικῆς ἐννοίας, τὸ τοῦ Κύρου στράτευμα οὕτως ὀνομάζων, οὐ-

τῆς ἐντὸς Ἅλυος χώρας ἁπάσης ἐκράτησε. Καὶ οὐδὲ τὴν στρατιὰν, τὴν μετὰ βασιλέως περιπολοῦσαν, οὐδὲ τὴν Περσῶν ἀνδρίαν ἄξιον φοβηθῆναι· καὶ γὰρ ἐκεῖνοι φανερῶς ἐπεδείχθησαν ὑπὸ τῶν Κύρῳ συναναβάντων οὐδὲν βελτίους ὄντες τῶν ἐπὶ θαλάττῃ. Τὰς μὲν γὰρ ἄλλας μάχας, ὅσας ἡττήθησαν, ἐῶ, καὶ τίθημι[4] στασιάζειν αὐτοὺς, καὶ μὴ βούλεσθαι προθύμως πρὸς τὸν ἀδελφὸν τοῦ βασιλέως διακινδυνεύειν· ἀλλ' ἐπειδὴ, Κύρου τελευτήσαντος, συνῆλθον ἅπαντες οἱ τὴν Ἀσίαν κατοικοῦντες, ἐν τούτοις τοῖς καιροῖς οὕτως αἰσχρῶς ἐπολέμησαν, ὥστε μηδένα λόγον ὑπολιπεῖν[5] τοῖς εἰθισμένοις τὴν τῶν Περσῶν ἀνδρίαν ἐπαινεῖν. Λαβόντες[6] γὰρ ἑξακισχιλίους[7] τῶν Ἑλλήνων, οὐκ ἀριστίνδην μὲν[8] ἐπιλελεγμένους, ἀλλ' οἳ διὰ φαυλότητα ἐν ταῖς ἑαυτῶν πόλεσιν οὐχ οἷοί τ' ἦσαν ζῆν, ἀπείρους μὲν τῆς χώρας ὄντας, ἐρήμους δὲ συμμάχων γεγενημένους, προδιδομένους[9] δὲ ὑπὸ τῶν συναναβάντων, ἀπεστερημένους δὲ τοῦ στρατηγοῦ, μεθ' οὗ συνηκολούθησαν,[10] τοσοῦτον ἥττους αὐτῶν ἦσαν, ὥσθ' ὁ βασιλεὺς, ἀπορήσας τοῖς παροῦσι, καὶ καταφρονήσας τῆς περὶ αὐτὸν δυνάμεως, τοὺς ἄρχοντας τοὺς τῶν Ἑλλήνων ὑποσπόνδους συλλαβεῖν ἐτόλμησεν, ὡς, εἰ τοῦτο παρανομήσειε, συνταράξων τὸ στρατόπεδον, καὶ μᾶλλον

---

δαμοῦ τοῦ λόγου τούτου εὑρήσεις τὴν λέξιν, εἰ τοῦτο τὸ χωρίον ἐξέλοις· τὸ δὲ ὅτι καὶ Ξενοφῶν πολλαχοῦ μὲν καὶ ἀλλαχοῦ, ἐνδὲ δὴ καὶ τῷ περὶ Κύρου Ἀναβάσεως (Δ, ι, 1), ἐχρήσατο τῇ λέξει. Καὶ ὁ μὲν Μόρος παρῄνει μόνον, Τῷ Κυρείῳ, γράφειν, ἐν τῷ προκειμένῳ χωρίῳ τοῦ Ἰσοκράτους, ἐλλειπτικῶς δηλαδὴ τοῦ, στρατοπέδῳ· ὁ δὲ Λάγγιος, Τῷ Κυρείῳ στρατεύματι, γέγραφεν. Ἡμεῖς δὲ μόνην τῆς δευτέρας λέξεως τὴν μεταβολὴν ἀποχρῶσαν ᾠήθημεν, ἐπεὶ πολλάκις τὸ Στρατόπεδον συνωνύμως ἐκλαμβάνεται τῷ Στρατεύματι παρὰ τοῖς δοκίμοις τῶν ῥητόρων, καὶ μάλιστα τῷ Ἰσοκράτει. — 4. Τίθημι.) Ὑποθέτω, λέγει τοῦτο ἡ συνήθεια, παρὰ τὸ ἁπλοῦν, Θέτω, ὃ παρὰ τὸ ἀρχαῖον Θέω· παρ' ὃ καὶ αὐτὸ παρῆχθαι τὸ Τίθημι, δηλοῖ καὶ ὁ μέλλων Θήσω. Ἡμεῖς δὲ τοιαύτην τινὰ ἐκαινοτομήσαμεν προσθήκην τοῦ τ οἵαν καὶ οἱ τὸ, Ἀνύτω, ποιήσαντες παρὰ τὸ, Ἀνύω. — 5. Ὑπολιπεῖν.) Εἰς τοῦτο δεῖν τρέπειν ἔγνων τὸ παρ' ἅπασι κατ' ἐνεστῶτα, Ὑπολείπειν. — 6. Λαβόντες.) Ἴσον δύναται ἐνταῦθα τῷ ἐντυχόντες, ἢ ἀντιταξάμενοι· ἐντέχνως τε καὶ ῥητορικῶς ἅμα. Τὸ γὰρ τοσαύτας μυριάδας Περσῶν οὕτως ὀλίγοις Ἕλλησιν εἰς χεῖρας ἐλθεῖν, ταὐτὸν ἂν δήπου τῷ λαβεῖν αὐτοὺς ἦν ἄνευ πολέμου, εἰ καὶ μικρόν τι τῆς Ἑλληνικῆς ἀρετῆς ἐνῆν αὐτῶν ταῖς ψυχαῖς. — 7. Ἑξακισχιλίους.) Καὶ μὴν ὁ Ξενοφῶν (Κύρ. Ἀναβ. Ε, γ', 4) ὁμοῦ τε μυρίους μὲν λέγει τοὺς Κύρῳ συναναβάντας τῶν Ἑλλήνων, ὀκτακισχιλίους δὲ πρὸς τοῖς ἑξακοσίοις τοὺς ἀνασωθέντας εἰς τὴν Ἑλλάδα. — 8. Οὐκ ἀριστίνδην μέν.) Περιττὸς ὁ, Μὲν, ἴσως τῶν γραψάντων ἁμαρτία. — 9. Προδιδομένους.) Ταύτην προειλόμην τὴν γραφὴν ἐξ ἀντιγράφων, ἐν οἷς καὶ τοὐμὸν, ἀντὶ τοῦ, Προδεδομένους. — 10. Μεθ' οὗ συνηκολούθησαν.) Πολλάκις Ἰσοκράτης, καθὰ καὶ ἕτεροι τῶν δοκίμων ῥητόρων, τὸ, Ἀκολουθῶ, οὐ πρὸς δοτικὴν, ἀλλὰ πρὸς γενικὴν διὰ μέσης προθέσεως συνάπτει. Σεσημειώσθω δὲ τοῦτο διὰ τοὺς Γραμματικούς· καὶ γὰρ Φρύνιχος (σελ. 154) καθάπτεται Λυσίου, εἰπόντος, »Τὸν παῖδα τὸν ἀκολουθοῦντα μετ' αὐτοῦ»· ἐχρῆν γὰρ, κατά γε Φρύνιχον, εἰπεῖν, «Τὸν ἀκολουθοῦντα αὐτῷ». Πότερον οὖν, ὦ φίλα μειρακύλλια, ὅσοι περὶ τὴν Ἑλλάδα πονεῖσθε φωνὴν, Λυσίαν τε καὶ Ἰσοκράτην ἁμαρτάνειν ὑποληπτέον, ἢ

εἵλετο περὶ τοὺς θεοὺς ἐξαμαρτεῖν, ἢ πρὸς ἐκείνους ἐκ τοῦ φανεροῦ διαγωνίσασθαι. Διαμαρτὼν δὲ τῆς ἐπιβουλῆς, καὶ τῶν στρατιωτῶν συμμεινάντων, καὶ καλῶς ἐνεγκάντων τὴν συμφορὰν, ἀπιοῦσιν αὐτοῖς Τισαφέρνην καὶ τοὺς ἱππέας συνέπεμψεν, ὑφ' ὧν ἐκεῖνοι παρὰ πᾶσαν ἐπιβουλευόμενοι τὴν ὁδὸν ὁμοίως διεπορεύθησαν, ὥσπερ ἂν εἰ προπεμπόμενοι, μάλιστα μὲν φοβούμενοι τὴν ἀοίκητον τῆς χώρας, μέγιστον δὲ τῶν ἀγαθῶν νομίζοντες, εἰ τῶν πολεμίων ὡς πλείστοις ἐντύχοιεν. Κεφάλαιον δὲ τῶν εἰρημένων· ἐκεῖνοι γάρ,[11] οὐκ ἐπὶ Μυσῶν λείαν[12] ἐλθόντες, οὐδὲ κώμην καταλαβόντες, ἀλλ' ἐπ' αὐτὸν τὸν βασιλέα στρατεύσαντες, ἀσφαλέστερον

---

Φρύνιχον; ἐγὼ μὲν οἶμαι Φρύνιχον, εἰ μὴ μαίνομαί γε. — 11. Κεφάλαιον δὲ τῶν εἰρημένων· ἐκεῖνοι γὰρ κ. τ. λ.) Κατ' ἔλλειψιν ὁμοίαν τῇ περὶ ἧς ἐν τοῖς πρόσθεν (σελ. 49) ἐμνημόνευσα, ἀντὶ τοῦ, Κεφάλαιον δὲ τοῦτό ἐστι τῶν εἰρημένων, ὅτι ἐκεῖνοι κ. τ. λ. ὁ δὲ νοῦς, Ἵνα δὲ συνελὼν εἰς ἓν τὰ εἰρημένα καὶ οἷον ἐν κεφαλαίῳ συναριθμήσας εἴπω, ἐκεῖνοι κ. τ. λ. — 12. Ἐπὶ Μυσῶν λείαν.) Ἐξ ἡμετέρας διορθώσεως, ἀντὶ τῆς διαφόρως ἡμαρτημένης, καὶ ἄλλως ὑπ' ἄλλων διωρθωμένης γραφῆς. Αἱ μὲν γὰρ ἀρχαῖαι ἐκδόσεις συμφώνως τοῖς πλείστοις τῶν ἀντιγράφων φέρουσιν, ἢ διῃρημένως, ΕΠΙ ΜΕΛΕΙΑΝ, ἢ ἡνωμένως ΕΠΙΜΕΛΕΙΑΝ, εἰσὶ δ' αἳ καὶ, ΕΠ' ΑΜΕΛΕΙΑΝ· ἐν δὲ τῷ ἐμῷ ἀντιγράφῳ, ἐφέρετο μὲν προδήλως, Ἐπιμέλειαν, ἔπειτα δέ τις, ἀποξέσας τὴν μέσην συλλαβὴν, ἔτρεψεν εἰς τὸ, ΕΠΙ ΛΕΙΑΝ. Τῶν ὑπομνηματιστῶν δὲ ὁ μέν τις διώρθου γράφων βαρβάρως, ΕΠΙ ΓΕ ΛΕΙΑΝ, Οὔολφιος δὲ, οὐδὲν μᾶλλον Ἑλληνικῶς, ΕΠΙ ΜΕΝ ΛΕΙΑΝ· οὐδὲν γὰρ μᾶλλον ὁ Μὲν ἢ ὁ Γὲ σύνδεσμος οἰκεῖος τῷ προκειμένῳ χωρίῳ. Ταύτην ὅμως τὴν τοῦ Οὐολφίου διόρθωσιν ἀπεδέξαντο οἱ πρὸ ἐμοῦ πλὴν Στεφάνου, ὃς ἐφύλαξε τὸ ἐπιμέλειαν, καὶ Αὐγήρου, προελομένου γράφειν, Ἐπὶ λείαν. Ἡμεῖς δὲ, χαίρειν ἐάσαντες τὰς διαφόρους ταύτας γραφάς τε καὶ διορθώσεις, γραπτέον ὑπελάβομεν εἶναι, ΕΠΙ ΜΥΣΩΝ ΛΕΙΑΝ· ἔστι γὰρ ὁ νοῦς τοῦ χωρίου περιφανῶς οὗτος, Ἐκεῖνοι γὰρ οἱ συναναβάντες τῷ Κυρείῳ Ἕλληνες, οὐκ ἐλθόντες ἐπὶ Μυσῶν ληστείαν, ὡς φησιν ἡ παροιμία, τουτέστιν ἐπ' εὐκαταφρονήτους τινὰς, καὶ ὑπὸ τοῦ τυχόντος ὁτιοῦν πάσχειν ἑτοίμους, οἷοί περ ἦσαν οἱ Μυσοὶ, οὐδὲ κώμην καταλαβόντες, ἀλλ' ἐπ' αὐτὸν τὸν βασιλέα τὸν προσαγορευόμενον Μέγαν, καὶ πλείστων ἀνθρώπων τε καὶ πόλεων δεσπόζοντα, στρατεύσαντες, ἀσφαλέστερον ἀνεχώρησαν κ. τ. λ. Ἔστι δὲ τὸ, Μυσῶν λεία, παροιμία ἐπὶ τῶν εὐχερῶς διαρπαζομένων, τὴν ἀρχὴν λαβοῦσα, ὥς φησι Δήμων (παρὰ Ἁρποκρατ. λέξ. Μυσῶν λείαν) ἀπὸ τῶν καταδραμόντων ἀστυγειτόνων τε καὶ λῃστῶν τὴν Μυσίαν κατὰ τὴν τοῦ Τηλέφου τοῦ βασιλέως ἀποδημίαν. Μνημονεύει δὲ τῆς παροιμίας καὶ Δημοσθένης (περὶ Στεφ. σελ. 248) ἐν οἷς φησὶν ὅτι χρὴ ἀντιτάττεσθαι τῷ Μακεδόνι καὶ μὴ περιορᾷν Μυσῶν λείαν ὑπ' αὐτοῦ γινομένην τὴν Ἑλλάδα, τουτέστι μὴ ἀνάνδρως, ὥσπερ Μυσοὺς, ἀνέχεσθαι τοὺς Ἕλληνας ἀδικουμένους ὑπὸ Φιλίππου. Ἐξηγεῖται δέ πως καὶ Ἀριστοτέλης αὐτὴν (Ῥητορικ. Δ, ιϐ') «Καὶ τοὺς ὑπὸ πολλῶν »ἀδικηθέντας καὶ μὴ ἐπεξελθόντας, ὡς »ὄντας, κατὰ τὴν παροιμίαν, τούτους, »Μυσῶν λείαν». Μυσοὺς δὲ νοητέον τοὺς περὶ τὸν Ὄλυμπον πρὸς τῇ Φρυγίᾳ τε καὶ Βιθυνίᾳ, οὕτω κληθέντας ἀπὸ τοῦ δένδρου τῆς Ὀξύης, ἣν Μυσὴν ὠνόμαζον οἱ Λυδοί· πολλὴ δὲ ἡ Ὀξύα κατὰ τὸν Ὄλυμπον (Στράβ. ΙΒ, σελ. 572, καὶ Στεφ. περὶ Πολ. λέξ. Μυσία), ἣ μέχρι δεῦρο παρ' ἡμῖν μὲν, Ὀξύα, τῷ Ἑλληνικῷ καλεῖται ὀνόματι, παρὰ δὲ τοῖς Τούρκοις, Μουσᾶς, τῇ Λυδικῇ κλήσει. Καὶ ταῦτα μὲν περὶ τῶν εὐχερῶς ἀδικουμένων Μυσῶν, μακρότερα τοῦ προσήκοντος, ἵνα μὴ καί τις τῶν ἄγαν εὐλαβουμένων τὰς διορθώσεις, δυσχεράνας τὴν μεταβολὴν τοῦ χωρίου, Μυσῶν λείαν ποιεῖσθαί με φήσῃ τοὺς Ἰσοκράτους λόγους· μεταβῶμεν δὲ ἐπὶ

κατέβησαν τῶν περὶ φιλίας αὐτῶν[13] πρεσβευόντων. Ὥστε μοι δοκοῦσιν ἐν ἅπασι τοῖς τόποις σαφῶς ἐπιδεδεῖχθαι τὴν αὐτῶν μαλακίαν. Καὶ γὰρ ἐν τῇ παραλίᾳ τῆς Ἀσίας, πολλὰς μάχας ἡττηνται, καὶ διαβάντες εἰς τὴν Εὐρώπην δίκην ἔδοσαν (οἱ μὲν γὰρ αὐτῶν κακῶς ἀπώλοντο, οἱ δὲ αἰσχρῶς ἐσώθησαν), καὶ τελευτῶντες ἐπ' αὐτοῖς τοῖς βασιλείοις καταγέλαστοι γεγόνασι.

§ 41. Καὶ τούτων οὐδὲν ἀλόγως γέγονεν, ἀλλὰ πάντα εἰκότως ἀποβέβηκεν· οὐδὲ γὰρ οἷόν τε τοὺς οὕτω τρεφομένους καὶ πολιτευομένους, οὔτε τῆς ἄλλης ἀρετῆς μετέχειν, οὔτε ἐν ταῖς μάχαις τρόπαιον ἵστασθαι τῶν πολεμίων. Πῶς γὰρ ἂν ἐν τοῖς ἐκείνων ἐπιτηδεύμασιν ἐγγενέσθαι δύναιτ' ἂν ἢ στρατηγὸς δεινὸς, ἢ στρατιώτης ἀγαθὸς, ὧν τὸ μὲν πλεῖστόν ἐστιν ὄχλος ἄτακτος,[2] καὶ κινδύνων ἄπειρος, πρὸς μὲν τὸν πόλεμον ἐκλελυμένος, πρὸς δὲ τὴν δουλείαν ἄμεινον τῶν παρ' ἡμῖν οἰκετῶν πεπαιδευμένος; οἱ δὲ ἐν ταῖς μεγίσταις δόξαις ὄντες αὐτῶν, ὁμαλῶς[3] μὲν, οὐδὲ κοινῶς,[4] οὐδὲ πολιτικῶς,[5] οὐδεπώποτ' ἐβίωσαν, ἅπαντα δὲ τὸν χρόνον διάγουσιν εἰς μὲν τοὺς ὑβρίζοντες, τοῖς δὲ δουλεύοντες, ὡσανεὶ ἄνθρωποι μάλιστα τὰς φύσεις διεφθαρμένοι· καὶ τὰ μὲν σώματα διὰ τοὺς πλούτους τρυφῶντες, τὰς δὲ ψυχὰς διὰ τὰς μοναρχίας ταπεινὰς καὶ περιδεεῖς ἔχοντες, ἐξεταζόμενοι δὲ πρὸς αὐτοῖς τοῖς βασιλείοις,[6] καὶ προκυλινδούμενοι,[7] καὶ πάντα τρόπον μικρὸν φρο-

---

τὰ ἑξῆς. — 13. Αὐτῶν.) Οὕτω φέρεται ἐν ἅπασι τοῖς ἀντιγράφοις, ἐν οἷς καὶ τοὐμόν· Οὐολφίου δὲ διορθώσαντος, παρειλήφεν ὁ Στέφανος, καὶ ἕτεροι πλεῖστοι τῶν ἐκδοτῶν, τὸ, Αὐτοῦ, ἀναφορικῶς πρὸς τὸ προηγησάμενον, Βασιλέα. Ἔστι μέν τι καὶ τὸ, Αὐτῶν, κατὰ χώραν ἐῶντας, ἢ πρὸς τοὺς Πέρσας ἀναφέρειν, ἢ καὶ κατ' ἔμφασιν πρὸς τὸ, Πρεσβευόντων, συνάπτειν, κατὰ τοιόνδε τινὰ νοῦν, Καίπερ ἐπ' αὐτὸν τὸν βασιλέα στρατεύσαντες, ἐπανῆλθον ἀσφαλέστερον οὐ τῶν τυχόντων, ἀλλὰ καὶ ΑΥΤΩΝ τῶν πρεσβευόντων περὶ φιλίας, οἷς οὐχ ὅσιον οὐδ' ὁτιοῦν ἐνοχλεῖν.

§ 41. 2. Ὧν τὸ μὲν πλεῖστόν ἐστιν ὄχλος ἄτακτος . . . τῶν δὲ θεῶν μᾶλλον ἢ τῶν ἀνθρώπων καταφρονοῦντες.) Θαυμασία καὶ σχεδὸν ἔμψυχος εἰκὼν ταπεινοῦ καὶ ἀνδραποδώδους ἤθους· τοιοῦτοι γὰρ ἅπαντες οἱ θαυμάζοντες καὶ κολακεύοντες τοὺς τυράννους, ἀνδράποδα μᾶλλον ἢ ἄνδρες προφανῆ τὰ στίγματα τῆς δουλείας ἐπιδεικνύμενοι, εἰς μὲν τοὺς ἥττους ὑβρίζοντες, πρὸς δὲ τοὺς μέγα φρονοῦντας οὐδὲ ἀτενίσαι τὰς ὄψεις τολμῶντες. — 3. Ὁμαλῶς.) Ἐν τῇ αὐτῇ τῆς ψυχῆς καταστάσει· τοῦτο γὰρ ἐνταῦθα δύναται τὸ «Ὁμαλῶς ἐβίωσαν» ἢ δῆλον καὶ ἐκ τῶν ἑξῆς, «Τὰ μὲν ταπεινῶς τὰ δ' ὑπερηφάνως ζῶντες.» Ἅπαντα γὰρ ἀνώμαλα καὶ ἄμετρα τὰ τῶν δούλων, ἐλπίδες, φόβοι, χαραὶ, λῦπαι, μεγαλοφροσύναι, μικροφροσύναι, ἀλλήλαις διαδεχόμεναι, καὶ κυμαίνουσαι τὰς ἀνδραποδώδεις αὐτῶν ψυχάς. — 4. Κοινῶς.) Ἐξ ἴσου τοῖς ἄλλοις. — 5. Πολιτικῶς.) Ὥσπερ χρὴ τὸν ἐν Πολιτείᾳ, τουτέστιν ἰσονομίᾳ, καὶ μὴ τυραννίᾳ, βιοῦντα. — 6. Ἐξεταζόμενοι δὲ πρὸς αὐτοῖς τοῖς βασιλείοις.) Οὐκ ὀρθῶς ὁ Σουΐδας (Λ, σελ. 768) ἐξηγήσατο τὸ χωρίον τοῦτο διὰ τοῦ, «Ἀριθμούμενοι ἐν τοῖς βασιλείοις» σημαίνει γὰρ τὸ μᾶλλον τὸ Ἀναστρεφόμενοι καὶ ἐνδιατρίβοντες, ἢ, ὥς φησιν Ἁρποκρατίων (λέξ. Ἐξετάζεσθαι) τὸ Ὁρώμενοι. — 7. Προκυλινδούμενοι.) Ἐναργὴς ἡ μεταφορὰ, καὶ προσήκουσα μάλιστα τῷ τῶν ἀνδραπόδων βίῳ· ὀρθοὶ γὰρ βαίνειν οὐκ ἔμαθον, οὐδὲ μα-

νεῖν μελετῶντες,[8] θνητὸν μὲν ἄνδρα προσκυνοῦντες, καὶ δαίμονα προσαγορεύοντες,[9] τῶν δὲ θεῶν μᾶλλον ἢ τῶν ἀνθρώπων καταφρονοῦντες. Τοιγαροῦν οἱ καταβαίνοντες αὐτῶν ἐπὶ θάλατταν, οὓς καλοῦσι σατράπας, οὐ καταισχύνουσι τὴν ἐκείνων παίδευσιν, ἀλλ' ἐν τοῖς ἤθεσι τοῖς αὐτοῖς διαμένουσι, πρὸς μὲν τοὺς φίλους ἀπίστως, πρὸς δὲ τοὺς ἐχθροὺς ἀνάνδρως ἔχοντες· καὶ τὰ μὲν ταπεινῶς, τὰ δὲ ὑπερηφάνως ζῶντες· τῶν μὲν συμμάχων καταφρονοῦντες, τοὺς δὲ πολεμίους θεραπεύοντες. Τὴν μέν γε μετ' Ἀγησιλάου στρατιὰν, ὀκτὼ μῆνας ταῖς ἑαυτῶν δαπάναις διέθρεψαν, τοὺς δὲ ὑπὲρ αὐτῶν κινδυνεύσαντας, ἑτέρου τοσούτου χρόνου[10] τὸν μισθὸν ἀπεστέρησαν· καὶ τοῖς μὲν Κισθήνην[11] καταλαβοῦσιν ἑκατὸν τάλαντα διένειμαν, τοὺς δὲ μεθ' ἑαυτῶν εἰς Κύπρον στρατευσαμένους, μᾶλλον ἢ τοὺς αἰχμαλώτους ὕβριζον. Ὡς δὲ ἁπλῶς εἰπεῖν, καὶ μὴ καθ' ἕκαστον, ἀλλ' ὡς ἐπὶ τὸ πολὺ,[12] τίς ἢ τῶν πολεμησάντων αὐτοῖς οὐκ εὐδαιμονήσας ἀπῆλθεν, ἢ τῶν ὑπ' ἐκείνοις γενομένων οὐκ αἰκισθεὶς τὸν βίον ἐτελεύτησεν; οὐ Κόνωνα μὲν, ὃς ὑπὲρ τῆς Ἀσίας στρατηγήσας τὴν Λακεδαιμονίων ἀρχὴν κατέλυσεν, ἐπὶ θανάτῳ[13] συλλαβεῖν ἐτόλμησαν; Θεμιστοκλέα

---

ἥσονταί ποτε. — 8. Καὶ πάντα τρόπον μικρὸν φρονεῖν μελετῶντες.) Σημείωσαι ὅτι οὐκ εἶπε, Μικρὸν φρονοῦντες, ἀλλὰ, Μικρὸν φρονεῖν μελετῶντες, ἐπεὶ οὐδὲ ὁ Σταγειρίτης φιλόσοφος ἀνάξιον ἡγήσατο σημειώσεως τὸ χωρίον. Ἔστι γὰρ, Ὡσπερανεὶ μάθημα τὸ μικρὸν φρονεῖν μανθάνοντες, τοῦτο καθ' ἡμέραν ἀσκοῦντες καὶ ἐν τούτῳ γυμναζόμενοι. «Μελετᾷ (καθ' Ἡσύχιον), ἀσκεῖ, ἐπιμελεῖται, γυμνάζεται. Μελέτη γὰρ ἄσκησις», καὶ, «Μελετητήριον . . . σχολεῖον». Ὑπονοεῖν δὲ παρέχει ἡ τῆς λέξεως σημασία, μήποτε ἡ περὶ τοῦ προκειμένου χωρίου κρίσις Ἀριστοτέλους (Ῥητορ. Γ, ι) ἀβλεψίᾳ τῶν γραψάντων ἡμάρτηται, «Πάντα τρόπον μικρὸν φρονεῖν μελετῶντες· τὸ γὰρ Μελετᾶν ΑΥΞΕΙΝ τί ἐστι»· εἰ γὰρ καὶ ἀληθῶς τὸ, Μελετᾶν μικρὸν φρονεῖν, πλέον τὶ βούλεται λέγειν τοῦ ἁπλῶς μικρὸν φρονεῖν, ἀλλ' οὐ περὶ αὐξήσεως ἦν ὁ λόγος τῷ φιλοσόφῳ, πολλῷ δὲ μᾶλλον περὶ οὗ ἐκεῖνος λέγει, τοῦ Πρὸ ὀμμάτων ποιεῖν διὰ τῶν μεταφορῶν. Μήποτε οὖν ἔγραφεν Ἀριστοτέλης, « . . . Τὸ γὰρ Μελετᾶν ΑΣΚΕΙΝ τί ἐστι.» — 9. Καὶ δαίμονα προσαγορεύοντες.) Θεοὺς γὰρ ἐκάλουν τοὺς βασιλεῖς αὐτῶν οἱ Πέρσαι. Διὸ καὶ Αἰσχύλος χορὸν παράγει τῶν ἐν τοῖς βασιλείοις προκυλινδουμένων τούτων κολάκων λέγοντα πρὸς τὴν γυναῖκα Δαρείου ματέρα δὲ Ξέρξου (Περσ. 155),

Θεοῦ μὲν εὐνάτειρα Περσῶν, θεοῦ δὲ
καὶ μήτηρ ἔφυς.

— 10. Ἑτέρου τοσούτου χρόνου.) Τουτέστι, μηνῶν ἑκκαίδεκα· ἀνωτέρω δὲ (σελ. 66), Πεντεκαίδεκα μηνῶν εἴρηκε. — 11. Κισθίνην.) Ὁ Ἁρποκρατίων, Ὄρος Θρᾴκης, ἐξέλαβε τὴν παρ' Ἰσοκράτει ταύτην Κισθίνην, ἣν ὁ μὲν Σουίδας Κισσήνην, γράφει, ὁ δὲ Ἡσύχιος, Κισσίνην, ὄρος καὶ πόλιν Θρᾴκης λέγων. Στράβων δὲ (σελ. 606) πόλιν Αἰολίδος κατέναντι Λέσβου, οὐ μακρὰν ἀπέχουσαν Ἀδραμυτείου, Κισθήνην καλεῖ, ἧς καὶ ὁ Βυζάντιος Στέφανος (λέξ. Πᾶσσα) μνημονεύει. Ἄδηλον ὁποτέραν τούτων λέγει ἐνταῦθα Ἰσοκράτης· πλὴν εἰ μή τις διατείνοιτο τρίτην ἄλλην Κισθήνην, νῆσον καὶ πόλιν ὁμώνυμον τὴν πρὸ τῆς Λυκίας, ὑπάρξαι, ἣν ἡ συνήθεια τανῦν Καστελλόριζο καλεῖ, παρὰ τῶν Ἰταλῶν (Castel rosso) λαβοῦσα τοὔνομα. Ἀλλὰ ταύτην ὁ Κελλάριος, ὁ Δαμβίλλης καὶ ἕτεροι Γεωγράφοι, ἐξ ἡμαρτημένης γραφῆς ἔλαβον τῆς παρὰ τῷ Στράβωνι (σελ. 666), ὡς ἔδοξέ τισι τῶν κριτικῶν. — 12. Ἐπὶ τὸ πολύ.) Παρείληφα τὸ ἄρθρον ἐξ ἀντιγράφων, οἷς συνᾴδει καὶ τὸ ἐμόν. — 13. Ἐπὶ θανάτῳ.) Ἐκ διορθώσεως τοῦ Οὐολφίου, χαίρειν ἐάσας τὸ παρὰ τοῖς λοιποῖς οὐχ ἑλληνικὸν, Ἐπὶ θάνατον. Οὐδὲν γάρ ἐστιν ἕτερον τὸ Συλλαβεῖν ἐπὶ θανάτῳ, ἢ Συλλαβεῖν

δέ, ὃς ὑπὲρ τῆς Ἑλλάδος αὐτοὺς κατεναυμάχησε, καὶ μεγίστων δωρεῶν ἠξίωσαν; Καίτοι πῶς χρὴ τὴν τούτων φιλίαν ἀγαπᾷν, οἳ τοὺς μὲν εὐεργέτας τιμωροῦνται, τοὺς δὲ κακῶς ποιοῦντας οὕτως ἐπιφανῶς κολακεύουσι; Περὶ τίνας δ' ἡμῶν οὐκ ἐξαμαρτάνουσι; Ποῖον δὲ χρόνον διαλελοίπασιν "οὐκ" ἐπιβουλεύοντες τοῖς Ἕλλησι;[14] Τί δ' οὐκ ἐχθρὸν αὐτοῖς ἐστι τῶν παρ' ἡμῖν; οἳ καὶ τὰ τῶν θεῶν ἕδη,[15] καὶ τοὺς νεὼς συλᾷν ἐν τῷ προτέρῳ πολέμῳ καὶ κατακαίειν ἐτόλμησαν; Διὸ καὶ τοὺς Ἴωνας[16] ἄξιον ἐπαινεῖν, ὅτι τῶν ἐμπρησθέντων ἱερῶν ἐπηράσαντο εἴτι τινὲς[17] οἰκοδομήσαιεν, ἢ πάλιν εἰς τὰ ἀρχαῖα καταστῆσαι βουληθεῖεν· οὐκ ἀποροῦντες

---

ἐφ' ᾧ θανατῶσαι. Ὥσπερ οὖν ἀδόκιμον τὸ φάναι, Ἐφ' ὃ θανατῶσαι, παραπλησίως μάχεται τῇ τῶν δοκίμων χρήσει τὸ, Ἐπὶ θάνατον· ἄλλως τε καὶ Ἰσοκράτους αὐτοῦ εἰρηκότος ἀλλαχοῦ (Ἑλέν. ἐγκώμ. ις'.) «Οὐδὲν δὲ εὐθυμότερον »ζῶντες τῶν ΕΠΙ ΘΑΝΑΤΩ συνειλημ»μένων.» — 14. Ποῖον δὲ χρόνον διαλελοίπασιν οὐκ ἐπιβουλεύοντες τοῖς Ἕλλησι;) Περιττὴ ἐνταῦθα ἡ ἄρνησις, εἴτε τῶν γραψάντων ἀβλεψίᾳ εἰς τὸ χωρίον εἰσφρήσασα, εἴτε καὶ τοῦ Ῥήτορος παρενεχθέντος ὑπὸ τῆς κατὰ τῶν βαρβάρων ὀργῆς· ἐν γὰρ ταῖς τοιαύταις ἐρωτήσεσιν (αἳ πολὺ ἔχουσι ἐναγώνιον) τότε χώραν ἔχει ἡ ἄρνησις, ὅταν ἡ ὑπονοουμένη ἀπόκρισις ᾖ καταφατική· ταύτης δ' ἀποφατικῆς οὔσης ἐξ ἀνάγκης ἄνευ ἀρνήσεως γίνεται ἡ ἐρώτησις. Οὐκ ἄκαιρον δὲ καὶ παραδείγμασι τὸ λεγόμενον πιστῶσαι, ἐξ αὐτοῦ τούτου τοῦ Πανηγυρικοῦ λαβόντας, οὐκ ἀλλαχόθεν· οἷον, «Τίς ΟΥΚ εὐδαιμονήσας ἀπῆλθεν; ἀρνητικῶς διὰ τὴν ὑπονοουμένην καταφατικὴν ἀπόκρισιν, Πάντες εὐδαιμονήσαντες ἀπῆλθον· «Περὶ τίνας δὲ ἡμῶν ΟΥΚ ἐξαμαρτάνουσι; διὰ τὴν ἀπόκρισιν, Περὶ πάντας ἐξαμαρτάνουσι· «Τί δ' ΟΥΚ ἐχθρὸν αὐτοῖς ἐ»στί;» διὰ τὴν ἀπόκρισιν Πάντα ἐχθρὰ αὐτοῖς ἐστί. Ἐκ δὲ τοῦ ἐναντίου, «Πῶς »χρὴ τὴν τούτων φιλίαν ἀγαπᾷν;» ἄνευ ἀρνήσεως, διὰ τὴν ὑπονοουμένην μετ' ἀρνήσεως ἀπόκρισιν, Οὐδαμῶς χρὴ τὴν τούτων φιλίαν ἀγαπᾷν· εἰ γὰρ ἠβούλετο ὑπονοεῖν καταφατικὴν ἀπόκρισιν, «Χρὴ »τὴν τούτων φιλίαν ἀγαπᾷν» ὤφειλε μετ' ἀρνήσεως ἐρωτῆσαι, «Πῶς ΟΥ χρὴ »τὴν τούτων φιλίαν ἀγαπᾷν;» Ὡσαύτως τοίνυν καὶ ἐπὶ τοῦ προκειμένου, τῆς ἀποκρίσεως οὔσης ἀρνητικῆς, Οὐδένα χρόνον διαλελοίπασιν ἐπιβουλεύοντες, ὤφειλεν ἡ ἐρώτησις εἶναι, Τίνα δὲ χρό»νον διαλελοίπασιν ἐπιβουλεύοντες;» Οὔολφιος δὲ ἀποδοκιμάζων καὶ αὐτὸς τὴν ἄρνησιν, τοιαύτην ἐπενόησε θεραπείαν τῆς φράσεως, ἀναλύων εἰς τὸ, «Τίνα δὲ χρόνον διαλελοίπασι, καθ' ὃν »οὐκ ἐπεβούλευσαν. — 15. Τὰ τῶν θεῶν ἕδη.) Τὰ ἀγάλματα, περιαιροῦντες δηλονότι τὸν χρυσοῦν κόσμον. Δῆλον δὲ καὶ ἐκ τῆς ἀρχῆς τοῦ Περὶ τῆς ἀντιδόσεως «Φειδίαν τὸν τῆς Ἀθηνᾶς ἕδος ἐρ»γασάμενον». Σημαίνει δ' ἄλλως ἡ λέξις καὶ αὐτὰ τὰ ἱερὰ, τουτέστι τοὺς ναοὺς τῶν θεῶν· ὅθεν καὶ Ἑδεῖς καθ' Ἡσύχιον, οἱ Ἱερεῖς, παρὰ τὴν, Ἑδεύς, εὐθεῖαν. — 16. Ἴωνας.) Διστάζουσί τινες περὶ τοῦ ὀνόματος· οὐ γὰρ τοὺς Ἴωνας ἀλλ' ἁπλῶς τοὺς Ἕλληνας ὀμόσαι τὸν ὅρκον τοῦτον παραδεδώκασιν ὅ,τε Λυκοῦργος (Κατὰ Λεωκράτ. ιθ'.) καὶ Διόδωρος ὁ Σικελιώτης, (ΙΑ, κθ'.) Ἕτεροι δὲ πιθανώτερον ὑπειλήφασι τὸ ἐν ταῖς Ἴωσι συμβὰν εἰς ἅπαντας ἀνενεχθῆναι τοὺς Ἕλληνας ὑπὸ τῶν Ἀθηναίων. Ἄξιον δὲ καὶ τὸν ὅρκον αὐτὸν ἀναγράψαι· ἔχει δὲ οὕτως. «Οὐ ποιήσομαι περὶ »πλείονος τὸ ζῆν τῆς ἐλευθερίας, οὐδὲ »καταλείψω τοὺς ἡγεμόνας, οὔτε ζῶν»τας οὔτε ἀποθανόντας, ἀλλὰ τοὺς ἐν »τῇ μάχῃ τελευτήσαντας τοὺς συμμά»χων ἅπαντας θάψω· καὶ κρατήσας τῷ »πολέμῳ τοὺς βαρβάρους, τῶν μὲν »μαχεσαμένων ὑπὲρ τῆς Ἑλλάδος πό»λεων οὐδεμίαν ἀνάστατον ποιήσω, τὰς »δὲ τὰ τοῦ βαρβάρου προελομένας ἁ»πάσας δεκατεύσω· ΚΑΙ ΤΩΝ ΙΕΡΩΝ »ΤΩΝ ΕΜΠΡΗΣΘΕΝΤΩΝ ΚΑΙ ΚΑΤΑ»ΒΛΗΘΕΝΤΩΝ ΥΠΟ ΤΩΝ ΒΑΡΒΑΡΩΝ »ΟΥΔΕΝ ΑΝΟΙΚΟΔΟΜΗΣΩ ΠΑΝΤΑΠΑ»ΣΙΝ, ΑΛΛ' ΥΠΟΜΝΗΜΑ ΤΟΙΣ ΕΠΙΓΙ»ΝΟΜΕΝΟΙΣ ΕΑΣΩ ΚΑΤΑΛΕΙΠΕΣΘΑΙ »ΤΗΣ ΤΩΝ ΒΑΡΒΑΡΩΝ ΑΣΕΒΕΙΑΣ.» — 17. Εἴτι τινές) Ἐξ ἑτέρων διορθώσεως (Σημ. εἰς τὸν Ἡρόδοτ. Ε, ρβ'), ἣν

ὁπόθεν[18] ἐπισκευάσωσιν, ἀλλ' ἵνα ὑπόμνημα τοῖς ἐπιγιγνομένοις ᾖ τῆς τῶν βαρβάρων ἀσεβείας, καὶ μηδεὶς πιστεύῃ τοῖς τοιαῦτα εἰς τὰ τῶν θεῶν ἕδη ἐξαμαρτεῖν τολμήσασιν, ἀλλὰ καὶ φυλάττωνται, καὶ δεδίωσιν, ὁρῶντες αὐτοὺς, οὐ μόνον τοῖς σώμασιν ἡμῶν, ἀλλὰ καὶ τοῖς ἀναθήμασι, πολεμήσαντας.

§ 42. Ἔχω δὲ καὶ περὶ τῶν πολιτῶν τῶν ἡμετέρων πολλὰ τοιαῦτα διελθεῖν. Καὶ γὰρ οὗτοι πρὸς μὲν τοὺς ἄλλους, ὅσοις πεπολεμήκασιν, ἅμα διαλλάττονται καὶ τῆς ἔχθρας τῆς προγεγενημένης ἐπιλανθάνονται, τοῖς δ' ἠπειρώταις,[2] οὐδ' ὅταν εὖ πάσχωσι, χάριν ἴσασιν· οὕτως ἀείμνηστον πρὸς αὐτοὺς τὴν ὀργὴν ἔχουσι. Καὶ πολλῶν μὲν οἱ πατέρες ἡμῶν Μηδισμοῦ θάνατον κατέγνωσαν, ἐν δὲ τοῖς συλλόγοις ἔτι καὶ νῦν ἀρὰς ποιοῦνται, πρὶν ἄλλο τι χρηματίζειν,[3] εἴ τις ἐπικηρυκεύεται Πέρσαις[4] τῶν πολιτῶν. Εὐμολπίδαι δὲ καὶ Κήρυκες[5] ἐν τῇ τελετῇ τῶν μυστηρίων, διὰ τὸ τούτων μῖσος, καὶ τοῖς ἄλλοις βαρβάροις εἴργεσθαι τῶν ἱερῶν, ὥσπερ τοῖς ἀνδροφόνοις, προαγορεύουσιν. Οὕτω δὲ φύσει πολεμικῶς πρὸς αὐτοὺς ἔχομεν, ὥστε καὶ τῶν μύθων ἥδιστα συνδιατρίβομεν τοῖς Τρωϊκοῖς καὶ Περσικοῖς, δι' ὧν ἔστε πυνθάνεσθαι τὰς ἐκείνων συμφοράς. Εὕροι δ' ἄν τις ἐκ μὲν τοῦ πολέμου τοῦ πρὸς τοὺς βαρβάρους, ὕμνους πεποιημένους, ἐκ δὲ τοῦ πρὸς Ἕλληνας, θρήνους ἡμῖν γεγενημένους· καὶ τοὺς μὲν ἐν ταῖς ἑορταῖς ᾀδομένους, τῶν δὲ ἐπὶ ταῖς συμφοραῖς ἡμᾶς μεμνημένους. Οἶμαι δὲ καὶ τὴν Ὁμήρου ποίησιν μείζω λαβεῖν δόξαν, ὅτι καλῶς τοὺς πολεμήσαντας τοῖς βαρβάροις ἐνεκωμίασε, καὶ διὰ τοῦτο βουληθῆναι τοὺς προγόνους ἡμῶν ἔντιμον αὐτοῦ ποιῆσαι τὴν τέχνην, ἔν τε τοῖς τῆς μουσικῆς ἄθλοις,[6] καὶ τῇ παιδεύσει τῶν νεωτέρων,

---

παρείληφε καὶ ὁ Αὐγῆρος, ἀντὶ τοῦ, Εἴ τινες. — 18. Ὁπόθεν) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ἀντὶ τοῦ, Ὅθεν.

§ 42. 2. Τοῖς δ' ἠπειρώταις.) Τοῖς Πέρσαις. — 3. Χρηματίζειν) Περὶ τῶν κοινῶν διαλέγεσθαι (Ἔπιθι τὰς εἰς τὸν Ἡλιόδωρον σημ. Γ, σελ. 347). — 4. Εἴ τις ἐπικηρυκεύεται Πέρσαις.) Εἴ τις περὶ φιλίας καὶ διαλλαγῶν κήρυκας πέμπει πρὸς τοὺς Πέρσας, καθὰ ἐξηγεῖται ὁ Ἁρποκρατίων (λέξ. Ἐπικηρυκεία). Διδασκαλικὸν δὲ τὸ χωρίον· ἐκ τούτου γὰρ μαθεῖν ἔξεστιν ὅτι τοὺς περὶ τῶν κοινῶν συλλόγους ἀραῖς ταῖς κατὰ τῶν Περσῶν προκαταλέξεσθαι δεῖν ᾠήθησαν. Διὸ καὶ ὁ χαριέστατος Ἀριστοφάνης τὰ ἐν τοῖς ἀνδρῶν συλλόγοις γιγνόμενα εἰς τὸν κατ' Εὐριπίδου γυναικεῖον σύλλογον παρῳδήσας μετήνεγκε. (Θεσμοφ. 335),

Εἴ τις ἐπιβουλεύει τι τῷ δήμῳ κακὸν
Τῷ τῶν γυναικῶν, ἢ ἐπικηρυκεύεται
Εὐριπίδῃ, Μήδοις τ', ἐπὶ βλάβῃ τινί.

Γελοῖον δ' ἂν ἐπιεικῶς δόξειε τὸ διαμεῖναι τὰς ἐν τοῖς συλλόγοις ἀρὰς ταύτας ἄχρι τῶν Ἰσοκράτους χρόνων, ὁπότε Ἀθηναῖοι συνεμάχουν τοῖς Πέρσαις κατὰ Λακεδαιμονίων, εἰ μὴ καὶ ἐφ' ἡμῶν πολλὰ τοιαῦτα παρὰ πολλοῖς πάλαι καταλελυμένων ἐθῶν ὑπομνήματα καὶ σημεῖα ἐσώζετο μάταια. — 5. Εὐμολπίδαι δὲ καὶ Κήρυκες.) Περὶ τούτων ἔπιθι τὸν Ἡσύχιον (λέξ. Εὐμολπίδαι) καὶ τὸν Ἁρποκρατίωνα (λέξ. Κήρυκες). — 6. Ἔν τε τοῖς τῆς μουσικῆς ἄθλοις.) Γραπτέον εἶναι ἡγήσατο ὁ Μῶρος, Ἔν τε τοῖς μουσικῆς ἄθλοις, ἄνευ τοῦ θηλυκοῦ ἄρθρου· ἔγωγε μέν τοι, εἰ διορθώσεως χρῄζειν ἡγούμην τὸ χωρίον, ἔγραφον ἄν, Ἔν τε τοῖς μουσικοῖς

ἵνα, πολλάκις ἀκούοντες τῶν ἐπῶν, ἐκμανθάνωμεν τὴν ἔχθραν τὴν πρὸς αὐτοὺς ὑπάρχουσαν, καὶ ζηλοῦντες τὰς ἀρετὰς τῶν στρατευσαμένων ἐπὶ Τροίαν, τῶν αὐτῶν ἔργων ἐκείνοις ἐπιθυμῶμεν.

§ 43. Ὥστε μοι δοκεῖ πολλὰ λίαν εἶναι τὰ παρακελευόμενα πολεμεῖν αὐτοῖς, μάλιστα δ᾽ ὁ παρὼν καιρὸς ὃν οὐκ ἀφετέον· οὐ σαφέστερον οὐδέν. Καὶ γὰρ αἰσχρὸν, παρόντι μὲν μὴ χρῆσθαι, παρελθόντος δὲ αὐτοῦ μεμνῆσθαι. Τί γὰρ ἂν καὶ βουληθείημεν ἡμῖν προσγενέσθαι, μέλλοντες βασιλεῖ πολεμεῖν, ἔξω τῶν νῦν ὑπαρχόντων; Οὐκ Αἴγυπτος μὲν αὐτοῦ καὶ Κύπρος ἀφέστηκε; Φοινίκη δὲ καὶ Συρία διὰ τὸν πόλεμον ἀνάστατοι γεγόνασι; Τύρος δὲ, ἐφ᾽ ᾗ μέγα ἐφρόνησεν, ὑπὸ τῶν ἐχθρῶν τῶν ἐκείνου κατείληπται; Τῶν δὲ ἐν Κιλικίᾳ πόλεων τὰς μὲν πλείστας οἱ μεθ᾽ ἡμῶν ὄντες ἔχουσι, τὰς δὲ οὐ χαλεπόν ἐστι κτήσασθαι, Λυκίας δ᾽ οὐδὲ εἷς πώποτε Περσῶν ἐκράτησεν. Ἑκατόμνος[2] δ᾽ ὁ Καρίας ἐπίσταθμος, τῇ μὲν ἀληθείᾳ πολὺν ἤδη χρόνον ἀφέστηκεν· ὁμολογήσει δὲ, ὅταν ἡμεῖς βουληθῶμεν. Ἀπὸ δὲ Κνίδου μέχρι Σινώπης, Ἕλληνες τὴν Ἀσίαν παροικοῦσιν, οὓς οὐ δεῖ πείθειν, ἀλλὰ μὴ κωλύειν πολεμεῖν. Καὶ, τοιούτων ὁρμητηρίων[3] ὑπαρξάντων, καὶ τοσούτου πολέμου τὴν Ἀσίαν περιστάντος, τί δεῖ τὰ συμβησόμενα λίαν ἀκριβῶς προαγορεύειν; Ὅπου γὰρ μικρῶν μερῶν ἥττους εἰσί, πῶς ἂν διατεθεῖεν, εἰ πᾶσιν ἡμῖν πολεμεῖν ἀναγκασθεῖεν; Ἔχει δὲ οὕτως. Ἐὰν μὲν ὁ βάρβαρος ἐρρωμενεστέρως κατάσχῃ τὰς πόλεις τὰς ἐπὶ θαλάττῃ, φρουρὰς μείζους ἐν αὐταῖς ἢ νῦν ἐγκαταστήσας, τάχ᾽ ἂν καὶ τῶν νήσων, αἵ εἰσι περὶ τὴν ἤπειρον, οἷον Ῥόδος καὶ Σάμος καὶ Χίος, ἐπὶ τὰς ἐκείνου τύχας ἀποκλίναιεν· ἢν δ᾽ ἡμεῖς αὐτὰς πρότεροι καταλάβωμεν, εἰκὸς, τοὺς τὴν Λυδίαν καὶ Φρυγίαν καὶ τὴν ἄλλην τὴν ὑπερκειμένην χώραν οἰκοῦντας, ἐπὶ τοῖς ἐντεῦθεν ὁρμωμένοις εἶναι.[4] Διὸ δεῖ σπεύδειν, καὶ μηδεμίαν ποιεῖσθαι διατριβὴν, ἵνα μὴ πάθωμεν, ὅπερ οἱ πατέρες ἡμῶν. Ἐκεῖνοι γὰρ ὑστερήσαντες τῶν βαρβάρων, καὶ προέμενοι[5] τινὰς τῶν συμμάχων, ἠναγκάσθησαν ὀλίγοι

---

ἄθλοις. Ἄθλους δὲ Μουσικοὺς, ἢ Μουσικῆς, λέγει, τοὺς περὶ τὰς κωμῳδίας, τραγῳδίας, καὶ τὰς ἄλλας ἐλευθερίους τέχνας, ἀγῶνάς τε καὶ ἐπιδείξεις· «Μουσικὴν (φησὶν ὁ Ἡσύχιος), πᾶσαν τέχνην, οἱ Ἀττικοί».

§ 43. 2. Ἑκατέμνος.) Ἐν τῷ ἐμῷ ἀντιγράφῳ, καὶ τισι τῶν ἀρχαίων ἐκδόσεων, Ἑκατόμνως, ψιλῶς διὰ τοῦ ω, παρὰ δὲ τῷ Ἀρποκρτίωνι (σελ. 141, 167, 194) Ἑκάτομνος, καὶ Ἑκατόμνος. — 3. Ὁρμητηρίων.) Πόλις, ἢ τόπος ὠχυρωμένος ἐστὶ τὸ Ὁρμητήριον, περιέχων ἅπαντα τὰ εἰς τὸν πόλεμον ἀναγκαῖα, ὅθεν ὁρμῶν κατὰ τῶν πολεμίων, καὶ εἰς ὃν ἀναχωρεῖν ἀσφαλῶς ἔξεστιν, ὅτε δέοι· καλεῖται δὲ τοῦτο Place d'armes τῇ τῶν Γάλλων φωνῇ. — 4. Ἐπὶ τοῖς ἐντεῦθεν ὁρμωμένοις εἶναι.) Ἐπὶ τῇ ἐξουσίᾳ τῶν ὁρμωμένων ἐκ τῶν περὶ τὴν ἤπειρον νήσων, οἷον Ῥόδου, Σάμου καὶ Χίου. — 5. Προέμενοι.) Καταλιπόντες, τουτέστι μὴ βοηθήσαντες ἐν καιρῷ· ὅπερ ἂν ἐγένετο εἰ πρότεροι διέβαινον εἰς

πρὸς πολλοὺς κινδυνεύειν, ἐξὸν αὐτοῖς, προτέροις διαβᾶσιν εἰς τὴν ἤπειρον, μετὰ πάσης τῆς τῶν Ἑλλήνων δυνάμεως, ἐν μέρει[6] τῶν ἐθνῶν ἕκαστον χειρώσασθαι. Δέδεικται γάρ, ὅταν τις πολεμῇ πρὸς ἀνθρώπους ἐκ πολλῶν συλλεγομένους τόπων, ὅτι δεῖ μὴ περιμένειν,[7] ἕως ἂν ἀθροισθῶσιν, ἀλλ' ἔτι διεσπαρμένοις αὐτοῖς ἐπιχειρεῖν. Ἐκεῖνοι μὲν οὖν προεξαμαρτόντες, ἅπαντα ταῦτα ἐπηνωρθώσαντο, καταστάντες εἰς τοὺς μεγίστους ἀγῶνας. Ἡμεῖς δ', ἂν σωφρονῶμεν, ἐξ ἀρχῆς φυλαξόμεθα, καὶ πειρασόμεθα φθῆναι περὶ τὴν Λυδίαν καὶ περὶ Ἰωνίαν στρατόπεδον τὴν ἐγκαταστήσαντες, εἰδότες, ὅτι καὶ βασιλεὺς οὐχ ἑκόντων ἄρχει τῶν ἠπειρωτῶν, ἀλλὰ μείζω δύναμιν περὶ αὑτὸν, ἑκάστων αὐτῶν, ποιησάμενος· ἧς ἡμεῖς ὁπόταν κρείττω διαβιβάσωμεν (ὃ βουληθέντες[8] ῥᾳδίως ἂν ποιήσαιμεν), ἀσφαλῶς ἅπασαν τὴν Ἀσίαν καρπωσόμεθα. Πολὺ δὲ κάλλιον, ἐκείνῳ περὶ τῆς βασιλείας πολεμεῖν, ἢ πρὸς ἡμᾶς αὐτοὺς περὶ τῆς ἡγεμονίας ἀμφισβητεῖν.

§ 44. Ἄξιον δὲ ἐπὶ τῆς νῦν ἡλικίας ποιήσασθαι τὴν στρατείαν,[2] ἵν' οἱ τῶν συμφορῶν κοινωνήσαντες, οὗτοι καὶ τῶν ἀγαθῶν ἀπολαύσωσιν, καὶ μὴ πάντα τὸν χρόνον δυστυχοῦντες διαγάγωσιν. Ἱκανὸς γὰρ ὁ παρεληλυθὼς χρόνος· ἐν ᾧ τί τῶν δεινῶν οὐ γέγονε; Πολλῶν γὰρ κακῶν τῇ φύσει τῇ τῶν ἀνθρώπων ὑπαρχόντων, αὐτοὶ πλείω[3] τῶν ἀναγκαίων προσεξευρήκαμεν, πολέμους καὶ στάσεις ἡμῖν αὐτοῖς ἐμποιήσαντες, ὥστε τοὺς μὲν ἐν ταῖς αὑτῶν ἀνόμως ἀπόλλυσθαι, τοὺς δὲ ἐπὶ ξένης μετὰ παίδων καὶ γυναικῶν ἀλᾶσθαι, πολλοὺς δέ, δι' ἔνδειαν τῶν καθ' ἡμέραν, ἐπικουρεῖν[4] ἀναγκαζομένους, ὑπὲρ τῶν ἐχθρῶν τοῖς φίλοις μαχομένους ἀποθνήσκειν. Ὑπὲρ ὧν οὐδεὶς πώποτ' ἠγανάκτησεν· ἀλλ' ἐπὶ ταῖς συμφοραῖς, ταῖς ὑπὸ τῶν ποιητῶν συγκειμέναις,[5] δακρύειν ἀξιοῦσιν, ἀληθινὰ δὲ πάθη πολλὰ καὶ δεινὰ γιγνόμενα διὰ τὸν πόλεμον ἐφορῶντες, τοσούτου δέουσιν ἐλεεῖν, ὥστε καὶ μᾶλλον χαίρουσιν ἐπὶ τοῖς ἀλλήλων κακοῖς, ἢ τοῖς ἰδίοις αὐτῶν ἀγαθοῖς. Ἴσως δ' ἂν

---

τὴν Ἀσίαν. — 6. Ἐν μέρει.) Ἐν μεθ' ἕτερον, καὶ μὴ πᾶσιν ἅμα. — 7. Ὅτι δεῖ μὴ περιμένειν κτλ.) Τοῦθ' ὃ καὶ οἱ ἄριστοι Γάλλοι πεποιήκασιν οὐ πολὺς χρόνος ἐξ οὗ. — 8. Ὃ βουληθέντες.) Ἐξ ἀντιγράφων ἐν οἷς καὶ τοὐμὸν, ἀντὶ τοῦ, Ἣν βουληθέντες· οὐ γὰρ πρὸς τὸ, Δύναμιν, ἀλλὰ πρὸς τὸ ὑπονοούμενον ἐκ τοῦ προηγουμένου ἔναρθρον ἀπαρέμφατον, Τὸ διαβιβάσαι, ἀναφέρεται.

§ 44. 2. Στρατείαν.) Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ, Στρατιάν. — 3. Πλείω.) Ἐκ διορθώσεως Οὐολφίου, ἀντὶ τοῦ πλεῖον. — 4. Ἐπικουρεῖν.) Ἀπολύτως ἐνταῦθα, καὶ ὡσπερανεὶ οὐδέτερον ἐκληπτέον, καθάπερ ἐξέλαβε καὶ Λάγγιος, τὸ, Ἐπικουρεῖν ἀντὶ τοῦ Ἐπίκουρον γίνεσθαι, μισθοῦ ἑτέροις στρατεύεσθαι, τοῖς μὴ προσήκουσι δηλονότι· ὅπερ, Etre à la solde d'une nation étrangère, φαίη ἂν ἀνὴρ Γαλάτης. Τί δὲ διαφέρει Συμμάχου ὁ Ἐπίκουρος διδασκέτω σε Ἀμμώνιος. — 5. Ταῖς συμφοραῖς, ταῖς ὑπὸ τῶν ποιητῶν συγκειμέναις.) Ταῖς τραγῳδίαις.

καὶ τῆς ἐμῆς εὐηθείας πολλοὶ καταγελάσειαν, εἰ δυστυχίαν ἀνδρῶν ἐν τοιούτοις καιροῖς ὀδυροίμην, ἐν οἷς Ἰταλία μὲν ἀνάστατος γέγονε, Σικελία δὲ καταδεδούλωται, τοσαῦται δὲ πόλεις τοῖς βαρβάροις ἐκδέδονται, τὰ δὲ λοιπὰ μέρη τῶν Ἑλλήνων ἐν τοῖς μεγίστοις κινδύνοις ἐστί.

§ 45. Θαυμάζω δὲ τῶν δυναστευόντων ἐν ταῖς πόλεσιν, εἰ προσήκειν αὐτοῖς ἡγοῦνται μέγα φρονεῖν, μηδὲν πώποτε ὑπὲρ τηλικούτων πραγμάτων μήτε εἰπεῖν, μήτε ἐνθυμηθῆναι δυνηθέντες. Ἐχρῆν γὰρ αὐτούς, εἴπερ ἦσαν ἄξιοι τῆς παρούσης δόξης, ἁπάντων ἀφεμένους τῶν ἄλλων, περὶ τοῦ πολέμου τοῦ πρὸς τοὺς βαρβάρους εἰσηγεῖσθαι καὶ συμβουλεύειν. Τυχὸν μὲν γὰρ ἄν τι διεπέραναν· εἰ δὲ καὶ προαπεῖπον, ἀλλ' οὖν τούς γε λόγους,[2] ὥσπερ χρησμούς, εἰς τὸν ἐπιόντα χρόνον κατέλιπον. Νῦν δέ, οἱ μὲν ἐν ταῖς μεγίσταις δόξαις ὄντες, ἐπὶ μικροῖς σπουδάζουσιν, ἡμῖν δέ, τοῖς τῶν πολιτικῶν ἐξεστηκόσι,[3] περὶ τηλικούτων πραγμάτων συμβουλεύειν καταλελοίπασιν. Οὐ μὴν ἀλλ', ὅσῳ μικροψυχότεροι τυγχάνουσιν ὄντες οἱ προεστῶτες ἡμῶν, τοσοῦτον τοὺς ἄλλους ἐρρωμενεστέρως δεῖ σκοπεῖν, ὅπως ἀπαλλαγησόμεθα[4] τῆς παρούσης ἔχθρας. Νῦν μὲν γὰρ μάτην ποιούμεθα τὰς περὶ τῆς εἰρήνης συνθήκας· οὐ γὰρ διαλυόμεθα τοὺς πολέμους, ἀλλ' ἀναβαλλόμεθα,[5] καὶ περιμένομεν τοὺς καιρούς, ἐν οἷς ἀνήκεστόν τι κακὸν ἀλλήλους ἐργάσασθαι δυνησόμεθα.

§ 46. Δεῖ δὲ ταύτας τὰς ἐπιβουλὰς ἐκ ποδῶν[2] ποιησαμένους, ἐκείνοις τοῖς ἔργοις ἐπιχειρεῖν, ἐξ ὧν τάς τε πόλεις ἀσφαλέστερον οἰκήσομεν, καὶ πιστότερον διακεισόμεθα πρὸς ἡμᾶς αὐτούς. Ἔστι δὲ ἁπλοῦς καὶ ῥᾴδιος ὁ λόγος ὁ περὶ τούτων. Οὔτε γὰρ εἰρήνην οἷόν τέ ἐστι βεβαίαν ἀγαγεῖν, ἐὰν μὴ κοινῇ τοῖς βαρβάροις πολεμήσωμεν· οὔθ' ὁμονοῆσαι τοὺς Ἕλληνας, πρὶν ἂν καὶ τὰς φιλίας[3] ἐκ τῶν αὐτῶν καὶ τοὺς κινδύνους πρὸς τοὺς αὐτοὺς ποιησώμεθα. Τούτων δὲ γεγονότων, καὶ τῆς ἀπορίας τῆς περὶ τὸν βίον ἡμῶν ἀφαιρεθείσης, ἣ καὶ τὰς ἑταιρίας διαλύει, καὶ τὰς συγγενείας εἰς ἔχθραν προάγει, καὶ πάντας ἀνθρώπους εἰς πολέμους καὶ στά-

§ 45. 2. Ἀλλ' οὖν τούς γε λόγους κτλ.) Ἐμιμήσατο Λυκοῦργος (Κατὰ Λεωκράτ. § 21) τὸ χωρίον, εἰπών, «Καί μοι δοκοῦσι τῶν ἀρχαίων τινὲς ποιητῶν, ὥσπερ χρησμοὺς γράψαντες τοῖς ἐπιγινομένοις τάδε, τὰ ἰαμβεῖα καταλιπεῖν.» — 3. Τοῖς τῶν πολιτικῶν ἐξεστηκόσι.) Τοῖς ἀποσχομένοις τοῦ πολιτεύεσθαι καὶ τὸν ἰδιωτικὸν βίον προελομένοις. — 4. Ἀπαλλαγησόμεθα.) Οὕτως αἱ πλεῖσται τῶν ἐκδόσεων ἀντὶ τοῦ, Ἀπαλλαγησώμεθα. — 5. Οὐ γὰρ διαλυόμεθα τοὺς πολέμους, ἀλλ' ἀναβαλλόμεθα.) Καὶ τούτου τοῦ χωρίου ὡς καλοῦ μέμνηται Ἀριστοτέλης (Ῥητορικ. Γ, ι).

§ 46. 2. Ἐκ ποδῶν.) Οὕτως ὀρθῶς τὸ ἐμὸν ἀντίγραφον, καὶ οὐκ ἐπιῤῥηματικῶς Ἐκποδών. — 3. Πρὶν ἂν καὶ τὰς φιλίας κτλ.) Πρὶν ἂν τοὺς αὐτοὺς ἀλλήλοις ἡγησώμεθα φίλους καὶ πολεμίους. Σημείωσαι δὲ τό, Κινδύνους, προδήλως ἀντὶ τοῦ, πολέμους. — 4. Ὁ-

σεις καθίστησιν, οὐκ ἔστιν ὅπως οὐχ ὁμονοήσομεν, καὶ τὰς εὐνοίας ἀληθινὰς πρὸς ἡμᾶς αὐτοὺς ἕξομεν. Ὧν ἕνεκα περὶ παντὸς ποιητέον, ὅπως ὡς τάχιστα τὸν ἐνθένδε πόλεμον εἰς τὴν ἤπειρον διοριοῦμεν,[4] ὡς μόνον γ' ἂν[5] τοῦτο ἀγαθὸν ἀπολαύσαιμεν ἐκ τῶν κινδύνων τῶν πρὸς ἡμᾶς αὐτούς, εἰ ταῖς ἐμπειρίαις, ταῖς ἐκ τούτων γεγενημέναις, πρὸς τὸν βάρβαρον καταχρήσασθαι δόξειεν ἡμῖν.

§ 47. Ἀλλὰ γὰρ ἴσως διὰ τὰς συνθήκας ἄξιον ἐπισχεῖν, ἀλλ' οὐκ ἐπειχθῆναι καὶ θᾶττον ποιήσασθαι τὴν στρατείαν·[2] δι' ἃς αἱ μὲν ἠλευθερωμέναι τῶν πόλεων βασιλεῖ χάριν ἴσασιν, ὡς δι' ἐκεῖνον τυχοῦσαι τῆς αὐτονομίας ταύτης, αἱ δὲ ἐκδεδομέναι τοῖς βαρβάροις μάλιστα μὲν Λακεδαιμονίοις ἐγκαλοῦσιν, ἔπειτα δὲ καὶ τοῖς ἄλλοις τοῖς μετέχουσι τῆς εἰρήνης, ὡς ὑπὲρ τούτων δουλεύειν ἠναγκασμέναι. Καίτοι πῶς οὐ χρὴ διαλύειν ταύτας τὰς ὁμολογίας,[3] ἐξ ὧν τοιαύτη δόξα γέγονεν ὥστε ὁ μὲν[4] βάρβαρος κήδεται τῆς Ἑλλάδος, καὶ φύλαξ τῆς εἰρήνης ἐστίν, ἡμῶν δέ τινές εἰσιν οἱ λυμαινόμενοι καὶ κακῶς ποιοῦντες αὐτήν; Ὃ δὲ πάντων καταγελαστότατον, ὅτι τῶν γεγραμμένων ἐν ταῖς ὁμολογίαις τὰ χείριστα τυγχάνομεν διαφυλάττοντες· ἃ μὲν γὰρ αὐτονόμους ἀφίησι τάς τε νήσους καὶ τὰς πόλεις, τὰς ἐπὶ τῆς Εὐρώπης, πάλαι λέλυται, καὶ μάτην ἐν ταῖς στήλαις ἐστίν· ἃ δὲ αἰσχύνην φέρει ἡμῖν, καὶ πολλοὺς τῶν συμμάχων ἐκδέδωκε, ταῦτα δὲ καὶ κατὰ

πως ὡς τάχιστα τὸν ἐνθένδε πόλεμον εἰς τὴν ἤπειρον διοριοῦμεν.) Ὑπολάβοι τις ἂν τὸν Ἰσοκράτην γεγραφέναι, Ὅπως ὡς τάχιστα τὸν πόλεμον ἐνθένδε εἰς τὴν κτλ. ἀλλ' ὅμως τό, Ἐνθένδε, ἐπὶ τοῦ παρόντος ἴσον δύναται τῷ, Ἐνταῦθα, οἷον καὶ ἐν τοῖσδε τοῦ Εὐριπίδ. (Βακχ. 48),

. . . . . . . . . . . Εἰς δ' ἄλλην χθόνα,
Τἀνθένδε θέμενος εὖ μεταστήσω πόδα.

Τὸ δὲ Διοριοῦμεν, ἐστὶν Ἀφοριοῦμεν, καὶ μακρὰν ἀφ' ἡμῶν ποιήσομεν. — 5. Ὡς μόνον γ' ἂν κτλ.) Καλῶς ποιοῦντες ὅ,τε Στέφανος καὶ ὁ Αὐγῆρος παρειλήφασι τὴν Οὐολφίου διόρθωσιν, ἀντὶ τοῦ, Ὡς μόνον δ' ἄν. Ὁ νοῦς, Ἵνα τοῦτο γοῦν μόνον ἀπολαύσωμεν ἀγαθὸν ἐκ τῶν πρὸς ἀλλήλους πολέμων, ἐὰν ἡμῖν δόξῃ ταῖς ἐξ αὐτῶν προσγενηθείσαις ἡμῖν ἐμπειρίαις χρήσασθαι πρὸς τὸν Περσῶν βασιλέα. Τὸ δὲ Ἐκ τῶν κινδύνων, ἐντελῶς ἐνταῦθα εἴρηται, ἐν πλείονι χρήσει ὄντος τοῦ κατ' ἔλλειψιν Ἀπολαύειν τινός. Ἐνδέχεται μέντοι, καὶ τῶν ἀντιγραψάντων ἀβλεψίᾳ παρεισδῦναι τὴν πρόθεσιν, ὡς ὑπέλαβεν ὁ Οὐόλφιος.

§ 47. 2. Στρατείαν.) Ἐξ ἑτέρ. διορ. ἀντὶ τοῦ, Στρατιάν. — 3. Ὁμολογίας.) Τὰς συνθήκας λέγει, καίπερ διαφερουσῶν τῶν λέξεων· Ὁμολογίαι μὲν γάρ εἰσιν, αἱ διὰ λόγων συμβάσεις· Συνθῆκαι δέ, αἱ ἔγγραφοι ὁμολογίαι, ἃς οἱ Γαλάται Traités de paix καλοῦσι. Καθ' ἡμᾶς δὲ νῦν Ὁμολογία καλεῖται τὸ ὑπὸ τοῦ δανεισαμένου τῷ δανειστῇ διδόμενον γραμματεῖον ἐν ᾧ διώρισται τὸ δανειζόμενον, ὁ τόκος ἐφ' ᾧ ἐδανείσθη, καὶ ἡ τῆς ἀποδόσεως προθεσμία. Καὶ ἔστι τούτου παρασχέσθαι παράδειγμα ἐκ τοῦ Δημοσθένους ἐν ἀρχῇ τοῦ κατὰ Διονυσοδώρου λόγου, «Λαβὼν γὰρ (ὁ »δανειζόμενος) ἀργύριον φανερόν, καὶ »ὁμολογουμένην ἐν γραμματιδίῳ δυοῖν »χαλκοῖν ἐωνημένῳ, καὶ βιβλιδίῳ μι»κρῷ πάνυ τὴν ΟΜΟΛΟΓΙΑΝ καταλέ»λοιπε τοῦ ποιήσειν τὰ δίκαια.» — 4. Ὥστε ὁ μὲν κτλ.) Τὸ Ὥστε ἀντὶ τοῦ, Ὡς πλεονάζοντος τοῦ συνδέσμου. Ἐνίοτε δὲ καὶ ὅλον τό, Ὥστε, πλεονάζει οἷον ἐν τῷ Ἀρχιδάμῳ (σελ. 114), «Εἰ »μὲν γὰρ ἦν ἀποδεδειγμένον, ὥστε »τοὺς μὲν πρεσβυτέρους περὶ ἁπάντων »εἰδέναι τὸ βέλτιστον». — 5. Ἃ δὲ

χώραν μένει,[5] καὶ πάντ' αὐτοὶ κύρια ποιοῦμεν·[6] ἃ χρὴ ἀναιρεῖν, καὶ μηδεμίαν ἐᾶν ἡμέραν, νομίζοντας προστάγματα καὶ μὴ συνθήκας εἶναι. Τίς γὰρ οὐκ οἶδεν, ὅτι συνθῆκαι μέν εἰσιν, αἵτινες ἂν ἴσως καὶ κοινῶς ἐν ἀμφοτέροις ἔχωσι· προστάγματα δὲ, τὰ τοὺς ἑτέρους ἐλαττοῦντα παρὰ τὸ δίκαιον; Διὸ καὶ τῶν πρεσβευσάντων ταύτην τὴν εἰρήνην, δικαίως ἂν κατηγοροῖμεν, ὅτι, πεμφθέντες ὑπὸ τῶν Ἑλλήνων, ὑπὲρ τῶν βαρβάρων ἐποιήσαντο τὰς συνθήκας. Ἐχρῆν γὰρ αὐτοὺς, εἴτ' ἐδόκει τὴν ἑαυτῶν ἔχειν ἑκάστους, εἴτε καὶ τῶν δοριαλώτων ἐπάρχειν, εἴτε καὶ τούτων κρατεῖν, ὧν ὑπὸ τὴν εἰρήνην ἐτυγχάνομεν ἔχοντες, ἕν τι τούτων ὁρισαμένους, καὶ κοινὸν τὸ δίκαιον ποιησαμένους, οὕτω συγγράφεσθαι περὶ αὐτῶν. Νῦν δὲ τῇ μὲν ἡμετέρᾳ πόλει, καὶ τῇ Λακεδαιμονίων οὐδεμίαν τιμὴν ἀπένειμαν, τὸν δὲ βάρβαρον ἁπάσης τῆς Ἀσίας δεσπότην κατέστησαν, ὡς ὑπὲρ ἐκείνου πολεμησάντων ἡμῶν, ἢ τῆς μὲν Περσῶν ἀρχῆς πάλαι καθεστηκυίας, ἡμῶν δὲ ἄρτι τὰς πόλεις κατοικούντων, ἀλλ' οὐκ ἐκείνων μὲν νεωστὶ [ταύτην] τὴν τιμὴν[7] ἐχόντων, ἡμῶν δὲ τὸν ἅπαντα χρόνον ἐν τοῖς Ἕλλησι δυναστευόντων.

§ 48. Οἶμαι δ' ἐκείνως εἰπὼν μᾶλλον δηλώσειν τήν τε περὶ ἡμᾶς ἀτιμίαν γεγενημένην, καὶ τὴν τοῦ βασιλέως πλεονεξίαν. Τῆς γὰρ γῆς ἁπάσης τῆς ὑπὸ τῷ κόσμῳ κειμένης[2] δίχα τετμημένης,[3] καὶ τῆς μὲν Ἀσίας, τῆς δὲ Εὐρώπης καλουμένης· τὴν ἡμίσειαν ἐκ τῶν συνθηκῶν εἴληφεν, ὥσπερ πρὸς τὸν Δία τὴν

---

»αἰσχύνην φέρει . . . ταῦτα δὲ καὶ κατὰ χώραν μένει.) Προσέθηκα τὸν, Καὶ, ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ἀναφερόμενον πρὸς τὸν ἐπαγόμενον ἕτερον, Καὶ, ὡσὰν εἰ ἔλεγεν, Οὐ μόνον ἐν ταῖς στήλαις μένει (τοῦτο γάρ ἐστι τὸ κατὰ χώραν), ἀλλὰ καὶ ἐπικυροῦμεν ἡμεῖς πάντα τῷ διαφυλάττειν αὐτά. Ὅρα δὲ μὴ περιττὸν νομίσας τὸν δεύτερον, Δὲ, τρέψεις εἰς τὸν Γε, καθὰ Λάγγιος ἐποίησε, παραινέσαντι πεισθεὶς τῷ Μόρῳ. Ἔθος γάρ ἐστι τοῖς ῥήτορσιν ἐπαναλαμβάνειν αὐτὸν, ὅταν πολλὰ ᾖ τὰ μεταξὺ, ἄλλως τε καὶ ὅταν ἀνταπόδοσις ἀντωνυμίας πρὸς ἀντωνυμίαν ἢ ἄρθρου ἢ ἐπιῤῥήματος πρὸς ἐπίῤῥημα γίνηται. Αὐτίκα ἐν ἀρχῇ τοῦ Βουσίριδος (σελ. 221) εὑρήσεις, »Ἃ Δ' ἐν τῷ παρόντι δυναίμην ἂν εὐεργετῆσαί σε ΤΑΥΤΑ Δ' ᾠήθην κτλ.» Ταὐτὸ δὲ τοῦτο πάσχει καὶ ὁ, Μὲν, σύνδεσμος· οἷον (σελ. 147), «Παρ' ΟΙΣ »ΜΕΝ γὰρ μήτε φυλακὴ, μήτε ζη»μία . . . παρὰ ΤΟΥΤΟΙΣ ΜΕΝ »διαφθείρεσθαι καὶ τὰς ἐπιεικεῖς τῶν »φύσεων· ΟΠΟΥ ΔΕ μήτε λαθεῖν τοῖς »ἀδικοῦσι ῥᾴδιόν ἐστι . . . ΕΝ»ΤΑΥΘΑ Δ' ἐξιτήλους γίγνεσθαι τὰς »κακοηθείας.» — 6. Πάντ' αὐτοὶ κύρια ποιοῦμεν.) Ἔτρεψα τὸ, Αὐτὰ εἰς τὸ, Αὐτοὶ, οὕτως εἰκάσαντος τοῦ Μόρου. — 7. Ταύτην τὴν τιμήν.) Προσέθηκα τὴν ἀντωνυμίαν εἰς ἀπαρτισμὸν τοῦ λόγου, ἐξ ἑτέρου παραπλησίου χωρίου τοῦ ἐν ἀρχῇ τοῦ παρόντος λόγου (§ 3.)

§ 48. 2. Τῆς ὑπὸ τῷ κόσμῳ κειμένης.) Κόσμον ἐνταῦθα τὸν Οὐρανὸν λέγει, ἐκ τῶν κατ' αὐτὸν φυσιολογησάντων λαβὼν τοὔνομα· ἢ δῆλον ἐκ τῶν Ξενοφῶντος ἀπομνημονευμάτων (Α, α, 11). Τὸ δὲ, Κειμένης, φέρεται καὶ ἐν τῷ ἐμῷ ἀντιγράφῳ· λείπει δὲ ἔν τε τῇ Οὐαλφίου καὶ ἄλλαις τισὶν ἐκδόσεσι. — 3. Δίχα τετμημένης.) Τὴν γὰρ Λιβύην οἱ ἀρχαῖοι, οὐ τρίτον μέρος τῆς οἰκουμένης ἐνόμιζον, ἀλλὰ τῇ Εὐρώπῃ προσένεμον οἱ πλεῖστοι· εἰσὶ δ' οἳ καὶ τῆς Ἀσίας μέρος ὑπελάμβανον

χώραν νεμόμενος,[4] ἀλλ' οὐ πρὸς τοὺς ἀνθρώπους τὰς συνθήκας ποιούμενος. Καὶ ταύτας συνηνάγκασεν ἡμᾶς, ἐν στήλαις λιθίναις ἀναγράψαντας, ἐν τοῖς κοινοῖς[5] τῶν ἱερῶν ἀναθεῖναι, πολὺ κάλλιον τρόπαιον τῶν ἐν ταῖς μάχαις γιγνομένων. Τὰ μὲν γὰρ ὑπὲρ μικρῶν ἔργων καὶ μιᾶς τύχης ἐστίν· αὗται δὲ ὑπὲρ παντὸς τοῦ πολέμου, καὶ καθ' ὅλης τῆς Ἑλλάδος ἑστήκασιν.[6] Ὑπὲρ ὧν ἄξιον ὀργίζεσθαι, καὶ σκοπεῖν ὅπως τῶν γεγενημένων[7] δίκην ληψόμεθα, καὶ τὰ μέλλοντα διορθωσόμεθα.[8] Καὶ γὰρ αἰσχρὸν, ἰδίᾳ μὲν τοῖς βαρβάροις οἰκέταις ἀξιοῦν χρῆσθαι, δημοσίᾳ δὲ τοσούτους τῶν συμμάχων περιορᾶν αὐτοῖς δουλεύοντας· καὶ τοὺς μὲν περὶ τὰ Τρωϊκὰ γενομένους,[9] μιᾶς γυναικὸς ἁρπασθείσης, οὕτως ἅπαντας συνοργισθῆναι τοῖς ἀδικηθεῖσιν, ὥστε μὴ πρότερον παύσασθαι πολεμοῦντας, πρὶν τὴν πόλιν ἀνάστατον ἐποίησαν τοῦ τολμήσαντος ἐξαμαρτεῖν· ἡμᾶς δὲ, ὅλης τῆς Ἑλλάδος ὑβριζομένης, μηδεμίαν ποιήσασθαι κοινὴν τιμωρίαν, ἐξὸν ἡμῖν εὐχῆς ἄξια διαπράξασθαι. Μόνος γὰρ οὗτος ὁ πόλεμος κρείττων εἰρήνης ἐστὶ, καὶ θεωρίᾳ μᾶλλον ἢ στρατείᾳ[10] προσεοικὼς, ἀμφοτέροις δὲ συμφέρων, καὶ τοῖς τὴν ἡσυχίαν ἄγειν βουλομένοις, καὶ τοῖς πολεμεῖν ἐπιθυμοῦσιν. Ἐξέσται γὰρ ἂν[11] τοῖς μὲν ἀδεῶς τὰ σφέτερα αὐτῶν καρποῦσθαι, τοῖς δὲ ἐκ τῶν ἀλλοτρίων μεγάλους πλούτους καταστήσασθαι.

§ 49. Πολλαχῇ[2] δὲ ἄν τις λογιζόμενος εὕροι ταύτας τὰς

εἶναι. — 4. Ὥσπερ πρὸς τὸν Δία τὴν χώραν νεμόμενος.) Αἰνίττεται τὸν περὶ Διὸς μῦθον· Ζεὺς γὰρ, καὶ Ποσειδῶν, καὶ Πλούτων, μετὰ τὸ κρατῆσαι τῶν Τιτάνων, διακληροῦνται περὶ τῆς ἀρχῆς· καὶ λαγχάνει Ζεὺς μὲν τὴν ἐν οὐρανῷ δυναστείαν, Ποσειδῶν δὲ, τὴν ἐν θαλάσσῃ, Πλούτων δὲ, τὴν ἐν ᾅδου, καθά φησιν Ἀπολλόδωρος (Α, ά, § 1,). Τὴν δὲ γῆν σὺν τῷ Ὀλύμπῳ κοινὴν τοῖς τρισὶ μεῖναι παραδέδωκεν Ὅμηρος (Ἰλιάδ. Ο, 193), Εἰκὸς δὲ τὸν Ἰσοκράτην ὅτε ταῦτα ἔλεγε, κἀκείνων μνησθῆναι ὧν ἐπὶ τοὺς Ἕλληνας μέλλων στρατεύεσθαι ἔλεγεν ὁ Ξέρξης, «Γῆν τε τὴν »Περσίδα ἀποδείξομεν τῷ Διὸς Αἰθέρι »ὁμορέουσαν» καθὰ ἱστόρηκεν Ἡρόδοτος (Ζ, η, 3). — 5. Κοινοῖς.) Τοῖς ἅπασι τοῖς Ἕλλησι κοινοῖς, οἷον ἦν τὸ Ὀλυμπιᾶσι (Θουκυδίδ. Ε, μζ'). — 6. Πολὺ κάλλιον τρόπαιον . . . ἑστήκασιν.) Ἐσημειώσατο Ἀριστοτέλης (Ῥητορικ. Γ, ί) καὶ τοῦτο τὸ χωρίον, ὡς ἀστειότατα κατεσκευασμένον. — 7. Τῶν γεγενημένων.) Ὁ Οὐόλφιος οὐ δεόντως διώρθωκε γράφων, Τῶν τε γεγενημένων· λείπει γὰρ ὁ σύνδεσμος ἐκ τῶν ἀντιγράφων ἄλλων τε καὶ τοῦ ἐμοῦ. — 8. Ληψόμεθα καὶ . . . διορθωσόμεθα.) Οὕτω καθ' ὁριστικὴν τὰ ἀντίγραφα, ἐν οἷς καὶ τοὐμόν· ὁ δὲ Στέφανος μετὰ τοῦ Οὐολφίου, Ληψώμεθα, καὶ . . . διορθωσώμεθα. — 9. Γενομένους.) Οὕτω τὸ ἐμὸν ἀντίγραφον, ὡς διώρθου πάλαι ὁ Οὐόλφιος, ἀντὶ τοῦ, Γιγνομένους. — 10. Θεωρίᾳ μᾶλλον ἢ στρατείᾳ.) Ἔτρεψα τὸ, Στρατιᾷ εἰς τὸ Στρατείᾳ· τὸ δὲ Θεωρίᾳ ἐνταῦθα σημαίνει Πομπῇ, οἵας εἰώθεσαν πέμπειν εἰς τὰς πανηγύρεις. — 11. Ἐξέσται γὰρ ἄν.) Τὸν δυνητικὸν ὁ Οὐόλφιος εἰς τὸ, Αὐτῶν, τρέπειν παραινεῖ· ἐγὼ δὲ καὶ διαγράφειν ὅλως οὐκ ἂν ὀκνήσαιμι, εἴ μοι καὶ αὖθις ἐκδοῦναι Ἰσοκράτην ἐγγένοιτο.

§ 49. 2. Πολλαχῇ.) Οὕτω γράφειν προήχθην ἀντὶ τοῦ Πολλαχοῦ, διὰ τὸ ἐπαγόμενον, Λογιζόμενος. Εἴη δ' ἂν τοῦτο, Κατὰ πολλοὺς τρόπους διανοούμενος καὶ σκοπῶν. Τὸ μὲν γὰρ πολλαχοῦ τοπικόν ἐστι μόνον· τὸ δὲ Πολλαχῇ, καὶ τοπικῶς, καὶ τροπικῶς ἔχει νοεῖ-

πράξεις λυσιτελούσας μάλιστα ἡμῖν. Φέρε γάρ, πρὸς τίνας χρὴ πολεμεῖν τοὺς μηδεμιᾶς πλεονεξίας ἐπιθυμοῦντας, ἀλλ' αὐτὸ τὸ δίκαιον σκοποῦντας; Οὐ πρὸς τοὺς καὶ πρότερον τὴν Ἑλλάδα κακῶς ποιήσαντας, καὶ νῦν ἐπιβουλεύοντας, καὶ πάντα τὸν χρόνον οὕτω διακειμένους πρὸς ἡμᾶς; Τίσι δὲ φθονεῖν εἰκός ἐστι τοὺς μὴ παντάπασιν ἀνάνδρως διακειμένους, ἀλλὰ μετρίως τούτῳ τῷ πράγματι χρωμένους;[3] Οὐ τοῖς μείζους μὲν τὰς δυναστείας ἢ κατὰ ἀνθρώπους περιβεβλημένοις,[4] ἐλάττονος δὲ ἀξίοις τῶν παρ' ἡμῖν δυστυχούντων; Ἐπὶ τίνας δὲ μᾶλλον προσήκει στρατεύειν τοὺς ἅμα μὲν εὐσεβεῖν βουλομένους, ἅμα δὲ τοῦ συμφέροντος προνοουμένους; Οὐκ ἐπὶ τοὺς καὶ φύσει πολεμίους, καὶ πατρικοὺς ἐχθρούς, καὶ πλεῖστα μὲν ἀγαθὰ κεκτημένους, ἥκιστα δὲ ὑπὲρ αὐτῶν ἀμύνασθαι δυναμένους; Οὐκοῦν ἐκεῖνοι πᾶσι τούτοις ἔνοχοι τυγχάνουσιν ὄντες.

§ 50. Καὶ μὴν οὐδὲ τὰς πόλεις λυπήσομεν, στρατιώτας ἐξ αὐτῶν καταλέγοντες, ὃ νῦν ἐν τῷ πολέμῳ τῷ πρὸς ἀλλήλους ὀχληρότατον αὐταῖς ἐστι· πολὺ γὰρ οἶμαι σπανιωτέρους ἔσεσθαι τοὺς μένειν ἐθέλοντας, τῶν συνακολουθεῖν ἐπιθυμησόντων.[2] Τίς γὰρ

---

σθαι. Ἰστέον δὲ ὅτι καὶ Οὐόλφιος ἐν ταῖς σημειώσεσι, Πολλαχῇ ἔγραψεν, οὐδέν γε μὴν περὶ τούτου διορισάμενος, ὡς ἄδηλον εἶναι, εἴτε προελόμενος οὕτως ἔγραψεν, εἴτε ἁμαρτηθεῖσαν τοῖς τυπογράφοις τὴν γραφὴν παρέβλεψε. — 3. Ἀλλὰ μετρίως τούτῳ τῷ πράγματι χρωμένους.) Ποίῳ πράγματι; ἄλλοι γὰρ ἄλλως ἐξηγήσαντο τὸ χωρίον, οἱ μέν, Τοὺς μετρίως τῷ πολέμῳ χρωμένους, οἱ δέ, Τῇ ἀνανδρίᾳ, οἱ πλεῖστοι δέ, τῷ φθόνῳ, ἐκδεξάμενοι. Ἔστι δ' οὐδὲν τούτων, ἀλλὰ τοὺς μετρίως τῇ ἀνδρίᾳ χρωμένους, τουτέστι τοὺς μήτε παντάπασιν ἀνάνδρως, μήτ' αὖ καθ' ὑπερβολὴν θρασεῖς. Ὑποννοεῖται γὰρ τό, Ἀνδρία, ἐκ τοῦ προηγησαμένου Ἀνάνδρως, ὅπερ οὐδέν ἐστιν ἕτερον, ἢ Ἄνευ ἀνδρίας, εἴγε πᾶν ἐπίῤῥημα γνήσιον εἰς πρόθεσιν καὶ τὸ συστοιχοῦν ὄνομα πέφυκεν ἀναλύεσθαι. Ἐκδηλώτερον δὲ γενήσεται τὸ λεγόμενον ἑτέρου χωρίου (σελ. 115) παραθέσει, «Τοῖς μηδὲ ἀνάνδρως διακειμένοις, ἀλλὰ καὶ κατὰ μικρὸν ἀρετῆς ἀντιποιουμένοις»· Ἀρετὴν γὰρ ἐκεῖ καλεῖ τὴν ἀνδρίαν, ἀντὶ δὲ τοῦ Μετρίως, τῷ Κατὰ μικρὸν ἐχρήσατο. — 4. Περιβεβλημένοις.) Πρὸ ὀμμάτων ποιεῖ τὸ λεγόμενον ἡ μεταφορά· οὐχ ἁπλῶς κεκτημένοις, ἀλλ' ὡς ἐσθῆτα ἠμφιεσμένοις τὴν δυναστείαν καὶ πανταχόθεν ὑπ' αὐτῆς σκεπομένοις. Εἰσηγήσατο δὲ πρῶτος Ὅμηρος τὸ τοιοῦτον εἶδος τοῦ λόγου, Ἐπιειμένον ἀναιδείην (Ἰλιάδ. Α, 149) ἐκφράσας τὸν ἀναιδέστατον, τουτέστι τὸν οὐ μόνον τῷ προσώπῳ, ἀλλ' ὡς εἰπεῖν ὅλῳ τῷ σώματι ἐπιδεικνύμενον τὴν ἀναίδειαν, καὶ οἱονεὶ περιβόλαιον αὐτὴν φέροντα, καὶ Ἀπιειμένον ἀλκὴν (Ἰλιάδ. Η, 164), τὸν ἀλκιμώτατον. Σεσημειώσθω δὲ τὰ τοιαῦτα διὰ τοὺς ἀπειροκάλως ἐλληνίζοντας· εἴπερ γὰρ χρὴ (ὥσπερ οὖν καὶ χρή, τὰ τῶν ἀρχαίων μιμεῖσθαι) μετενεκτέον τὰ παρ' ἐκείνοις καλὰ εἰς τὴν ἐπιχωριάζουσαν νῦν φωνήν, καὶ καλλύνειν αὐτὴν καὶ ῥυθμίζειν, ἐπὶ τὸ βέλτιον σπουδαστέον. Τί γὰρ κωλύει λέγοντας, ἢ γράφοντας, καὶ ἡμᾶς φάναι, «Ἐνδυμένος ἀναισχυντίαν, δύναμιν, ἀνδρίαν κτλ.», ἄλλως τε καὶ ὅτε ἀνάγκη τὸν λόγον διᾶραι ἐπὶ τὸ σεμνότερόν τε καὶ ἐντονώτερον; Τοῦτο γάρ ἐστι τὸ προσηκόντως μιμεῖσθαι· τὸ δὲ μηδετὸς ἐπείγοντος, ἡμαρτημένως ἑλληνίζειν, ἀναισθητοῦντα τὸν μιμούμενον κατελέγχει.

§ 50. 2. Ἐπιθυμησόντων.) Ἐξ ἀντιγράφων (οἷς συνᾴδει καὶ τοὐμὸν) οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἐπιθυμησάντων. —

οὕτως, ἢ νέος ἢ παλαιός,[3] ῥᾴθυμός ἐστι, ὅστις οὐ μεταςχεῖν βουλήσεται ταύτης τῆς στρατιᾶς, τῆς ὑπ' Ἀθηναίων μὲν καὶ Λακεδαιμονίων στρατηγουμένης, ὑπὲρ δὲ τῆς τῶν συμμάχων ἐλευθερίας ἀθροιζομένης, ὑπὸ δὲ τῆς Ἑλλάδος ἁπάσης ἐκπεμπομένης, ἐπὶ δὲ τὴν τῶν βαρβάρων τιμωρίαν πορευομένης; Φήμην δὲ καὶ μνήμην καὶ δόξαν[4] πόσην τινὰ χρὴ νομίζειν ἢ ζῶντας ἕξειν, ἢ

---

3. Ἢ νέος, ἢ παλαιός.) Σημείωσαι, τὸ Παλαιὸς, ἐφ' ἡλικίας ἀντὶ τοῦ, Πρεσβύτερος, ἢ Γέρων, κατὰ τὸ Ὁμηρικὸν (Ἰλιάδ. Ξ. 108),

Ἠ νέος, ἠὲ παλαιός. . . . .

Ἡ δὲ πλείων χρῆσις ἐπὶ τοῦ, Ἀρχαίου, πράγματος ἢ προσώπου, ἢ ἐπὶ τοῦ τριβέντος τῷ χρόνῳ πράγματος, καθὰ καὶ ἐν τῇ συνηθείᾳ φαμὲν, Οἱ παλαιοὶ, τοὺς μακρῷ πρὸ ἡμῶν γεγονότας, καὶ, Τὸν παλαιὸν καιρὸν, καὶ, Παλαιὸν φόρεμα (ὃ καὶ Καταλυμένον), τὸ τετριμμένον δηλονότι καὶ καταλελυμένον ὑπὸ τοῦ χρόνου. Καὶ ὥσπερ ὁ Ἀρχαῖος ἐδήλου μεταφορικῶς καὶ τὸν εὐήθη, ἢ ἀβέλτερον, παραπλησίως καὶ ὁ Παλαιὸς τὸν συνωνύμως λεγόμενον ἄφρονα ἐσήμαινεν ἔστιν ὅτε, ἀπὸ τοῦ παρεπομένου δηλονότι τῇ πρεσβυτικῇ ἡλικίᾳ τῆς διανοίας ἀῤῥωστήματος. Διὸ καὶ Ἡσύχιος λέγει, «Παλαιὸς, ὁ ταῖς φρεσὶν ἐξεφθαρμένος »ἤδη, ἄφρων, ὁ καὶ ἠλίθιος.» καὶ αὖθις, τῇ Λακώνων διαλέκτῳ, «Παλαιὸς, μω»ρὸς,» οὗ χρῆσις παρὰ Ἀριστοφάνει (Λυσιστρ. 988). Ἐκ δὲ τούτου τοῦ μεταφορικοῦ, Παλαιὸς, ὅπερ Αἰολεῖς, μονοφθογγοῦντες καὶ προπαροξύνοντες, προέφερον, Πάλαος, ὥς φησιν Εὐστάθιος (Ἰλιάδ. Α, σελ. 28), παρέπλασεν ἡ παρ' ἡμῖν συνήθεια τὸ, Παλαβὸς, ἢ, Παλαυὸς, καθὰ καὶ παρὰ τὸ Ἀττικὸν, Κάω, τὸ, Καύω (Σημ. Ἡλιοδώρ. σελ 23), παρενθέσει τοῦ Δίγαμμα, ὅπερ ἄλλοις ἄλλως προὐφέρετο. Οὐ μόνον γὰρ τῷ υ καὶ τῷ β, ἀλλ' ἐνίοτε καὶ αὐτῷ τῷ γ ἰσοδυναμεῖ, ἢ δῆλον ἐκ τοῦ παρ' ἡμῖν, Κλαίω, καὶ Κλέγω, Πταίω, καὶ Πτέγω, καὶ τοῦ Καίω, ὅπερ οὐ μόνον Καύω, παρὰ τὸ τῶν Ἀττικῶν, Κάω, ὡς ἔφαμεν, ἀλλὰ καὶ Κέγω, παρὰ τὸ Ὁμηρικὸν, Κείω, οὗ θεματικώτερον τὸ ἄχρηστον, Κέω. Πολλάκις δὲ καὶ διπλοῦμεν τὸ Δίγαμμα διπλῇ προφορᾷ, οἷόν ἐστι τὸ, Καύγω (παρὰ τὸ, Κάω), τὸ Χαύω καὶ Χαύγω, ὅπερ οἱ παλαιοὶ, Χναύω, ἔλεγον (παρὰ τὸ Χάω), καὶ πολλὰ τῶν εἰς ευω ῥημάτων ἀπὸ τῶν παρὰ τοῖς ἀρχαίοις εἰς εω (Πρόδρ. Ἑλλ. Βιβλ. σελ. 332, 357), οἷον, Στερεύω καὶ Στερεύγω, Τελεύω καὶ Τελεύγω, Τυραννεύω καὶ Τυραννεύγω κ. τ. λ. παρὰ τὸ, Στερέω, Τελέω, Τυραννέω. Ἔστι δὲ τοῦ τοιούτου διπλοδιγαμματιστοῦ παράδειγμα παρὰ τοῖς ἀρχαίοις τὸ, Φεύγω· εἰκὸς γὰρ οὐ μόνον τῇ σημασίᾳ, ὥσπερ καὶ ἔστι, ἀλλὰ καὶ τῷ θεματισμῷ, ταὐτὸν εἶναι τῷ παρ' Ὁμήρῳ Φέβω (ὅθεν ὁ τὴν φυγὴν κυρίως σημαίνων Φόβος), παρὰ τὸ Φέω, ὅπερ οἱ μεταγενέστεροι εἰς τὸ διὰ τοῦ διπλοῦ Δίγαμμα, Φεύγω, μετεποίησαν. Ταὐτὸν οὖν ἐστι καὶ τῷ, Παλαιὸς, τὸ, Παλαυὸς, ἢ, Παλαβός· οὐδὲν γὰρ διαφέρει ἡ γραφὴ, ἄλλως τε καὶ παρ' ἡμῖν, παρ' οἷς ἡ αυ δίφθογγος πρὸ τῶν φωνηέντων ἁπάντων, καὶ τῶν συμφώνων ἐνίων, τὸν αὐτὸν ἔχει φθόγγον τῇ αβ συλλαβῇ. Ἐσημειώθη δὲ ταῦτα διὰ μακρῶν, ἵν' (ὃ πολλάκις εἴρηκα) ἐπιδειχθῇ κἀντεῦθεν τὸ χρήσιμον τῆς παρ' ἡμῖν συνήθους φωνῆς, εἰς εὐχερεστέραν σύνεσιν τῆς ἀρχαίας, πρὸς δὲ καὶ διόρθωσιν τῶν οὐκ ὀλιγάκις ἡμαρτημένων τοῖς ἀντιγράφασι τὰ τῶν παλαιῶν. Αὐτίκα παρ' Ἡσυχίῳ ἐλελήθει κείμενον αὐτὸ τοῦτο τὸ ἡμέτερον Παλαυὸς, οὐ μόνον διὰ τὴν διαφορὰν τοῦ Δίγαμμα, ἀλλὰ καὶ διὰ τὴν κακὴν γραφήν· φησὶ γὰρ ὁ Λεξικογράφος, «Σιαλοπάλλαγος, ὁ παράληρος »καὶ ἀνόητος,» ὅ τις τῶν κριτικῶν εἰς τὸ, Σιαλοπάλλακος, τρέπειν παρῄνει, παρὰ τὸ, Πάλληξ, ὑπολαβὼν συντεθεῖσθαι τοὔνομα, οὐκ ὀρθῶς. Ἀπόχρη γὰρ εἰς διόρθωσιν τοῦ χωρίου τὸ δι' ἑνὸς λ γράφειν, Σιαλοπάλαγος, ἵν' ἢ παρὰ τὸ, Σίαλος, ἢ, Σιαλὸς, παρ' ὃ ἡ συνήθεια ἐξελοῦσα τὸ δεύτερον στοιχεῖον ἐποίησε τὸν Σαλὸν (Γαλατιστὶ Sot, Imbécille), καὶ τὸν Σαλιάρην (Γαλλ. Bavard) καὶ τὸ, Παλαιὸς, ὃ οἱ μὲν ἀρχαῖοι ἔλεγον, Παλαγὸς, ἐπὶ τῆς σημασίας τοῦ, Μωρὸς, ἡμεῖς δὲ, Παλαβὸς, ἢ, Παλαυός. — 4. Φήμην δὲ καὶ μνήμην καὶ δόξαν κ. τ. λ.) Σημείωσαι, ὃ καὶ ὁ ἄριστος τῶν τοιούτων κριτὴς Ἀριστοτέλης (Ῥητορικ. Ρ, ζ, § 11), ἐσημειώσατο, καὶ ἡμεῖς ἐν τοῖς πρόσθεν ἐδηλώσαμεν, τὸ πομπικὸν καὶ ἀναγώ-

τελευτήσαντας καταλείψειν τοὺς ἐν τούτοις τοῖς ἔργοις ἀριστεύσαντας; Ὅπου γὰρ οἱ πρὸς Ἀλέξανδρον[5] πολεμήσαντες, καὶ μίαν πόλιν ἑλόντες, τοιούτων ἐπαίνων ἠξιώθησαν, ποίων τινῶν χρὴ προσδοκᾶν ἐγκωμίων τεύξεσθαι τοὺς ὅλης Ἀσίας[6] κρατήσαντας; Τίς γὰρ ἢ τῶν ποιεῖν δυναμένων,[7] ἢ τῶν λέγειν ἐπισταμένων,[8] οὐ πονήσει καὶ φιλοσοφήσει, βουλόμενος ἅμα τε τῆς αὑτοῦ διανοίας καὶ τῆς ἐκείνων ἀρετῆς μνήμην εἰς ἅπαντα τὸν χρόνον καταλιπεῖν;

§ 51. Οὐ τὴν αὐτὴν δὲ τυγχάνω γνώμην ἔχων ἔν τε τῷ παρόντι καιρῷ, καὶ περὶ τὰς ἀρχὰς τοῦ λόγου. Τότε μὲν γὰρ ᾤμην ἀξίως δυνήσεσθαι περὶ τῶν πραγμάτων εἰπεῖν· νῦν δὲ οὐκ ἐφικνοῦμαι τοῦ μεγέθους αὐτῶν, ἀλλὰ πολλά με διαπέφευγεν ὧν διενοήθην. Αὐτοὺς οὖν χρὴ συνορᾶν, ὅσης ἂν εὐδαιμονίας τύχοιμεν, εἰ τὸν μὲν πόλεμον, τὸν νῦν ὄντα περὶ ἡμᾶς, πρὸς τοὺς ἠπειρώτας ποιησαίμεθα, τὴν δὲν εὐδαιμονίαν τὴν ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην διακομίσαιμεν·[2] καὶ μὴ μόνον ἀκροατὰς γενομένους ἀπελθεῖν, ἀλλὰ τοὺς μὲν πράττειν δυναμένους, παρακαλοῦντας ἀλλήλους, πειρᾶσθαι διαλλάττειν τήν τε πόλιν τὴν ἡμετέραν, καὶ τὴν Λακεδαιμονίων· τοὺς δὲ τῶν λόγων ἀμφισβητοῦντας, πρὸς μὲν τὴν

---

νιον τῆς λέξεως, τῇ τῶν συνδέσμων ἐπαλληλίᾳ ἄριστα τῷ Ῥήτορι κατασκευασθέν. — 5. Πρὸς Ἀλέξανδρον.) Τὸν Πριάμου. — 6. Τοὺς ὅλης Ἀσίας) Τινὰ τῶν ἀντιγράφων, Τοὺς τῆς ὅλης Ἀσίας. Οὐόλφιος δὲ παραινεῖ γράφειν, Τοὺς ὅλης τῆς Ἀσίας. — 7. Τῶν ποιεῖν δυναμένων.) Τῶν ποιητῶν. — 8. Τῶν λέγειν ἐπισταμένων.) Τῶν λογογράφων.

§ 51. 2. Διακομίσαιμεν.) Πορθήσαντες μετακομίσαιμεν τὸν πλοῦτον τῆς Ἀσίας εἰς τὴν Εὐρώπην. Καὶ σημειωσαι ὅτι αὐτὸ τοῦτο τὸ, Διακομίζω, ἡ συνήθεια ἐκτρέψασα εἰς τὸ, Διαγουμίζω, ἐπὶ τῷ πολέμῳ, ἢ ἄλλως πως, διαρπάζειν τἀλλότρια, τέταχε· ταύτης δὲ τῆς σημασίας τὴν χρῆσιν οὐδὲ οἱ Ἀρχαῖοι ὅλως ἠγνόηνται· τὸ γὰρ τοῦ Ἀριστοφάνους (Σφ. 1248).

Πολλὰ δὴ διεκόμισας σύ τε κἀγὼ, οὐδὲν ἕτερον σημαίνει ἢ τὸ ἐν τῇ συνηθείᾳ, Πολλὰ ἐδιαγουμίσαμεν σὺ κ' ἐγώ. Ἐχρήσαντο μέντοι ὡς ἐπὶ τὸ πολὺ τῷ συνωνύμῳ ῥήματι, Διαφορῶ, οἷον «Οἶκον »διαφορηθέντα» παρ' Ἡροδότῳ (Γ, νγ') τὸν διακομισθέντα, ἢ διαγουμισθέντα, καὶ τῷ ὀνόματι Διαφόρησις παρὰ Πλουτάρχῳ (Κοριολ. § 9) ἐπὶ τοῦ διακομισμοῦ, ἢ διαγουμισμοῦ. Τοῦτο δὲ τὸ Διαγουμίζειν, οἱ οὐ πολλῷ ἡμῶν ἀρχαιότεροι καὶ, Κουβαλῶ, ἔλεγον, ὥπερ ἡ νῦν συνήθεια ἐπὶ τοῦ ἁπλῶς, Μεταφέρω ἢ Μετακομίζω, κέχρηται. Τοῦ δὲ Κουβαλῶ χρῆσις ἀρχαία εὕρηται ἐν τῷ συγγενεῖ καὶ συστοίχῳ Κοβαλεύω ἢ Κοβαλικεύω. Αὐτίκα τὸ παρὰ τῷ Ἀριστοφάνει, Ἐκκοβαλικεύεται (Ἱππ. 270) ὁ σχολιαστὴς ἐξηγούμενος λέγει, «Ἀπατᾷ, παραλο»γίζεται, ληστεύει· Κόβαλοι γὰρ οἱ »λησταί». Τοῦτο δὲ τὸ, Κόβαλος, ἐγράφετο καὶ Κίβαλος, ὃν ὁ μὲν Ἡσύχιος, Διάκονον, ἐξηγεῖται, ὅνπερ ἡμεῖς Κουβαλιτὴν, ἂν εἴποιμεν νυν, ὁ δὲ Σουΐδας, Ληστήν· ἐπεὶ καὶ τὸ Κοβαλεύειν, ἢ Κουβαλεύειν, ἐξηγήθη οὐ μόνον Ληστεύειν (Κυρίλλ. Λεξικ. λέξ. Κουβαλεύειν,) ἀλλὰ καὶ, «Μεταστρέφειν »(ἴσ. Μεταφέρειν) τὰ ἀλλότρια μισθοῦ »κατ' ὀλίγον», ὅπερ οὐδὲν ὂν ἕτερον ἢ τὸ παρ' ἡμῖν νῦν Κουβαλῶ οὐ συνῆκεν ὁ Κυττέρος. Τῇ δὲ διπλῇ τοῦ Κόβαλος καὶ Κίβαλος γραφῇ καὶ τρίτην ἄλλην ἂν ἴσως προσαριθμῆσαί τις τὴν Κύβαλος, εἴτε κατὰ τὰς διαφόρους διαλέκτους διαφόρως προενεχθέντος τὸ πάλαι τοῦ ὀνόματος, εἴτε καὶ τῷ πολλῷ χρόνῳ ὑπὸ τῶν πολλῶν ἀντιγραφέων διαφόρως ἁμαρτηθείσης τῆς γραφῆς· »τὸ γὰρ παρ' Ἡσυχίῳ, Κυβηλιστὰς συνώνυμόν ἐστι τοῦ, Κοβάλους — 3. Πρὸς

παρακαταθήκην,[3] καὶ περὶ τῶν ἄλλων ἁπάντων, ὧν νῦν φλυαροῦσι, παύσασθαι γράφοντας, πρὸς δὲ τοῦτον τὸν λόγον ποιεῖσθαι τὴν ἅμιλλαν,[4] καὶ σκοπεῖν ὅπως ἄμεινον ἐμοῦ περὶ τῶν αὐτῶν πραγμάτων ἐροῦσιν, ἐνθυμουμένους, ὅτι τοῖς μεγάλας τὰς ὑποσχέσεις ποιουμένοις οὐ πρέπει περὶ μικρὰ διατρίβειν, οὐδὲ τοιαῦτα λέγειν, ἐξ ὧν ὁ βίος μηδὲν ἐπιδώσει τῶν πεισθέντων, ἀλλ' ὧν ἐπιτελεσθέντων αὐτοί τε ἀπαλλαγήσονται τῆς τοιαύτης ἀπορίας,[5] καὶ τοῖς ἄλλοις μεγάλων ἀγαθῶν αἴτιοι δόξουσιν εἶναι.

## Δ΄. ΑΡΕΙΟΠΑΓΙΤΙΚΟΣ.

### Ὑπόθεσις ἐκ τῶν Διονυσίου τοῦ Ἁλικαρνασσέως.

ΤΙΣ τὸν Ἀρειοπαγιτικὸν ἀναγνοὺς λόγον, οὐκ ἂν γένοιτο κοσμιώτερος; ἢ τίς οὐκ ἂν θαυμάσειε τὴν ἐπιβολὴν τοῦ ῥήτορος; ὃς ἐτόλμησε διαλεχθῆναι περὶ πολιτείας Ἀθηναίοις, ἀξιῶν μεταθέσθαι μὲν τὴν τότε καθεστῶσαν δημοκρατίαν, ὡς μεγάλα βλάπτουσαν τὴν πόλιν· ὑπὲρ ἧς τῶν δημαγωγῶν οὐδεὶς ἐπεχείρει λέγειν, θεωρῶν εἰς τοσαύτην αὐτὴν προεληλυθυῖαν ἀκοσμίαν, ὥστε μηδὲ τοὺς ἄρχοντας ἔτι τῶν ἰδιωτῶν κρατεῖν, ἀλλ' ἕκαστον ὅ, τι καθ' ἡδονὴν αὐτῷ γίγνοιτο καὶ ποιοῦντα καὶ λέγοντα, καὶ τὴν ἄκαιρον παῤῥησίαν δημοτικὴν ἐξουσίαν ὑπὸ πάντων νομιζομένην· ἀνασώσασθαι δὲ τὴν ὑπὸ Σόλωνος καὶ Κλεισθένους κατασταθεῖσαν πολιτείαν. Ἧς τὴν προαίρεσιν καὶ τὰ ἤθη (α) διεξιών, δεινότερον μὲν ἡγεῖσθαί φησι τοὺς τότε ἀνθρώπους τὸ τοῖς πρεσβυτέροις ἀντιπεῖν, ἢ τὴν τάξιν λύειν· δημοκρατίαν δὲ αὐτοὺς νομίζειν, οὐ τὴν ἀκολασίαν, ἀλλὰ τὴν σωφροσύνην· τὸ δὲ ἐλεύθερον οὐκ ἐν τῷ καταφρονεῖν τῶν ἀρχόντων, ἀλλ' ἐν τῷ τὰ κελευόμενα ποιεῖν τίθεσθαι· ἐξουσίαν τε οὐδενὶ τῶν ἀκολάστων ἐπιτρέπειν, ἀλλὰ τοῖς βελτίστοις ἀνατιθέναι τὰς ἀρχάς, τοιούτους ἔσεσθαι

---

μὲν τὴν παρακαταθήκην.) Εὐστόχως ἐμοὶ δοκεῖν ἐξηγήσατο ὁ Οὐόλφιος τὸ ἀσαφὲς τοῦ χωρίου τούτου, λέγειν ἐνταῦθα βούλεσθαι τὸν Ἰσοκράτην ἡγούμενος περὶ Ἀντισθένους, ὅς, καθά φησι Διογένης ὁ Λαέρτιος, ἔγραψε κατὰ τοῦ ἐπιγραφομένου Ἀμαρτύρου λόγου τοῦ Ἰσοκράτους. Οὗτος δὲ ὁ Ἀμάρτυρος (σελ. 402), οὕτω κληθεὶς διὰ τὸ κατ' Εὐθύνου τινὸς λελέχθαι, παρακαταθήκην ἄνευ μαρτύρων εἰλημμένην στερήσαντος, οὐδὲν θαυμαστόν, εἰ καί, Περὶ παρακαταθήκης, δευτέραν ταύτην κλῆσιν (καθὰ καὶ ἕτεροι οὐκ ὀλίγοι τῶν Ἰσοκρατείων λόγων), ἐκαλεῖτό τε καὶ ἐπεγράφετο. Οἱ γράψαντες οὖν πρὸς τὴν παρακαταθήκην οὐδένες ἂν εἶεν ἄλλοι πλὴν οἱ καθαψάμενοι τοῦ Περὶ παρακαταθήκης λόγου, τουτέστιν ὁ πρὸς τὸν Ἀμάρτυρον Ἰσοκράτους γράψας Ἀντισθένης, καὶ ἕτεροι ἴσως σοφισταὶ καὶ ῥήτορες τῶν κατ' αὐτῶν ἀκμασάντων. — 4. Πρὸς δὲ τοῦτον τὸν λόγον ποιεῖσθαι τὴν ἅμιλλαν.) Πρὸς τὸν παρόντα Πανηγυρικὸν λόγον δηλονότι, ἐφ' ᾧ μάλιστα μέγα ἐφρόνει ὁ Ἰσοκράτης. Ἀντέγραψε δὲ καὶ πρὸς τοῦτον τὸν λόγον, καθά φησι Διογένης ὁ Λαέρτιος (ἐν βίῳ Ἀριστοτέλ.) Σικελιώτης τις ῥήτωρ, Ἀριστοτέλης καλούμενος. — 5. Αὐτοί τε ἀπαλλαγήσονται τῆς τοιαύτης ἀπορίας.) Ἴσως γραπ. Τοσαύτης ἀντὶ τοῦ, Τοιαύτης. Ἀπορίαν δ' ἐνταῦθα λέγειν ἔοικε τὴν τῶν χρημάτων, τουτέστι τὴν πενίαν· τοιοῦτοι γὰρ ἦσαν πολλοὶ τῶν σοφιστῶν, καθάπερ αὐτὸς ἐδήλωσεν ἀλλαχοῦ (σελ. 292) εἰπών, «Τοὺς τὴν σοφίαν διδάσκοντας, καὶ »τὴν εὐδαιμονίαν παραδιδόντας, αὐ»τούς τε πολλῶν δεομένους, καὶ τοὺς »μαθητὰς μικρὸν πραττομένους».

(α) Ἤθη.) Ἀντὶ τοῦ παρ' ἅπασιν, Ἔθη, δεῖν γράφειν ὑπέλαβον, Ἤθη, διὰ τὸ οὕτω γεγράφθαι ἐν τοῖς ἐκδεδομένοις τοῦ Διονυσίου συγγράμμασιν ὑπὸ τοῦ Ῥεισκίου (Τόμ. Ε, σελ. 550), καὶ ὅτι μονονοῦ δι' ὅλου τοῦ λόγου Ἰσοκράτης, Ἠθῶν, οὐκ Ἐθῶν, μνημονεύει, καίπερ ἑκατέρου τοῦ ὀνόματος ταὐτό πως σημαίνοντος· ὡς γὰρ φησιν Ἀριστοτέλης (Ἠθ. Νικόμ. Β, ά) «Ἡ Ἠθικὴ »ἐξ ἔθους περιγίνεται, ὅθεν καὶ τοὔνομα »ἔσχηκε, μικρὸν παρεγκλῖνον ἀπὸ τοῦ

τοὺς ἄλλους ὑπολαμβάνοντας, οἷοίπερ ἂν ὦσιν οἱ τὴν πόλιν διοικοῦντες· ἀντὶ
δὲ τοῦ τὰς ἰδίας οὐσίας ἐκ τῶν δημοσίων ἐπανορθοῦν, τοὺς ἰδίους πλούτους
εἰς τὰ κοινὰ καταχορηγῆσαι. Χωρὶς δὲ τούτων, πλείω τὴν ἐπιμέλειαν ποιεῖ-
σθαι τοὺς πατέρας τῶν υἱῶν ἀνδρῶν γενομένων, ἢ παίδων ὄντων ἐποιοῦντο,
ἐνθυμουμένους, ὡς οὐκ ἐξ ἐκείνης τῆς παιδείας, ἀλλ' ἐκ ταύτηςς τῆς σωφροσύ-
νης μᾶλλον ὠφελεῖται τὸ κοινόν· κρείτονά τε ὑπολαμβάνειν τὰ χρηστὰ ἐπιτη-
δεύματα τῆς ἀκριβοῦς νομοθεσίας, σκοποῦντας, οὐχ ὅπως ταῖς τιμωρίαις τοὺς
ἁμαρτάνοντας ἀνείρξουσιν, ἀλλ' ὡς μηδὲν ἄξιον ζημίας ἕκαστον ἐπιτηδεύειν. (6)
καὶ τὴν μὲν πατρίδα δεῖν οἰομένους ἐν ἐξουσίᾳ διάγειν μεγάλῃ, τοῖς δ' ἰδιώ-
ταις μηδὲν ἐξεῖναι ποιεῖν ὅ,τι ἂν οἱ νόμοι κωλύωσι· καρτερεῖν δὲ τὰ δεινά,
καὶ μὴ ἐκπλήττεσθαι ταῖς συμφοραῖς.

§ 1. ΠΟΛΛΟΥΣ ὑμῶν οἶμαι θαυμάζειν, ἥντινά ποτε γνώμην
ἔχων, περὶ σωτηρίας τὴν πρόσοδον ἐποιησάμην,[2] ὥσπερ τῆς πό-
λεως ἐν κινδύνοις οὔσης, ἢ σφαλερῶς[3] αὐτῇ τῶν πραγμάτων καθε-
στηκότων, ἀλλ' οὐ πλείους μὲν τριήρεις ἢ διακοσίας κεκτημέ-
νης· εἰρήνην δὲ καὶ τὰ περὶ τὴν χώραν ἀγούσης, καὶ τῶν κατὰ
θάλατταν ἀρχούσης· ἔτι δὲ συμμάχους ἐχούσης, πολλοὺς μὲν τοὺς
ἑτοίμως[4] ἡμῖν, ἤν τι δέῃ, βοηθήσοντας, πολὺ δὲ πλείους τοὺς τὰς
συντάξεις[5] ὑποτελοῦντας, καὶ τὸ προσταττόμενον ποιοῦντας. Ὧν

---

»ἔθους». — (6). Ἀλλ' ὡς μηδὲν ἄξιον ζημίας ἕκαστον ἐπιτηδεύειν.) Διορθοῦσι τὸ τέλος τοῦ χωρίου ὁ μὲν Ῥείσκιος (Διονυσ. Ἁλικαρν. Τ. Ε, σελ. 683), γράφειν παραινῶν, Ἕκαστος ἐπιτηδεύῃ, ὁ δ' Αὔγηρος, Ἕκαστος ἐπιτηδεύσει.

§ 1. 2. Τὴν πρόσοδον ἐποιησάμην.) Ὁ μετ' ὀλίγα μεθαρμόσας, Τὴν πρόσοδον ἐπεγραψάμην, ἐρεῖ· Χρηστὰ γὰρ ἀμφότερα παρὰ τοῖς Ῥήτορσι, Τό, τε Πρόσοδον ποιεῖσθαι πρὸς τὴν Βουλήν, ἢ τὸν Δῆμον, καὶ τό, Πρόσοδον ἀπογράφεσθαι. Εἴη δ' ἂν τοῦτο, ἡμέραν τάσσειν, ἐν ᾗ τῶν Ῥητόρων ἕκαστος, πολλῶν ὄντων, διαλεχθήσεσθαι ἔμελλε πρὸς τὴν Βουλὴν ἢ τὸν δῆμον. — 3. Ἢ σφαλερῶς.) Οὐκ ἀλόγως ὑπενόησεν ὁ Λάγγιος γραπτέον εἶναι, Καὶ σφαλερῶς· ἔοικε δὲ καὶ ὁ Ἰταλὸς μεταφραστής, συμπλεκτικῶς, οὐ διαζευτικῶς, ἀνεγνωκέναι, ἢ ἀναγνωστέον εἶναι κεκρικέναι, Quasi che la città in alcun pericolo si trovasse, et le cose sue in pessima conditione fossero. Καὶ τοῦτο μὲν ὀρθῶς ἐὰν τό, Κινδύνοις, ἐπὶ τῆς συνήθους ταύτης σημασίας (pericolo), ἐφ' ἧς οὐκ ἂν διακρίνοιτο τοῦ, Σφαλερῶς· ἐνταῦθα γεμὴν ἰσοδυναμοῦν τῷ, Πολέμοις, καθὰ δηλοῖ καὶ τὸ ἐπαγόμενον, Εἰρήνην ἀγούσης, οὐδὲν κωλύει χωρίζειν ἀπὸ τοῦ, Σφαλερῶς. — 4. Ἑτοίμως.) Παρείληφα τὴν διόρθωσιν τοῦ Οὐολφίου, ἀντὶ τοῦ παρὰ τοῖς λοιποῖς, Ἑτοίμους. — 5. Συντάξεις.) Κακῶς τὸ ἐμὸν ἀντί-

γραφον, Συνάξεις. Συντάξεις δὲ λέγει, κατ' εὐφημισμὸν Ἀττικόν, τοὺς φόρους, ἐπειδή, ὥς φησιν Ἁρποκρατίων (λέξ. Συντάξεις), χαλεπῶς ἔφερον οἱ Ἕλληνες τὸ τῶν φόρων ὄνομα. Ὡσαύτως ἡ τῶν Γάλλων φωνή, τὴν πρόθεσιν παραλιποῦσα, Taxe ὠνόμασε τὴν σύνταξιν, τὴν τοῖς Ἰταλοῖς καλλουμένην Tassa, καὶ ῥῆμα ἐποίησε Taxer (Ἰταλ. Tassare), ἐπὶ τοῦ τάσσειν καὶ ἐπιβάλλειν τοὺς φόρους· ὅθεν ἡ τῶν Γραικῶν φωνή, τὰ ἴδια παρὰ τῶν ἀλλοτρίων λαμβάνουσα, ἐσχημάτισε τὰ χυδαῖα, Τάσσα, καί, Τασσάρω. Συντάξεις δ' ὠνόμαζον οἱ μεταγενέστεροι, καὶ τὰς ἐτησίους δωρεὰς τῶν βασιλέων, τὰς τοῖς Γαλάταις καλουμένας,, pensions, καὶ Ταγὰς δὲ τὰς αὐτὰς ἐκάλεσαν ἔπειτα οἱ Βυζαντινοὶ συγγραφεῖς· ἃς ἡ συνήθεια Ταγίνια καλεῖ, ἐξ οὗ ῥῆμα τό, Ταγίζω, τὴν ἀρχὴν μὲν ἐπὶ τοῦ, Δωροῦμαι τοιαύταις συντάξεσι, νῦν δ' ἁπλῶς ἐπὶ τοῦ τρέφω,, ἢ ψωμίζω, τεταγμένον, Διορθούσθω μοι ἐν παρόδῳ καὶ ὁ Ἡσύχιος, « Ταγή, βασιλικὴ δωρεὰ ΚΑΙ Η ΣΥΝΑΞΙΣ τῶν πρὸς τὸ ζῆν ἀναγκαίων » μεταχγράφοντι. . . δωρεὰ ΚΑΙ ΣΥΝΤΑΞΙΣ τῶν πρὸς τὸ ζῆν ἀναγκαίων. Ἀντὶ δὲ τοῦ, Συντάσσω, οἱ Ἑβδομήκοντα ἐχρήσαντο (Γ, Βασιλ. ΙΔ, 18) καὶ τὸ Διατάσσω, « Καὶ ἔδωκεν αὐτῷ οἶκον, καὶ ἄρτους διέταξεν αὐτῷ».

ὑπαρχόντων, ὑμᾶς μὲν ἂν τις φήσειεν εἰκὸς εἶναι θαῤῥεῖν, ὡς πόῤῥω τῶν κινδύνων ὄντας, τοῖς δὲ ἐχθροῖς τοῖς ἡμετέροις προσήκειν δεδιέναι καὶ βουλεύεσθαι περὶ σωτηρίας.

§ 2. Ὑμεῖς μὲν οὖν οἶδ᾽ ὅτι τούτῳ χρώμενοι τῷ λογισμῷ, καὶ τῆς ἐμῆς προσόδου καταφρονεῖτε, καὶ πᾶσαν ἐλπίζετε τὴν Ἑλλάδα ταύτῃ τῇ δυνάμει κατασχήσειν· ἐγὼ δὲ δι᾽ αὐτὰ ταῦτα τυγχάνω δεδιώς. Ὁρῶ γὰρ τῶν πόλεων τὰς ἄριστα πράττειν οἰομένας, τὰ κάκιστα βουλευομένας,[2] καὶ τὰς μάλιστα θαῤῥούσας, εἰς πλείστους κινδύνους καθισταμένας. Αἴτιον δὲ τούτων ἐστὶν, ὅτι τῶν ἀγαθῶν καὶ τῶν κακῶν οὐδὲν αὐτὸ καθ᾽ αὐτὸ παραγίγνεται τοῖς ἀνθρώποις, ἀλλὰ συντέτακται καὶ συνακολουθεῖ τοῖς μὲν πλούτοις[3] καὶ ταῖς δυναστείαις ἄνοια, καὶ μετὰ ταύτης ἀκολασία· ταῖς δὲ ἐνδείαις, καὶ ταῖς ταπεινότησι, σωφροσύνη καὶ μετριότης. Ὥστε χαλεπὸν εἶναι διαγνῶναι, ποτέραν ἂν τις δέξαιτο τῶν μερίδων τούτων τοῖς παισὶ τοῖς αὑτοῦ καταλιπεῖν. Ἴδοιμεν γὰρ ἂν, ἐκ μὲν τῆς φαυλοτέρας εἶναι δοκούσης, ἐπὶ τὸ βέλτιον ὡς ἐπὶ τὸ πολὺ τὰς πράξεις ἐπιδιδούσας, ἐκ δὲ τῆς κρείττονος φαινομένης, ἐπὶ τὸ χεῖρον ἐθισμένας μεταπίπτειν. Καὶ τούτων ἐνεγκεῖν ἔχω παραδείγματα,[4] πλεῖστα μὲν ἐκ τῶν ἰδιωτικῶν πραγμάτων (πυκνοτάτας γὰρ ταῦτα λαμβάνει τὰς μεταβολὰς), μείζω δὲ καὶ φανερώτερα τοῖς ἀκούουσιν, ἐκ τῶν ἡμῖν καὶ Λακεδαιμονίοις συμβάντων.

§ 3. Ἡμεῖς τε γὰρ, ἀναστάτου μὲν τῆς πόλεως ὑπὸ τῶν βαρβάρων γενομένης, διὰ τὸ δεδιέναι καὶ προσέχειν τὸν νοῦν τοῖς πράγμασιν, ἐπρωτεύσαμεν τῶν Ἑλλήνων· ἐπειδὴ δ᾽ ἀνυπέρβλητον ᾠήθημεν ἔχειν τὴν δύναμιν, παρὰ μικρὸν ἤλθομεν ἐξανδραποδισθῆναι. Λακεδαιμόνιοί τε, τὸ μὲν παλαιὸν ἐκ φαύλων τε καὶ μικρῶν πόλεων ὁρμηθέντες, διὰ τὸ σωφρόνως ζῆν, καὶ στρατιωτικῶς, κατέσχον Πελοπόννησον· μετὰ δὲ ταῦτα μείζω

---

§ 2.2 Βουλευομένας.) Ταύτην ἔκ τινος τῶν τοῦ Αὐγήρου ἀντιγράφων (ἣν κἀκεῖνος προείλετο) ἀνθυπέβαλον τὴν γραφὴν τῇ παρὰ τοῖς λοιποῖς ἅπασι, Συμβουλευομένας. — 3. Πλούτοις.) Ἐξ ἀντιγράφου τινὸς τῶν τοῖς πρὸ ἐμοῦ παραβληθέντων, οὕτω διορθώσαντος πάλαι καὶ τοῦ Οὐολφίου, παρειλήφασιν οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Πλουσίοις. Τὸ δὲ, Πλούτοις, κατὰ πληθυντικὸν ἀριθμὸν, μεταβάλλουσα καὶ τὸ γένος, οἶδε καὶ ἡ συνήθεια, Τὰ πλούτη, λέγουσα, ὡς παρὰ τὸ οὐδέτερον, Τὸ πλοῦτος. Ἡ αὐτὴ δὲ συνήθεια, Τὸν βίον, καὶ, Τὸ βίος, Τὸν θρῆνον, καὶ, Τὸ θρῆνος, κατὰ μίμησιν δὴ τοῦτο τῶν ἀρχαίων, παρ᾽ οἷς ἕτερα διγενῆ, Ὁ καὶ τὸ ἔλεος, Ὁ καὶ τὸ σκότος κ. τ. λ. — 4. Καὶ τούτων ἐνεγκεῖν ἔχω παραδείγματα.) Τῶν ἀντιγράφων τὰ πλεῖστα, Ἔχειν, καθάπερ καὶ τὸ ἐμὸν, ὅπερ Οὐόλφιος ἔτρεψεν εἰς τὸ Ἐστί, παραδεξαμένων καὶ τῶν μετ᾽ αὐτὸν, πλὴν τοῦ Λαγγίου. Οὗτος δὲ, Ἔχει, ἔκ τινος παρειληφὼς ἀντιγράφου, ἔγραψε. Τοῦτο δὴ τὸ, Ἔχειν ἢ Ἔχει, ἄμεινον ἔμοι γ᾽ ἔδοξε τρέπειν εἰς τὸ, Ἔχω. Εἰ δὲ μὴ δοκεῖ σοι, γράφε Ἔχοι τις ἂν, κατὰ τὸ μετ᾽ ὀλίγα, Γνοίη τις ἄν.

φρονήσαντες[2] τοῦ δέοντος, καὶ λαβόντες καὶ τὴν κατὰ γῆν καὶ τὴν κατὰ θάλατταν ἀρχὴν, εἰς τοὺς αὐτοὺς ἡμῖν κινδύνους κατέστησαν. Ὅστις οὖν εἰδὼς τοσαύτας μεταβολὰς γεγενημένας, καὶ τηλικαύτας δυνάμεις οὕτω ταχέως ἀναιρεθείσας, πιστεύει τοῖς παροῦσιν, ἀνόητός ἐστιν, ἄλλως τε καὶ τῆς μὲν πόλεως ἡμῶν πολὺ καταδεέστερον νῦν πραττούσης, ἢ κατ᾽ ἐκεῖνον τὸν χρόνον, τοῦ δὲ μίσους τοῦ τῶν Ἑλλήνων, καὶ τῆς ἔχθρας τῆς πρὸς τὸν βασιλέα, πάλιν ἀνακεκαινισμένης, ἃ τότε κατεπολέμησεν ἡμᾶς.

§ 4. Ἀπορῶ δὲ πότερον ὑπολάβω μηδὲν μέλειν ὑμῖν τῶν κοινῶν πραγμάτων, ἢ φροντίζειν μὲν αὐτῶν, εἰς τοῦτο δ᾽ ἀναισθησίας ἥκειν, ὥστε λανθάνειν ὑμᾶς,[2] εἰς ὅσην ταραχὴν ἡ πόλις ἡμῶν καθέστηκεν. Ἐοίκατε[3] γὰρ οὕτω διακειμένοις ἀνθρώποις, οἵτινες ἁπάσας μὲν τὰς πόλεις τὰς ἐπὶ Θρᾴκης ἀπολωλεκότες, πλείω δ᾽ ἢ χίλια τάλαντα[4] μάτην εἰς τοὺς ξένους ἀπαναλωκότες,[5] πρὸς δὲ τοὺς Ἕλληνας διαβεβλημένοι, καὶ τῷ βαρβάρῳ πολέμιοι γεγονότες, ἔτι δὲ τοὺς μὲν Θηβαίων φίλους σώζειν ἠναγκασμένοι, τοὺς δὲ ἡμετέρους αὐτῶν συμμάχους ἀπολωλεκότες, ἐπὶ τοσαύταις πράξεσιν εὐαγγέλια μὲν δὶς ἤδη τεθύκαμεν, ῥᾳθυμότερον δὲ περὶ αὐτῶν ἐκκλησιάζομεν, τῶν πάντα τὰ δέοντα πραττόντων. Καὶ ταῦτ᾽ εἰκότως καὶ ποιοῦμεν, καὶ πάσχομεν· οὐδὲν γὰρ οἷόν τε γίγνεσθαι κατὰ τρόπον, τοῖς μὴ καλῶς περὶ τῆς διοικήσεως ὅλης βεβουλευμένοις, ἀλλ᾽ ἐὰν καὶ κατορθώσωσι περί τινας πράξεις, ἢ διὰ τύχην, ἢ δι᾽ ἀνδρὸς ἀρετὴν, μικρὸν διαλιπόντες, πάλιν εἰς τὰς αὐτὰς ἀπορίας κατέστησαν. Καὶ ταῦτα γνοίη τις ἂν ἐκ τῶν περὶ ἡμᾶς γενομένων.

§ 5. Ἁπάσης γὰρ τῆς Ἑλλάδος ὑπὸ τὴν πόλιν ἡμῶν ὑποπεσούσης, καὶ μετὰ τὴν Κόνωνος ναυμαχίαν, καὶ μετὰ τὴν Τιμοθέου στρατηγίαν, οὐδένα χρόνον τὰς εὐτυχίας κατασχεῖν ἠδυνήθημεν, ἀλλὰ ταχέως διεσκαριφησάμεθα,[2] καὶ διελύσαμεν

§ 3. 2. Μείζω φρονήσαντες.) Ἴσως, μεῖζον φρονήσαντες· τὸ γὰρ ἑνικὸν ἐν τοῖς τοιούτοις μᾶλλον ἐν χρήσει, ὡς καὶ ἀλλαχοῦ Μικρὸν φρονεῖν, εἴρηκε.

§ 4. 2. Ὑμῖν . . . ὑμᾶς.) Οὕτω παρ᾽ ἅπασιν· ἴσως μέν τοι γραπτέον, Ἡμῖν . . . ἡμᾶς. — 3. Ἐοίκατε.) Ἐοίκαμεν, ὤφειλεν εἰπεῖν πρωτοπροσώπως κἀνταῦθα, διὰ τὰ προσεχῆ, Τεθύκαμεν, ἐκκλησιάζομεν· ἀλλ᾽ εἰκὸς αὐτὸν, δι᾽ οὐδὲν ἕτερον ἀπὸ τοῦ δευτέρου, ἐπὶ τὸ πρῶτον μεταβῆναι πρόσωπον, ἢ τὸ μὴ δοκεῖν κατακόρως χρῆσθαι κατὰ τῶν πολιτῶν τοῖς ὀνείδεσι. — 4. Πλείω δ᾽ ἢ χίλια τάλαντα.) Δημοσθένης δὲ (Ὀλυνθ. Γ, σελ. 36), Πλείω ἢ χίλια καὶ πεντακόσια, φησὶν, αὐτὰ ταῦτα ὀνειδίζων τοῖς Ἀθηναίοις. — 5. Ἀπαναλωκότες.) Οὕτως ἔγραψα, διὰ τὴν Ἀττικὴν συνήθειαν, ἀντὶ τοῦ, Ἀπανηλωκότες. Ξένους δὲ λέγει τὸ Ξενικὸν στράτευμα, τὸ μισθοῦ τοῖς Ἀθηναίοις στρατευόμενον (Ἰδ. Ἁρποκρατ. λέξ. Ξενικὸν καὶ Ξενιτευομένους).

§ 5. 2. Διεσκαριφησάμεθα.) Διεσκορπίσαμεν, διεσκεδάσαμεν. Τὸ θέμα Διασκαριφάομαι, ὅπερ ἄλλως ἄλλων ἐξηγησαμένων, οὐ περιττὸν παραθέσθαι τὰς δόξας αὐτῶν, ἄλλως τε καὶ τῶν σπανιωτάτων οὔσης τῆς λέξεως, ἴσως δέ τι καὶ

αὐτάς. Πολιτείαν γὰρ τὴν ὀρθῶς ἂν τοῖς πράγμασι χρησομένην, οὔτ᾽ ἔχομεν, οὔτε λαβεῖν ζητοῦμεν.[3] Καίτοι τὰς εὐπραγίας ἅπαντες ἴσμεν καὶ παραγιγνομένας, καὶ παραμενούσας, οὐ τοῖς τείχη μέγιστα καὶ κάλλιστα περιβεβλημένοις, οὐδὲ τοῖς μετὰ πλεί-

---

χρησίμου εἰς τὴν ᾗ τανῦν χρώμεθα γλῶσσαν ἐσομένης τῆς παραθέσεως. »Διεσκαριφησάμεθα (φησὶν ὁ Ἀρπο»κρατίων) ἀντὶ τοῦ, Διαλύσαμεν. Σκά»ριφον γάρ ἐστι τὸ κάρφος καὶ φρύγα»νον. Ἔστι δὲ τὰ τοιαῦτα εὐδιάλυτα »καὶ εὐφύσητα. Ἰσοκράτης Ἀρεοπαγιτι»κῷ, διεσκαριφησάμεθα· ἢ Σκαριφήσα»σθαι ἐστὶ τὸ ἐπισεσυρμένως τι ποι»εῖν, καὶ μὴ κατὰ τὴν προσήκουσαν ἀ»κρίβειαν». Ταὐτὰ σχεδὸν καὶ Σουΐδας (λέξ. Διεσκαριφησάμεθα, καὶ Σκάριφον) τῷ Ἀποκρατίωνι λέγει, καὶ ὁ Ἐτυμολόγος (σελ. 273.) Ἡσύχιος δὲ, »Διεσκαριφῆσαι (φησὶν), ἐπὶ ὀρνέων τῶν »τοῖς ὄνυξι σκαλευόντων τὴν γῆν κυ»ρίως λέγεται». Ἐν ἄλλοις δ᾽ ἐξηγεῖται τὸ ἁπλοῦν, «Σκαριφᾶσθαι, ξύειν, »σκάπτειν, γράφειν· ὅθεν καὶ ὁ Σκάρι»φος, ξέσις, γραφὴ, μίμησις ἀκριβὴς »(ἴσ. οὐκ ἀκριβὴς) τύπου», Εὕρηται δὲ παρὰ τῷ αὐτῷ καὶ συγκεκομμένως »Σκαρφᾶσθαι, σκεδάννυσθαι»· ὅθεν καὶ ἡμεῖς τὸ τοῦ Ἰσοκράτους, Διεσκαριφησάμεθα, διὰ τοῦ Διεσκεδάσαμεν, ἐξηγησάμεθα. Εἰσὶ καὶ παρὰ τῷ Ἀριστοφάνει (Βατρ. 1497) «Σκαριφισμοὶ λήρων» οὓς ὁ Σχολιαστὴς ἐξηγεῖται, «οἷον σκα»ρισμοὺς, καὶ λεπτολογίας, σκιαγραφίας. »Σκαριφεύειν γὰρ τὸ τοὺς ζωγράφους »ὑποτυπῶσαι πρῶτον τοὺς γραφομένους· »καὶ Σκαριφήσασθαι, ἐπὶ τοῦ ἐπισεσυρμέ»νως τι ποιεῖν, καὶ μὴ κατὰ τὴν προ»σήκουσαν ἀκρίβειαν, σκιαγραφεῖν . . . »ἴσως δὲ ἐντεῦθεν καὶ τὸ ἐν τῇ συνηθείᾳ »Σκάριφος, ἤγουν τὸ κάρφος καὶ φρύγα»νον· μᾶλλον δὲ ἡ γραφίς». Καὶ ταῦτα μὲν οἱ Γραμματικοὶ, οὐ πάνυ τι ἀκριβῆ, οὐδ᾽ ἀλλήλοις ὁμολογούμενα· παρὰ μὲν γὰρ τῷ Ἁρποκρατίωνι, ἀντὶ τοῦ, Διελύσαμεν, ἴσως γραπτέον, Διεχύσαμεν, ὅπερ καὶ αὐτὸ σημαίνει τὸ Διεσκεδάσαμεν· οὐδὲ γὰρ εἰκὸς ἐξηγήσασθαι τὴν λέξιν δι᾽ ὧν ἀμέσως αὐτὸς Ἰσοκράτης ἐπάγει, λέγων, «Καὶ διελύσαμεν αὐτάς», χωρὶς εἰ μή τις τὰς τρεῖς ταύτας λέξεις μᾶλλον περιγράφειν προαιροῖτο ἐξ Ἰσοκράτους, ὡς οὐδὲν οὔσας ἕτερον, ἢ ἐπεξήγησιν τοῦ, Διεσκαριφησάμεθα. Ὅτι δὲ τὸ Σκαριφάω, ἢ Σκαρφάω, τὸ ξέειν καὶ σκάπτειν ἐδήλου, μαρτυρεῖ καὶ τὸ τῆς Λατινίδος φωνῆς Scarifico, ἢ Scararifo, ὅθεν τὸ τῶν Ἰταλῶν Scatificare, καὶ τὸ τῶν Γάλλων Scarifier, ὅπερ ἐστὶ κατακνίζειν, σχίζειν, ἢ χαράσσειν. Οὐ μικρὰν δ᾽ ἔχει τὴν ἀπορίαν, καὶ τὸ σημαίνειν ἐναντία τὴν λέξιν, τουτέστιν, τὸ ποιεῖν τι μὴ κατὰ τὴν προσήκουσαν ἀκρίβειαν, καὶ τὸ μιμεῖσθαι ἀκριβῶς· εἴγε ὁ Σκάριφος, ἀκριβῆ μίμησιν τύπου δηλοῖ καθ᾽ Ἡσύχιον, καὶ οἱ Σκαριφισμοὶ λεπτολογίαι εἰσὶ κατὰ τὸν Ἀριστοφάνους σχολιαστήν. Ἀλλὰ ταῦτα μὲν ἐάσθω τοῖς σοφοῖς περὶ τὰ τοιαῦτα Γραμματικοῖς· ἀρκεῖ δ᾽ ἡμῖν ἐπὶ τοῦ παρόντος σημειώσασθαι, τὴν τοῦ σ εἴτε προσθήκην ἐν τῷ Σκάριφος, εἴτ᾽ ἀφαίρεσιν ἐν τῷ Κάριφος ἢ Κάρφος, ἥνπερ ἔν τε πλείστοις ἄλλοις σεσημείωται (Ἡλιοδώρ. σημ. σελ. 184 καὶ 344) καὶ ἐν αὐτῷ δὴ τὸ Σκεδάννυσθαι, ὅπερ ἦν συνώνυμον τοῦ Σκαρφᾶσθαι κατὰ τὸν Ἡσύχιον. Ἡ γοῦν συνήθεια ἄνευ μὲν τοῦ σ ἔσωσε τὸ Καρφίον, τουτέστι τὸν ἧλον, παρὰ τὸ τῶν ἀρχαίων Κάρφος, τὸ σημαῖνον ξύλον λεπτὸν καὶ ξηρὸν, οἷον, ἄχυρον, φρύγανον, ἤ τι τοιοῦτον, προσεμφερὲς τοῖς παρ᾽ ἡμῖν καρφίοις, καὶ τὴν καθ᾽ ὑποκοριστικὸν τύπον Καρφίτζιαν, παρὰ τὸ Καρφίσκη, καθάπερ ἔφημεν (Προδρ. Ἑλλ. Βιβλιοθ. σελ. 344) τὴν Νυμφίτζαν παρὰ τὴν Νυμφίσκην, καὶ τὴν Γαλίτζαν παρὰ τὴν Γαλίσκην· μετὰ δὲ τοῦ σ, τήν τε Σκάρφην, ἤγουν τὴν τοῦ Ἐλλεβόρου ῥίζαν, ἣν οἱ Βυζαντινοὶ συγγραφεῖς, Καρπίον, καὶ, Καρφίον, ἐκάλουν, καὶ τὰ Σκαρφία, ἤγουν τοὺς δι᾽ ἀχύρων ἢ λεπτῶν ξυλαρίων βαλλομένους κλήρους οὓς οἱ πρὸ ἡμῶν Καρφία ὠνόμαζον, παρ᾽ οἷς καὶ τὸ Βάλλειν καρφία (Σαλμασ. σημ. εἰς τὸ περὶ τρίβωνος τοῦ Τερτυλλιαν. σελ. 210) ἐσήμαινεν· ὅπερ ἡ τῶν Γαλατῶν φωνὴ Tirer à la courte paille εἴωθε λέγειν. Χρώμεθα δὲ παρὰ ταῦτα καὶ ῥήματι τῷ, Σκαρφίζομαι, τουτέστιν ἐπινοῶ, παρ᾽ ὃ καὶ ὄνομα τὸ Σκάρφισμα, ἤγουν ἡ ἐπινόησις, καὶ πολλάκις ἡ λεπτολόγος καὶ φαντασιώδης τῶν μὴ ὄντων ἔρευνά τε καὶ εὕρεσις, οἷοί εἰσιν οἱ παρὰ τῷ Κωμικῷ, Σκαριφισμοὶ λήρων. — 3. Ζητοῦμεν.) Ταύτην παρείληφα τὴν γραφὴν ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, καθὰ καὶ ὁ πρὸ ἐμοῦ ἔκ τινος τῶν ἑαυτοῦ, ἀντὶ

στων ἀνθρώπων εἰς τὸν αὐτὸν τόπον ἠθροισμένοις, ἀλλὰ τοῖς ἄριστα καὶ σωφρονέστατα τὴν αὐτῶν διοικοῦσιν. Ἔστι γὰρ ψυχὴ πόλεως[4] οὐδὲν ἄλλο, ἢ πολιτεία, τοσαύτην ἔχουσα δύναμιν, ὅσην περ ἐν σώματι φρόνησις. Αὕτη γάρ ἐστιν ἡ βουλευομένη περὶ ἁπάντων, καὶ τὰ μὲν ἀγαθὰ διαφυλάττουσα, τὰς δὲ συμφορὰς διαφεύγουσα. Ταύτῃ καὶ τοὺς νόμους, καὶ τοὺς ῥήτορας, καὶ τοὺς ἰδιώτας ἀναγκαῖόν ἐστι ὁμοιοῦσθαι, καὶ πράττειν οὕτως ἑκάστους, οἵαν περ ἂν αὐτὴν ἔχωσιν. Ἧς ἡμεῖς διεφθαρμένης οὐδὲν φροντίζομεν, οὐδὲ σκοποῦμεν ὅπως ἐπανορθώσωμεν αὐτήν·[5] ἀλλ' ἐπὶ μὲν τῶν δικαστηρίων, τῶν καθεστηκότων κατηγοροῦμεν, καὶ λέγομεν, ὡς οὐδέποτε ἐν δημοκρατίᾳ κάκιον ἐπολιτεύθημεν· ἐν δὲ τοῖς πράγμασι, καὶ ταῖς διανοίαις αἷς ἔχομεν, μᾶλλον αὐτὴν ἀγαπῶμεν τῆς ὑπὸ τῶν προγόνων καταλειφθείσης. Ὑπὲρ ἧς ἐγὼ καὶ τὸν λόγον μέλλω ποιεῖσθαι, καὶ τὴν πρόσοδον ἀπεγραψάμην.

§ 6. Εὑρίσκω γὰρ ταύτην ἂν μόνην γενομένην, καὶ τῶν μελλόντων κινδύνων ἀποτροπὴν, καὶ τῶν παρόντων κακῶν ἀπαλλαγὴν, ἣν ἐθελήσωμεν ἐκείνην τὴν δημοκρατίαν ἀναλαβεῖν, ἣν Σόλων μὲν, ὁ δημοτικώτατος γενόμενος, ἐνομοθέτησε, Κλεισθένης[2] δὲ, ὁ τοὺς τυράννους ἐκβαλὼν, καὶ τὸν δῆμον καταγαγὼν, πάλιν ἐξ ἀρχῆς κατέστησεν. Ἧς οὐκ ἂν εὕροιμεν οὔτε δημοτικωτέραν, οὔτε μᾶλλον τῇ πόλει συμφέρουσαν. Τεκμήριον δὲ μέγιστον. οἱ μὲν γὰρ ἐκείνῃ χρώμενοι, πολλὰ καὶ καλὰ[3] διαπραξάμενοι, καὶ παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμήσαντες, παρ' ἑκόντων τῶν Ἑλλήνων τὴν ἡγεμονίαν ἔλαβον· οἱ δὲ τῆς νῦν παρούσης ἐπιθυμήσαντες, ὑπὸ πάντων μισηθέντες, καὶ πολλὰ καὶ δεινὰ[4] παθόντες, μικρὸν ἀπέλιπον τοῦ

---

τοῦ, Αἰτοῦμεν. — 4. Ἔστι γὰρ ψυχὴ πόλεως.) Τῇ αὐτῇ καὶ ἀλλαχοῦ (σελ. 261) καλλίστη τε καὶ ἀληθεστάτη ἐχρήσατο παραβολῇ· ἣν καὶ Ἀριστοτέλης μετήνεγκεν εἰς τὰ πολιτικὰ (Δ, ιά), φήσας, «Ἡ γὰρ πολιτεία βίος τίς ἐστι πόλεως». — 5. Ὅπως ἐπανορθώσομεν αὐτήν.) Ἡ μεταφορὰ ἀπὸ τῶν πεπτωκότων, ἐπεὶ καὶ αὐτὸ τὸ Πίπτειν τροπικῶς ἐπὶ τοῦ ἁμαρτάνοντος τίθεται, οἷόν ἐστι τὸ παρὰ τῷ Σοφοκλεῖ (Οἰδ. Κολ. 395),

Γέροντα δ' ΟΡΘΟΥΝ, φλαῦρον, ὃς νέος, ΠΕΣΗ.

Οὐκ ἀκριβῶς ἄρα ὁ Ἀμμώνιος λέγει, «Διορθοῦν μὲν γὰρ καὶ ἐπὶ δοράτων καὶ »ἐπὶ ὀβελίσκων, καὶ ἐπὶ λόγων. Ἐπανορ»θοῦν δὲ ἐπὶ μόνων λόγων». Τὰ δὲ τοῦ Ἡρωδιανοῦ πρὸς τῷ μὴ ἀκριβεῖ, καὶ τῇ γραφῇ ἡμάρτηται. «Κατορθῶσαι, ἐπὶ »πολέμου καὶ τῶν τοιούτων· τὸ δὲ κα»τόρθωμα, οὐκέτι. Ἐπανορθῶσαι δὲ ΛΟ»ΓΩ ΤΩΝ ΑΜΑΡΤΗΜΕΝΩΝ· ἅπαξ δὲ »τὸ κατορθῶσαι ἐπὶ λόγων κεῖται. Τὸ δὲ »διορθῶσαι ἐπὶ τῶν διαστρόφων, ΑΝ »ΑΥΤΟ ἀπευθύνῃ». Γραπτέον γὰρ, «Ε»πανορθῶσαι δὲ, ΛΟΓΟΝ ΤΟΝ ΗΜΑΡ»ΤΗΜΕΝΟΝ . . . διαστρόφων, ΑΝ »ΤΙΣ ΑΥΤΑ ἀπευθύνῃ».

§ 6. 2. Κλεισθένης.) Εἷς τῶν Ἀλκμαιωνιδῶν, οὗ καὶ ἀλλαχοῦ μέμνηται. — 3. Πολλὰ καὶ καλά.) Σημείωσαι τὸ τοὺς δοκίμους μὴ λέγειν, Πολλὰ καλὰ, ὥς φαμεν ἐν τῇ συνηθείᾳ, ἀλλὰ μεσολαβοῦντος τοῦ συνδέσμου, Πολλὰ καὶ καλὰ, καὶ τοὐναντίον, Πολλὰ καὶ κακά. — 4. Πολλὰ καὶ δεινά.) Οὐκ ὤκνησα εἰς τοῦτο τρέψαι τὸ παρ' ἅπασι Πολλάκις δεινά· οὐ μόνον δι' ἣν φθὰς

μὴ ταῖς ἐσχάταις συμφοραῖς περιπεσεῖν.[5] Καίτοι πῶς χρὴ ταύτην τὴν πολιτείαν ἐπαινεῖν ἢ στέργειν, τὴν τοσούτων μὲν κακῶν πρότερον αἰτίαν γενομένην, νῦν δὲ καθ' ἕκαστον ἐνιαυτὸν ἐπὶ τὸ χεῖρον ἀεὶ φερομένην; πῶς δ' οὐ δεῖ δεδιέναι, μὴ, τοσαύτης ἐπιδόσεως γιγνομένης, τελευτῶντες εἰς τραχύτερα πράγματα τῶν τότε γενομένων ἐξοκείλωμεν;

§ 7. Ἵνα δὲ μὴ συλλήβδην μόνον ἀκηκοότες, ἀλλ' ἀκριβῶς εἰδότες, ποιεῖσθε καὶ τὴν αἵρεσιν, καὶ τὴν κρίσιν περὶ αὐτῶν, ὑμέτερον μὲν ἔργον ἐστὶ παρασχεῖν ὑμᾶς αὐτοὺς προσέχοντας[2] τὸν νοῦν τοῖς ὑπ' ἐμοῦ λεγομένοις· ἐγὼ δὲ, ὡς ἂν δύνωμαι συντομώτατα, πειράσομαι περὶ ἀμφοτέρων τούτων διελθεῖν πρὸς ὑμᾶς.

§ 8. Οἱ γὰρ κατ' ἐκεῖνον τὸν χρόνον τὴν πόλιν διοικοῦντες, κατεστήσαντο πολιτείαν, οὐκ ὀνόματι μὲν τῷ κοινοτάτῳ καὶ πρᾳοτάτῳ[2] προσαγορευομένην, ἐπὶ δὲ τῶν πράξεων οὐ τοιαύτην τοῖς ἐντυγχάνουσι φαινομένην· οὐδὲ τὸν τρόπον τοῦτον ἐπαίδευον τοὺς πολίτας, ὥσθ' ἡγεῖσθαι τὴν μὲν ἀκολασίαν δημοκρατίαν, τὴν δὲ παρανομίαν ἐλευθερίαν, τὴν δὲ παῤῥησίαν ἰσονομίαν, τὴν δὲ ἐξουσίαν τοῦ πάντα ποιεῖν εὐδαιμονίαν·[3] ἀλλὰ καὶ μισοῦσα καὶ μὴ κολάζουσα τοὺς τοιούτους, βελτίους[4] καὶ σωφρονεστέρους ἅπαντας τοὺς πολίτας ἐποίησε. Μέγιστον δὲ αὐτοῖς, συνεβάλετο πρὸς τὸ καλῶς οἰκεῖν τὴν πόλιν, ὅτι δυοῖν ἰσοτήτοιν νομιζομέναιν εἶναι,

ἐσημειωσάμην χρῆσιν τῶν δοκίμων, ἀλλὰ καὶ διὰ τὴν ἐν τοῖς μάλιστα φίλην Ἰσοκράτει ἀντίθεσιν· ἀντέταξε γὰρ τὸ Πολλὰ καὶ δεινὰ, τῷ, Πολλὰ καὶ καλὰ, καθὰ καὶ τὸ, Οἱ τῆς παρούσης ἐπιθυμήσαντες, τῷ, Οἱ ἐκείνῃ χρώμενοι. Μαρτυρεῖ δέ μου τῇ διορθώσει αὐτὸς Ἰσοκράτης ἀλλαχοῦ (Συμμαχικ. κζ') λέγων, «Ἀλλ' ἀμυνόμενοι, καὶ πολλὰ καὶ »δεινὰ παθόντες· τοιαύτην γνώμην ἔσχον »περὶ ἡμᾶς». Καὶ Δείναρχος δὲ ἐν ἀρχῇ τοῦ κατὰ Ἀριστογείτονος, Πολλὰ καὶ δεινὰ, εἴρηκε. καὶ Αἰσχίνης (περὶ παραπρεσβ. σελ. 324.), Πολλὰ καὶ χαλεπά. Εἶχον δ' ἂν καὶ πολλῶν ἄλλων παραθέσθαι μαρτύρια, εἰ παραδείγμασι καταπυκνοῦν μοι τὸν λόγον προὔκειτο. Οὐκ ἐμνημόνευσαν τούτου οἱ πολλὰ καὶ μάταια περὶ τῶν τῆς Ἑλληνικῆς γλώσσης ἰδιωμάτων γράψαντες, ἐν οἷς οὐ καταλέγω τὸν Ἑρμάννον· ἐκεῖνος γὰρ «Παῦρα μὲν, ἀλλὰ μάλα λιγέως». — 5. Μικρὸν ἀπέλιπον τοῦ μὴ . . . περιπεσεῖν.) Σημειοῦ τὴν πλεονάζουσαν ἀπογόρευσιν, τῶν Ἀττικῶν οὖσαν καὶ ταύτην. Ἡ συνήθεια δὲ, ὑπεριδοῦσα τοῦτο, τὰ λοιπὰ παραπλησίως ἐκφράζει, Ὀλίγον ἔλειψαν νὰ πέσωσιν εἰς τὰς ἐσχάτας συμφορὰς, λέγουσα, καὶ κατὰ πλείωνα χρῆσιν, Ὀλίγον ἔλειψε νὰ πέσωσι καὶ τὰ λοιπά.

§ 7. Προσέχοντας.) Οὐκ ὀρθῶς γέγραπται, Παρέχοντας, ἐν τῷ ἐμῷ ἀντιγράφῳ, καθάπερ καὶ ἔν τινι τῶν πρὸ ἐμοῦ παραβληθέντων.

§ 8. 2. Ὀνόματι . . . κοινοτάτῳ καὶ πρᾳοτάτῳ.) Τῷ τῆς δημοκρατίας δηλονότι. — 3. Τὴν δὲ ἐξουσίαν τοῦ πάντα ποιεῖν εὐδαιμονίαν.) Ἔτρεψα τὸ, Ταῦτα, εἰς τὸ Πάντα· ἐρεῖ γὰρ οὐ μόνον ἐν τοῖς ἑξῆς τοῦδε τοῦ λόγου (§ 14.) «Ἐξῆν αὐτοῖς ποιεῖν ὅ,τι βουλη»θεῖεν,» ἀλλὰ καὶ ἐν τῷ Παναθηναϊκῷ (§ 50) τὴν αὐτὴν ταύτην ἑτέροις ῥήμασιν ἑρμηνεύων διάνοιαν, «Τὴν δ' ἐξου»σίαν τοῦ ὅ,τι βούλεταί τις ποιεῖν, εὐ»δαιμονίαν.» Ἔπιθι καὶ τὸν Ἀριστοτέλην (Πολιτκ. ς', δ'.) μαρτυροῦντά μου τῇ διορθώσει· ἣν καὶ οἱ πρὸ ἐμοῦ συνῆκαν μὲν, ὤκνησαν δὲ καταχωρίσαι εἰς τὸ κείμενον. — 4. Βελτίους.) Ἐν ἅπασι φέρεται κακῶς, Βελτίους μὲν, πλὴν ἑνὸς τῶν πρὸ ἐμοῦ παραβληθέντων ἀντιγράφων, ᾧπερ δεῖν ἔγνω ἀκολου-

καὶ τῆς μὲν ταὐτὸν ἅπασιν ἀπονεμούσης, τῆς δὲ πρὸς τὸ προσῆκον ἑκάστοις, οὐκ ἠγνόουν τούτων τὴν χρησιμωτέραν· ἀλλὰ τὴν μὲν τῶν αὐτῶν ἀξιοῦσαν τοὺς χρηστοὺς καὶ πονηροὺς ἀπεδοκίμαζον, ὡς οὐ δικαίαν οὖσαν· τὴν δὲ κατ' ἀξίαν ἕκαστον τιμῶσαν καὶ κολάζουσαν προῃροῦντο, καὶ διὰ ταύτης ᾤκουν τὴν πόλιν, οὐκ ἐξ ἁπάντων τὰς ἀρχὰς κληροῦντες, ἀλλὰ τοὺς βελτίστους,[5] καὶ τοὺς ἱκανωτάτους, ἐφ' ἕκαστον τῶν ἔργων προκρίνοντες.[6] Τοιούτους γὰρ ἤλπιζον ἔσεσθαι καὶ τοὺς ἄλλους, οἷοί περ ἂν ὦσιν οἱ τῶν πραγμάτων ἐπιστατοῦντες. Ἔπειτα καὶ δημοτικωτέραν ἐνόμιζον ταύτην εἶναι τὴν κατάστασιν, τῆς διὰ τοῦ λαγχάνειν γιγνομένης. Ἐν μὲν γὰρ τῇ κληρώσει τὴν τύχην βραβεύειν, καὶ πολλάκις λήψεσθαι τὰς ἀρχὰς τοὺς ὀλιγαρχίας ἐπιθυμοῦντας· ἐν δὲ τῷ προκρίνειν τοὺς ἐπιεικεστάτους, τὸν δῆμον ἔσεσθαι κύριον ἑλέσθαι τοὺς ἀγαπῶντας μάλιστα τὴν καθεστῶσαν πολιτείαν.

§ 9. Αἴτιον δ' ἦν τοῦ ταῦτα τοῖς πολλοῖς ἀρέσκειν, καὶ μὴ περιμαχήτους εἶναι τὰς ἀρχὰς, ὅτι μεμελετηκότες ἦσαν ἐργάζεσθαι καὶ φείδεσθαι, καὶ μὴ τῶν μὲν οἰκείων ἀμελεῖν, τοῖς δ' ἀλλοτρίοις ἐπιβουλεύειν· μηδ' ἐκ τῶν δημοσίων τὰ σφέτερ' αὐτῶν διοικεῖν, ἀλλ' ἐκ τῶν ἑκάστοις ὑπαρχόντων, ὁπότε δεήσειε,[2] καὶ τοῖς κοινοῖς ἐπαρκεῖν, μηδ' ἀκριβέστερον εἰδέναι τὰς ἐκ τῶν ἀρχείων[3] προσόδους, ἢ τὰς ἐκ τῶν ἰδίων γιγνομένας αὐτοῖς. Οὕτω δὲ ἀπείχοντο τῶν τῆς πόλεως, ὥστε χαλεπώτερον ἦν ἐν ἐκείνοις τοῖς χρόνοις εὑρεῖν τοὺς βουλομένους ἄρχειν, ἢ νῦν τοὺς μηδὲν δεομένους· οὐ γὰρ ἐμπορίαν, ἀλλὰ λειτουργίαν ἐνόμιζον εἶναι τὴν τῶν κοινῶν ἐπιμέλειαν· οὐδ' ἀπὸ τῆς πρώτης ἡμέρας ἐσκόπουν, εἴ τι λῆμμα παραλελοίπασιν οἱ πρότερον ἄρχοντες, ἀλλὰ πολὺ μᾶλλον, εἴ τινος πράγματος κατημελήκασι τῶν τέλος ἔχειν κατεπειγόντων. Ὡς δὲ συντόμως εἰπεῖν, ἐκεῖνοι διεγνωκότες ἦσαν, ὅτι δεῖ τὸν μὲν δῆμον ὥσπερ τύραννον καθιστάναι τὰς ἀρχὰς, καὶ κολάζειν τοὺς ἐξαμαρτάνοντας, καὶ κρίνειν περὶ τῶν ἀμφισβητουμέ-

θῆται, διὰ τὸ ἀνανταπόδοτον τοῦ Συνδέσμου. — 5. Τοὺς βελτίστους.) Καὶ αὕτη ἡ γραφὴ ἔκ τινος τῶν πρὸ ἐμοῦ ἀντιγράφων, ἣν περειλήφασιν ὅ,τ' Αὔγηρος καὶ ὁ Λάγγιος, ἀντὶ τοῦ, Τοὺς βελτίους. — 6. Προκρίνοντες.) Οὕτω Λάγγιος ἔκ τινος ἀντιγράφου, ἀντὶ τοῦ Προκρίναντες.

§ 9. 2. Ὁπήτε δεήσειε.) Ἀντὶ τοῦ, Ὁ'πότε, ἐν τῷ ἐμῷ γράφεται, Ἐνίοτε καθὰ καὶ ἔν τινι τῶν οἷς ἐχρήσατο ὁ Λάγγιος· ἡ δὲ τοιαύτη γραφὴ ἦν ἂν, ὡς ὀρθῶς κρίνει, οὐκ ἀδόκιμος, εἴ γ' ἔλειπε τὸ, Δεήσειε. — 3. Τῶν ἀρχείων.) Εἰ μὴ ἡμάρτηται ἡ γραφὴ (ἀντὶ τοῦ, Τῶν ἀρχῶν,) Ἀρχεῖα ἐνταῦθα τοὺς δημοσίους οἴκους λέγει, ἐν οἷς διημερεύουσι καὶ τὰ τῆς ἀρχῆς πράττουσιν οἱ Ἄρχοντες, καθὰ καὶ Βασίλεια, ἐν οἷς ὁ βασιλεύς. Ἡσύχιος δὲ φησιν, «Ἀρχεῖα, »ἔνθα οἱ δημόσιοι χάρται ἢ χαρτοφυλάκια·» εἰσὶ δὲ ταῦτα τὰ τοῖς Ἰταλοῖς Archivi καὶ τοῖς Γαλάταις Archives

νων· τοὺς δὲ σχολὴν ἄγειν δυναμένους, καὶ βίον[4] ἱκανὸν κεκτημένους, ἐπιμελεῖσθαι τῶν κοινῶν ὥςπερ [τῶν] οἰκειοτάτων·[5] καὶ δικαίους μὲν γενομένους ἐπαινεῖσθαι, καὶ στέργειν ταύτην τὴν τιμὴν, κακῶς δὲ διοικήσαντας, μηδεμιᾶς συγγνώμης τυγχάνειν, ἀλλὰ ταῖς μεγίσταις ζημίαις περιπίπτειν. Καίτοι πῶς ἄν τις ταύτης ἢ βεβαιοτέραν, ἢ δικαιοτέραν δημοκρατίαν εὕροι, τῆς τοὺς μὲν δυνατωτάτους ἐπὶ τὰς πράξεις καθιστάσης, αὐτῶν δὲ τούτων τὸν δῆμον κύριον ποιούσης;

§ 10. Τὸ μὲν οὖν σύνταγμα τῆς πολιτείας τοιοῦτον ἦν αὐτοῖς. Ῥᾴδιον δ' ἐκ τούτων καταμανθάνειν, ὡς καὶ τὰ καθ' ἡμέραν ἑκάστην ὀρθῶς καὶ νομίμως πράττοντες διετέλεσαν. Ἀνάγκη γὰρ τοὺς περὶ ὅλων τῶν πραγμάτων καλὰς τὰς ὑποθέσεις πεποιημένους, καὶ κατὰ τὰ μέρη τὸν αὐτὸν τρόπον ἔχειν ἐκείνοις.[2]

§ 11. Καὶ πρῶτον μὲν τὰ περὶ τοὺς θεοὺς (ἐντεῦθεν γὰρ ἄρξασθαι δίκαιον εἶναί μοι δοκεῖ)[2] οὐκ ἀνωμάλως οὐδ' ἀτάκτως, οὔτ' ἐθεράπευον οὔτ' ὠργίαζον· οὐδ', εἴποτε μὲν δόξειεν αὐτοῖς, τριακοσίας[3] βοῦς ἔπεμπον· ὁπότε δὲ τύχοιεν, τὰς πατρίους θυσίας ἐξέλειπον· οὐδὲ τὰς μὲν ἐπιθέτους ἑορτὰς,[4] αἷς ἑστίασίς τις προσείη,[5] μεγαλοπρεπῶς ἦγον, ἐν δὲ τοῖς ἁγιωτάταις τῶν ἱερῶν[6] ἀπὸ μισθωμάτων[7]

καλούμενα. — 4. Βίον.) Τὴν περιουσίαν, καθὰ καὶ ἐν τῇ συνηθείᾳ ἥτις οὐ μόνον ἀρσενικῶς, ἀλλὰ καὶ οὐδετέρως, Τὸ βίος, ἔσθ' ὅτε λέγει, ὥσπερ ἐλέχθη ἐν τοῖς πρόσθεν. — 5. Ὥσπερ τῶν οἰκειοτάτων.) Προσέθηκα τὸ ἄρθρον, ἀναγκαῖόν μοι δόξαν ἐνταῦθα.

§ 10. Τοὺς περὶ ὅλων τῶν πραγμάτων καλὰς τὰς ὑποθέσεις πεποιημένους καὶ κατὰ τὰ μέρη τὸν αὐτὸν τρόπον ἔχειν ἐκείνοις.) Οὕτως ἐν ταῖς πρὸ τοῦ Οὐολφίου ἐκδόσεσι, φέρεται, καθὰ καὶ ἐν τῷ ἐμῷ ἀντιγράφῳ, Καὶ κατὰ τὰ μέρη, ἀντὶ τοῦ, καὶ τὰ κατὰ μέρη. Καί μοι δοκεῖ ἡ τοιαύτη γραφὴ, Καὶ τὰ κατὰ μέρη, διόρθωσις εἶναι, ἵνα συνάπτοιτο καταλληλότερον τῇ παρ' ἅπασι φερομένῃ τῶν προηγουμένων γραφῇ κατὰ δοτικὴν Τοῖς πεποιημένοις. Ταύτην οὖν ἡμεῖς τρέψαντες εἰς αἰτιατικὴν, διὰ τὴν συνήθειαν τοῦ ῥήτορος (σελ. 145, ιϛ΄, 154, λε΄, 172, κε΄, 176, 295 θ΄) φυλάξαι προσήκειν ἔγνωμεν καὶ τὴν γραφὴν Καὶ κατὰ τὰ μέρη. Ὁ νοῦς, Ἀνάγκη τοὺς τοῖς ὅλοις πράγμασι, τουτέστι τῇ πολιτείᾳ, καλὰς ὑποθέσεις, ἤγουν ἀρχὰς καὶ θεμελίους ὑποβεβληκότας, τὸν αὐτὸν τρόπον ἐκείνοις ἔχειν καὶ κατὰ τὰ μέρη.

§ 11. 2. Δίκαιον εἶναί μοι δοκεῖ.) Οὕτω διώρθωκα τὸ ἐν τῷ ἐμῷ ἀντιγράφῳ, Δίκαιον ἤ μοι δοκεῖ· ἐν ἑτέρῳ δέ τινι τῶν πρὸ ἐμοῦ, Δίκαιον ἦν μοι δοκεῖ· ἐν ἄλλῳ δὲ δίκαιον ἡμῖν δοκεῖ. — 3. Τριακοσίας.) Εἰς τοῦτο ἔτρεψα τὸ παρ' ἅπασι Τριακοσίους. Τὰς Βοῦς γὰρ θηλυκῶς οἱ Ἀττικοὶ οὐ Τοὺς βοῦς, λέγειν εἰώθασι. Καὶ μάρτυς αὐτὸς Ἰσοκράτης οὕτως ἐν ἄλλοις (σελ. 117 καὶ 210) χρησάμενος τῇ λέξει, ᾧ προστίθητι καὶ τὸν Ἀριστοφάνην (Ἱππ. 659.) — 4. Ἐπιθέτους ἑορτάς.) Τὰς μὴ πατρίους ἄλλως δὲ ἐπιψηφισθείσας ἧπερ ἐξηγεῖται ὁ Ἁρποκρατίων. — 5. Αἷς ἑστίασίς τις προσείη.) Τὰς δημοθοινίας λέγει περὶ ὧν καὶ Ξενοφῶν (Ἀθήν πολιτ. Β θ΄.) φησὶ, «Θύουσιν οὖν δημοσίᾳ μὲν ἡ πόλις ἱερεῖα πολλά· ἔστι »δὲ ὁ δῆμος ὁ εὐωχούμενος, καὶ δια»λαγχάνων τὰ ἱερεῖα.» — 6. Ἐν δὲ τοῖς ἁγιωτάτοις τῶν ἱερῶν.) Ἃ φθὰς πατρίους θυσίας ἐκάλεσεν· ἦσαν δὲ ταῦτα τὰ ἐν ταῖς κύρβεσι γεγραμμένα, ἢ δῆλον γενήσεται τῷ βουλομένῳ παραβαλεῖν τὰ Ἰσοκράτους τοῖς τοῦ Λυσίου (κατὰ Νικομάχ. Τόμ. Β. σελ 220.) — 7. Ἀπὸ μισθωμάτων.) Ἐξηγεῖται παρὰ τῷ Ἁρποκρατίωνι, (σελ. 23) τὸ, ἀπὸ μισθωμάτων, ὁ Δίδυμος τοῦτον

ἔθυον· ἀλλ' ἐκεῖνο μόνον ἐτήρουν, ὅπως μηδὲν μήτε τῶν πατρίων καταλύσουσι, μήτ' ἔξω τῶν νομιζομένων προσθήσουσιν.[8] Οὐ γὰρ ἐν ταῖς πολυτελείαις ἐνόμιζον εἶναι τὴν εὐσέβειαν, ἀλλ' ἐν τῷ μηδὲν κινεῖν ὧν αὐτοῖς οἱ πρόγονοι παρέδοσαν. Τοιγάρτοι[9] καὶ τὰ παρὰ τῶν θεῶν οὐκ ἐμπλήκτως,[10] οὐδὲ ταραχωδῶς αὐτοῖς συνέβαινεν, ἀλλ' εὐκαίρως, καὶ πρὸς τὴν ἐργασίαν τῆς χώρας, καὶ πρὸς τὴν συγκομιδὴν τῶν καρπῶν.

§ 12. Παραπλησίως δὲ τοῖς προειρημένοις καὶ τὰ πρὸς σφᾶς αὐτοὺς διῴκουν. Οὐ γὰρ μόνον περὶ τῶν κοινῶν ὡμονόουν, ἀλλὰ καὶ περὶ τὸν ἴδιον βίον τοσαύτην ἐποιοῦντο πρόνοιαν ἀλλήλων,

---

τὸν τρόπον· «Ἐκ τῶν τεμενικῶν προ»σόδων· ἑκάστῳ γὰρ θεῷ πλέθρα γῆς »ἀπένεμον, ἐξ ὧν μισθουμένων αἱ εἰς τὰς »θυσίας ἐγίνοντο δαπάναι· οὐ γὰρ κατ' »εὐσέβειαν ἔθυον τὰ ἱερεῖα, ἀλλὰ μι»σθούμενοι.» Ἀλλὰ (χρὴ γὰρ τἀληθὲς φάναι) ἡ τοῦ Διδύμου ἐξήγησις αὐτὴ αὐτοῦ τοῦ ἐξηγημένου ἀπορωτέρα μοι ἔδοξεν. Οὐδὲν γὰρ μᾶλλον ἦν ἀσεβὲς τὸ ἐκ τῶν τεμενικῶν προσόδων θύειν τοῖς θεοῖς, τοῦ γιγνομένου νῦν παρ' ἡμῖν ἐν ταῖς χριστιανικαῖς ἑορταῖς, εἰς ἃς ἡ γιγνομένη δαπάνη ἐκ τῶν ἀπονενεμημένων τοῖς ναοῖς προσόδων ἐστίν. Εἰς τοῦτο γὰρ πάλαι τε καὶ νῦν ἀπονενέμηνται τοῖς ναοῖς αἱ πρόσοδοι, ἵν' οἱ διοικοῦντες αὐτοὺς δαπανᾶν ἔχωσιν ὁπότε δεήσειεν, εἰς τὰς ἑορτὰς καὶ τὰς ἀεὶ προσπιπτούσας λοιπὰς χρείας. Ἔστι δὲ καὶ ἐκ τοῦ Λυσίου (κατὰ Νικομάχ. Β. σελ. 220) πιστώσασθαι, ὅτι τὸ ἀπὸ τῶν προσόδων θύειν ἑτερόν τί ἐστι τοῦ ἀπὸ μισθωμάτων· ταὐτὰ γὰρ τῷ Ἰσοκράτει κἀκεῖνος λέγει περὶ τῆς τῶν πατρίων ὀλιγωρίας, διὰ τὴν εἰς τὰ περιττὰ ἀσωτίαν· «Πῶς δ' ἂν τις ΕΥ»ΣΕΒΕΣΤΕΡΟΣ γένοιτο ἐμοῦ, ὅστις ἀξιῶ »πρῶτον μὲν κατὰ τὰ ΠΑΤΡΙΑ ΘΥ»ΕΙΝ· ἔπειτα ἃ μᾶλλον συμφέρει τῇ »πόλει· ἔτι δὲ ἃ ὁ δῆμος ἐψηφίσατο, καὶ »δυνησόμεθα δαπανᾶν ἐκ τῶν ΠΡΟΣΙ»ΟΝΤΩΝ ΧΡΗΜΑΤΩΝ. Σὺ δέ, ὦ Νι»κόμαχε τούτων τἀναντία πεποίηκας· »ἀναγράψας γὰρ πλείω τῶν προστα»χθέντων αἴτιος γεγένησαι τὰ προσιόντα χρήματα εἰς ταῦτα μὲν ἀναλίσκε»σθαι, ἐν δὲ ταῖς πατρίοις θυσίαις »ἐπιλείπειν κ. τ. λ.» Μήποτε οὖν τό, Ἀπὸ μισθωμάτων, ἐκεῖνο μᾶλλον σημαίνει, ὅπερ ἡ συνήθεια ἀπὸ κοπτικοῦ, ἤ, Ἀποκοπτικοῦ, λέγει, ἡ δὲ τῶν Γαλατῶν φωνὴ Au radais, ὡς ἐξεδέξατο καὶ Οὐαλέσιος ἐν ταῖς εἰς Ἁρποκρατίωνα σημειώσεσιν. Ἔστι δὲ τοῦτο τὸ μισθοῦ ἐκδιδόναι τινί, οὐ κατὰ μέρη, ἀλλ' ὁλοκλήρως οὕτως, ὥστε τὸν ἐργολαβήσαντα ἐπ' ἀδήλῳ σαλεύειν τῷ κέρδει τῷ ἀπὸ τούτου ἢ τῇ ζημίᾳ, οὐδὲν ἧττον ἢ τὸν ἐκδόντα· οἷον, ἐπὶ τοῦ προκειμένου, εἰ ἔδει ἑκατόμβην τοῖς θεοῖς θῦσαι κατὰ τὰ πάτρια, αἱ δὲ πρόσοδοι οὐκ ἐξήρκουν εἰς ἑκατὸν βοῶν ὠνήν, διὰ τὸ προκαταναλῶσθαι αὐτὰς εἰς τὰς μὴ πατρίους, ἀλλ' ἐπιθέτους ἑορτὰς καὶ θυσίας ἐμίσθουν οἱ τῶν ἱερῶν διοικηταὶ τὴν ἑορτὴν καὶ τὴν θυσίαν τῷ ἐξ ἐλαχίστου ποιήσειν αὐτὰς ὑφισταμένῳ· καὶ ἐκαλεῖτο τοῦτο, Ἀπὸ μισθωμάτων θύειν. Οὐ μόνον δὲ θυσίας, ἀλλὰ καὶ τριηραρχίας, καὶ τὰς ἄλλας λειτουργίας ἀπὸ μισθωμάτων ἐλειτούργουν, ἢ δῆλον ἐξ ὧν φησὶ (Περὶ τῆς τοῦ Στεφ. τριηραρχ. σελ. 1230) Δημοσθένης, «Σκεψάμενοι γὰρ τὸν ἘΞ »ΕΛΑΧΙΣΤΟΥ τριηραρχεῖν βουλόμενον »ΜΕΜΙΣΘΩΚΑΣΙ τὴν λειτουργίαν.» — — 8. Καταλύσουσι . . . προσθήσουσι.) Τὸ μὲν πρῶτον ἐξ ἀρχαίας ἐκδόσεως, ἀντὶ τοῦ, Καταλύσωσι, τὸ δὲ δεύτερον καὶ ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ἀντὶ τοῦ Προσθήσωσιν. — 9. Τοιγάρτοι.) Ἐν τῷ ἐμῷ φέρεται, Καὶ γάρ τοι· καθὰ καὶ κατωτέρω (§ 12) ἐρεῖ, «Καὶ γάρ »τοι διὰ ταύτην τὴν γνώμην» Διαφέρει δὲ οὐδενί, ὡς εἰπεῖν, ἑτέρῳ, ἢ τῷ σπανιώτερον εἶναι τό, Καὶ γάρ τοι, τοῦ, Τοιγάρτοι· τὸ μὲν γὰρ σημαίνει, Καί γ' ἄρα τούτῳ (τουτέστι διὰ τοῦτο,) τὸ δέ, Τούτῳ γ' ἄρα τούτῳ· τὸ γὰρ Τοι, σύνδεσμος ἡ ἀντωνυμικὴ δοτική, Τῷ, ἐστὶ κατὰ τὴν ἀρχαίαν γραφήν, τὴν πρὸ τῆς εὑρέσεως τοῦ ω. — 10. Ἐμπλήκτως.) Εὐμεταβόλως· ὅπερ Ὅμηρος, Ἐμπληγδὴν λέγει.

ὅσην περ χρὴ τοὺς εὖ φρονοῦντας, καὶ πατρίδος κοινωνοῦντας. Οἵ τε γὰρ πενέστεροι τῶν πολιτῶν τοσοῦτον ἀπεῖχον τοῦ φθονεῖν τοῖς πλείω κεκτημένοις, ὥστε ὁμοίως ἐκήδοντο τῶν οἴκων τῶν μεγάλων, ὥσπερ τῶν σφετέρων αὐτῶν, ἡγούμενοι τὴν ἐκείνων εὐδαιμονίαν αὐτοῖς εὐπορίαν ὑπάρχειν· οἵ τε τὰς οὐσίας ἔχοντες, οὐχ ὅπως ὑπερεώρων τοὺς καταδεέστερον πράττοντας, ἀλλ' ὑπολαμβάνοντες αἰσχύνην αὐτοῖς εἶναι τὴν τῶν πολιτῶν ἀπορίαν, ἐπήμυνον ταῖς ἐνδείαις, τοῖς μὲν γεωργίας[2] ἐπὶ μετρίαις μισθώσεσι παραδιδόντες, τοὺς δὲ κατ' ἐμπορίαν ἐκπέμποντες, τοῖς δὲ εἰς τὰς ἄλλας ἐργασίας ἀφορμὴν[3] παρέχοντες. Οὐδὲ γὰρ ἐδεδίεσαν, μὴ δυοῖν θάτερον πάθοιεν, ἢ πάντων στερηθεῖεν, ἢ, πολλὰ πράγματα σχόντες, μέρος τι κομίσαιντο τῶν πρόσθεν ὄντων· ἀλλ' ὁμοίως ἐθάῤῥουν περὶ τῶν ἔξω διδομένων, ὥσπερ περὶ τῶν ἔνδον ἀποκειμένων. Ἑώρων γὰρ τοὺς περὶ τῶν τοιούτων κρίνοντας, οὐ ταῖς ἐπιεικείαις[4] καταχρωμένους, ἀλλὰ τοῖς νόμοις πειθομένους· οὐδ' ἐν τοῖς τῶν ἄλλων ἀγῶσιν αὐτοῖς ἀδικεῖν ἐξουσίαν παρασκευάζοντας, ἀλλὰ μᾶλλον ὀργιζομένους τοῖς ἀποστεροῦσιν αὐτῶν τῶν ἀδικουμένων, καὶ νομίζοντας, διὰ τοὺς ἄπιστα τὰ συμβόλαια ποιοῦντας, μείζω βλάπτεσθαι τοὺς πένητας τῶν πολλὰ κεκτημένων· τοὺς μὲν γὰρ, ἢν παύσονται προσποιούμενοι,[5] μικρῶν προσόδων ἀποστερήσεσθαι· τοὺς δὲ, ἂν ἀπορή-

§ 12. 2. Οἵ τε τὰς οὐσίας ἔχοντες ... ὑπολαμβάνοντες αἰσχύνην αὐτοῖς εἶναι τὴν τῶν πολιτῶν ἀπορίαν, ἐπήμυνον ταῖς ἐνδείαις, τοῖς μὲν γεωργίας κ. τ. λ.) Τοῦτο γάρ ἐστιν ἀληθῶς τὸ κήδεσθαι τῶν πενήτων· οὐ τὸ χαλκᾶ κερμάτια διανέμειν ἅπαξ ἢ δὶς τῆς ἑβδομάδος τοῖς πρὸ τῶν θυρῶν ἀθροιζομένοις ἀργοῖς ἀνθρωπίοις, καὶ ἐπὶ τῇ ἠλιθίῳ ταύτῃ διανομῇ ἀπειροκάλως σεμνύνεσθαι. — 3. Ἀφορμήν.) Χρημάτων χορηγίαν, ἀφ' οἷς ὁρμώμενος ἐργάζεταί τις τέχνην τινὰ ἢ ἐμπορίαν. Οἱ δὲ μεταγενέστεροι καὶ, Ἐθνικὴν, αὐτὴν ἐκάλεσαν (Φρύνιχ. σελ. 96,) καὶ, Προβολὴν (Σχολιαστ. Εὐριπ. Μηδ. 342.) καὶ τοῦτο ἂν εἴη τὸ τῶν Γερμανῶν Vorschuss. Τῶν δὲ νῦν οἱ μὲν Ἰταλοχυδαΐζοντες, Καπιτάλε, οἱ δὲ Τουρκοχυδαΐζοντες, Σερμαγίαν, καλοῦσι, προσῆκον καλεῖν Κεφάλαιον. — 4. Ταῖς Ἐπιεικίαις.) Ταῖς, ὡς ἂν ἡ συνήθεια φαίη, συγκαταβάσεσιν. Ἔστι γὰρ ἐπιεικὲς ὡς ὡρίσατο ὁ Σταγειρίτης (Ῥητορικ. Α, ιγ΄.) τὸ παρὰ τὸν γεγραμμένον νόμον δίκαιον. Οἷον ὁ μὲν νόμος κελεύει τὸν μὴ ἀποδιδόντα τὰ ὀφειλόμενα καθείργνυσθαι, ἕως ἂν ἐκτίσῃ· καὶ τοῦτό ἐστι δίκαιον. Ἐὰν δέ τις τὸν διὰ πενίαν ἤ τινα ἄλλην συμφορὰν, μὴ ἀποδιδόντα ὑπομένῃ ἕως ἂν εὐπορήσῃ, ἢ καὶ μέρος τι τοῦ ὀφλήματος ἀπολαμβάνων τοῦ λοιποῦ ἀπαλλάττῃ, τοῦτο λέγεται ἐπιεικές. — 5. Ἢν παύσωνται προσποιούμενοι.) Ὁ Οὔολφιος ἐξηγεῖται τὸ χωρίον τοῦτο, «Ἐὰν παύσωνται προσποιεῖν, πορίζεσθαι ἐπὶ τοῖς πρότερον »ὑπάρχουσι, καὶ δανείζειν.» Παραπλησίως ἐξεδέξαντο τῶν λεγομένων τὸν νοῦν, ὅ,τε Ἰταλὸς μεταφραστὴς, Se questi dal mercantare si rimoveano, καὶ οἱ πρὸ ἐμοῦ δύο ἐκδόται. Θαυμαστὸν δ' ὅτι Ἁρποκρατίων (σελ. 302,) τὸ προσποιοῦμαι ἐξηγούμενος, οὐδεμίαν ἐποιήσατο τῆς παρὰ Ἰσοκράτει ταύτης σημασίας μνείαν· »Προσεποιήσαντο, ἀντὶ τοῦ Ἀντεποιήσαν»το, Ἰσαῖος ἐν τῷ κατὰ Νικοδήμου. Οὐδεὶς »πώποτε προσεποιήσατο, οὐδ' ἠμφισβήτη»σε τῆς κληρονομίας ἐκείνων.» Ῥητέον οὖν ὅτι τῷ παρ' Ἰσοκράτει, Προσποιούμενοι, ἢ ταὐτὸν δύναται, τῷ, προσπορίζόμενοι, ἢ ἀντ' αὐτοῦ τούτου, ἀβλεψίᾳ τῶν γραψάντων, ἐν τῷ κειμένῳ

σωσι τῶν ἐπαρκούντων, εἰς τὴν ἐσχάτην ἔνδειαν κατασταθήσεσθαι.[6] Καὶ γάρ τοι διὰ ταύτην τὴν γνώμην οὔτε ἀπεκρύπτετο τὴν οὐσίαν,[7] οὔτε ὤκνει συμβάλλειν οὐδεὶς, ἀλλ' ἥδιον ἑώρων τοὺς δανειζομένους, ἢ τοὺς ἀποδιδόντας. Ἀμφότερα γὰρ αὐτοῖς συνέβαινεν, ἅπερ ἂν βουληθεῖεν ἄνθρωποι νοῦν ἔχοντες· ἅμα γὰρ τούς τε πολίτας ὠφέλουν, καὶ τὰ σφέτερ' αὐτῶν ἐνεργὰ καθίστασαν. Κεφάλαιον δὲ τοῦ καλῶς ἀλλήλοις ὁμιλεῖν· αἱ μὲν γὰρ κτήσεις ἀσφαλεῖς ἦσαν, οἷς περ κατὰ τὸ δίκαιον ὑπῆρχον, αἱ δὲ χρήσεις[8] ἐπίσης κοιναὶ πᾶσι τοῖς δεομένοις τῶν πολιτῶν.

§ 13. Ἴσως ἂν οὖν τινες ἐπιτιμήσειαν τοῖς εἰρημένοις, ὅτι τὰς μὲν πράξεις ἐπαινῶ τὰς ἐν ἐκείνοις τοῖς χρόνοις γεγενημένας, τὰς δὲ αἰτίας οὐ φράζω, δι' ἃς οὕτω καλῶς καὶ πρὸς σφᾶς αὐτοὺς εἶχον, καὶ τὴν πόλιν διῴκουν. Ἐγὼ δὲ οἶμαι μὲν εἰρηκέναι τι καὶ τοιοῦτον· οὐ μὴν ἀλλ' ἔτι πλείω καὶ σαφέστερον πειράσομαι διαλεχθῆναι περὶ αὐτῶν.

§ 14. Ἐκεῖνοι γὰρ οὐκ ἐν μὲν ταῖς παιδείαις[2] πολλοὺς τοὺς ἐπιστατοῦντας εἶχον, ἐπειδὴ δ' εἰς ἄνδρας δοκιμασθεῖεν, ἐξῆν αὐτοῖς ποιεῖν ὅ,τι βουληθεῖεν, ἀλλ' ἐν αὐταῖς ταῖς ἀκμαῖς πλείονος ἐπιμελείας ἐτύγχανον, ἢ παῖδες ὄντες. Οὕτω γὰρ οἱ πρόγονοι ἡμῶν περὶ τὴν σωφροσύνην ἐσπούδαζον, ὥστε τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐπέστησαν ἐπιμελεῖσθαι τῆς εὐκοσμίας· ἧς οὐχ οἷόν τ' ἦν[3] μετασχεῖν, πλὴν τοῖς καλῶς γεγονόσι, καὶ πολλὴν ἀρετὴν καὶ σωφροσύνην ἐν τῷ βίῳ ἐνδεδειγμένοις, ὥστε πάντων αὐτὴν εἰκότως διενεγκεῖν τῶν ἐν τοῖς Ἕλλησι συνεδρίων.

§ 15. Σημείοις δ' ἄν τις χρήσαιτο, περὶ τῶν τότε καθεστώτων, καὶ τοῖς ἐν τῷ παρόντι γιγνομένοις· ἔτι γὰρ καὶ νῦν ἁπάντων τῶν περὶ τὴν αἵρεσιν καὶ τὴν δοκιμασίαν ταύτην καθημένων,[2]

---

κατεχωρίσθη. — 6. Κατασταθήσεσθαι.) Γράφε, Καταστήσεσθαι, οὐ μόνον ὅτι καὶ μικρὸν πρὸ τούτου, Ἀποστερήσεσθαι, καὶ οὐκ Ἀποστερηθήσεσθαι, εἴρηκεν, ἀλλ' ὅτι καὶ ἀλλαχοῦ (σελ. 129, λϐ΄.) τῷ Καταστήσεσθαι ἐχρήσατο· φιλοῦσι γὰρ οἱ Ἀττικοὶ τοῖς καλουμένοις μέσοις μέλλουσιν ἀντὶ τῶν πρώτων χρῆσθαι. — 7. Ἀπεκρύπτετο τὴν οὐσίαν.) Κατὰ μέσην διάθεσιν, ἵν' ᾖ ὁ νοῦς, Ἀπέκρυπτε τὴν ἑαυτοῦ οὐσίαν· εἰ γὰρ ἔλεγεν, Ἀπέκρυπτε τὴν οὐσίαν ἄδηλον ἂν ἦν πότερον τὴν ἑαυτοῦ, ἢ τὴν ἑτέρου οὐσίαν ἠβούλετο λέγειν. — 8. Χρήσεις.) Παρελείφθη ἐν τῷ ἐμῷ, καθάπερ καὶ ἐν ἑτέροις τισὶ τῶν πρὸ τοῦ ἐμοῦ ἀντιγράφων ἡ λέξις αὕτη.

§ 14. 2. Παιδείαις.) Ἀγωγαῖς τῶν παίδων· οἱ δὲ πρὸ ἐμοῦ, πλὴν τοῦ Στεφάνου, ἔκ τε διορθώσεως Οὐολφίου, καὶ ἑνὸς τῶν ἀντιγράφων, γράφουσι Παιδίαις, τουτέστι, ταῖς παιδικαῖς ἡλικίαις — 3. Ἧς οὐχ οἷόν τ' ἦν κ. τ. λ.) Πρὸς τὸ, Βουλῆς, τὸ, Ἧς, οὐ πρὸς τὸ, Εὐκοσμίας.

§ 15. 2. Τῶν περὶ τὴν αἵρεσιν καὶ τὴν δοκιμασίαν ταύτην καθημένων.) Ὁ μὲν νοῦς οὐκ ἀσαφὴς, ἥ γε μὴν λέξις εἰκότως οὐκ ἔδοξεν ἀπηλλάχθαι παντάπασιν ὑπονοίας τῷ Οὐολφίῳ, ὃς ᾤετο, ἀντὶ τοῦ, Καθημένων, ἀναγνωστέον ἴσως εἶναι, Καθειμένων, παρὰ τὸ, Καθίεμαι, μέσον ῥῆμα. Καὶ καλῶς ἂν εἶχεν οὕτω γράφειν, εἰ καὶ ἀντὶ τῆς, Περὶ, ἡ, Ἐπὶ, παρελαμβάνετο πρόθεσις ἵν' ᾖν, τῶν καθιέντων ἑαυτοὺς ἐπὶ τὴν αἵρεσιν, τουτέστι, τῶν προσερχομένων

ἴδοιμεν ἂν ἐν τοῖς ἄλλοις πράγμασιν οὐκ ἀνεκτοὺς ὄντας, ἐπειδὰν Ἄρειον πάγον ἀναβῶσιν,[3] ὀκνοῦντας τῇ φύσει χρῆσθαι, καὶ μᾶλλον τοῖς ἐκεῖ νομίμοις ἢ ταῖς αὐτῶν κακίαις ἐμμένοντας. Τοσοῦτον ἐκεῖνοι φόβον τοῖς πονηροῖς ἐναπειργάσαντο, καὶ τοσοῦτον μνημεῖον ἐν τῷ τόπῳ τῆς ἑαυτῶν ἀρετῆς καὶ σωφροσύνης ἐγκατέλιπον.

§ 16. Τὴν δὴ τοιαύτην, ὥσπερ εἶπον, κυρίαν ἐποίησαν ἐπιμελεῖσθαι τῆς εὐταξίας, οἳ τοὺς μὲν οἰομένους ἐνταῦθα βελτίστους ἄνδρας γίγνεσθαι, παρ' οἷς οἱ νόμοι μετὰ πλείστης ἀκριβείας κείμενοι τυγχάνουσιν, ἀγνοεῖν ἐνόμιζον.[2] Οὐδὲν γὰρ κωλύειν, ὁμοίους ἅπαντας εἶναι τοὺς Ἕλληνας, ἕνεκά γε τοῦ ῥᾴδιον εἶναι τὰ γράμματα[3] λαβεῖν παρ' ἀλλήλων. Ἀλλὰ γὰρ οὐκ ἐκ [τῶν] τοιούτων[4] τὴν ἐπίδοσιν εἶναι τῆς ἀρετῆς, ἀλλ' ἐκ τῶν καθ' ἑκάστην ἡμέραν ἐπιτηδευμάτων. Τοὺς γὰρ πολλοὺς τοῖς ἤθεσιν ἀποβαίνειν ὁμοίους ἀνάγκη, ἐν οἷς ἂν ἕκαστοι παιδευθῶσιν· ἐπεὶ τά γε πλήθη καὶ τὰς ἀκριβείας τῶν νόμων, σημεῖον εἶναι τοῦ κακῶς οἰκεῖσθαι τὴν πόλιν αὐτήν. Ἐμφράγματα γὰρ αὐτοὺς ποιουμένους τῶν ἁμαρτημάτων, πολλοὺς τίθεσθαι[5] τοὺς νόμους ἀναγκάζεσθαι. Δεῖν δὲ[6] τοὺς εὖ πολιτευομένους οὐ τὰς στοὰς ἐμπιπλάναι γραμμάτων, ἀλλ' ἐν ταῖς ψυχαῖς ἔχειν τὸ δίκαιον. Οὐ γὰρ τοῖς ψηφίσμασιν, ἀλλὰ τοῖς ἤθεσι, καλῶς οἰκεῖσθαι τὰς πόλεις. Καὶ τοὺς μὲν κακῶς τεθραμμένους, καὶ τοὺς ἀκριβῶς τῶν νόμων ἀναγεγραμ-

---

ἐπὶ τὸ δοκιμασθῆναι καὶ αἱρεθῆναι Ἀρειοπαγίτας, ἢ τῶν ἀφιεμένων τῆς τιμῆς ταύτης. — 3. Ἐπειδὰν εἰς Ἄρειον πάγον ἀναβῶσιν.) Ἐν τῷ ἐμῷ, Ἐπειδὰν δ' εἰς κ. τ. λ. Καὶ ἦν ἂν οὐκ ἀδόκιμος ἡ γραφή, εἰ καὶ τὰ προηγούμενα οὕτως ἐγράφετο, «Ἴδοιμεν ἂν τοὺς ΠΟΛΛΟΥΣ, ἐν ΜΕΝ τοῖς ἄλλοις πράγμασιν κ. τ. λ.» Σημείωσαι δὲ καὶ τό, Ἀναβῶσιν, διὰ τὸ ἐπὶ πάγου, τουτέστιν ὄχθου ἢ βουνοῦ ἱδρῦσθαι τὴν βουλὴν τῶν Ἀρειοπαγιτῶν, οὗ καὶ μέχρι δεῦρο καταφανεῖς οἱ βαθμοί, ἐν αὐτῷ τῷ ὄχθῳ πεποιημένοι, ὥς φησιν ὁ Ἄγγλος Χανδλέρος ἐν τῇ τῆς Μικρᾶς Ἀσίας καὶ τῆς Ἑλλάδος περιηγήσει (Τομ. Β, σελ. 432, τῆς Γαλ. μεταφρ). Πάγος δὲ παρὰ τό, Πήγνυμι· οἱ γὰρ ὄχθοι, βουνοί, καὶ ἁπλῶς αἱ πέτραι, γῆ συγκεκριμένη καὶ πεπηγμένη εἰσί, καθὰ καὶ ὁ κυρίως λεγόμενος, Πάγος, καὶ Παγετός, ὕδωρ ἐστὶν ὑπὸ ψύχους συμπεπηγμένον. Τοῦτον δὲ τὸν ἐξ ὕδατος πάγον, οἱ μὲν Ἀρχαῖοι ἀρσενικῶς ἐκάλουν, οἱ μεταγενέστεροι δὲ καὶ τὸ πάγος, οὐδετέρως εἶπον, ὡς εὕρηται παρὰ τοῖς Ἑβδομήκοντα (Ναοὺμ, Γ, ιζ'), καὶ λέγει μέχρι δεῦρο ἡ παρ' ἡμῖν συνήθεια.

§ 16. 2. Οἳ . . . ἀγνοεῖν ἐνόμιζον.) Πρὸς τοὺς Ἀρειοπαγίτας τό, Οἵ. Ἔοικε δὲ καὶ ἑτέρα γραφὴ τὸ πάλαι ὑπάρξαι, Ἣ . . . ἀγνοεῖν ἐνόμιζεν (ἀναφερομένη πρὸς τὴν Βουλήν), ἧς ἴχνη σώζεται ἐν τῷ κακῶς γραφομένῳ, Ἡ, τοῦ ἐμοῦ ἀντιγράφου. Σημείωσαι δὲ τὸ Ἀγνοεῖν ἀπολύτως ἐνταῦθα καὶ ἀμεταβάτως τεταγμένον, ἐπὶ τοῦ, Ἐν ἀγνοίᾳ εἶναι, καθὰ καὶ τὸ ἐν τῇ συνηθείᾳ, Λανθάνω. — 3. Τὰ γράμματα.) Τοὺς νόμους, κατ' ἐξοχήν, καθὰ καὶ ἐν τοῖς πρόσθεν (σελ. 41) εἰρήκαμεν. Ἐν τῷ ἐμῷ ἀντιγράφῳ ἡμαρτημένως, Τὰ πράγματα. — 4. Ἐκ τῶν τοιούτων.) Προσέθηκα τὸ ἄρθρον, λεῖπον παρ' ἅπασι. — 5. Τίθεσθαι.) Προειλόμην ταύτην τὴν γραφήν, ἣν ἐξ ἀντιγράφου παρειλήφασι καὶ οἱ πρὸ ἐμοῦ δύο, τοῦ παρὰ τοῖς λοιποῖς, Γίγνεσθαι. — 6. Δεῖν δέ.) Ἐκ διορθώσεως Οὐολφίου τό, Δεῖν,

μένους τολμήσειν παραβαίνειν, τοὺς δ' ἀσφαλῶς πεπαιδευμένους, καὶ τοῖς κακῶς[7] κειμένοις ἐθελήσειν[8] ἐμμένειν. Ταῦτα δὲ διανοηθέντες, οὐ τοῦτο πρῶτον ἐσκόπουν, δι' ὧν κολάσουσι τοὺς ἀκοσμοῦντας, ἀλλ' ἐξ ὧν κατασκευάσουσι,[9] μηδὲν αὐτοὺς ἄξιον ζημίας βουλήσεσθαι ἁμαρτάνειν. Ἡγοῦντο γὰρ, τοῦτο μὲν αὐτῶν ἔργον εἶναι, τὸ δὲ περὶ τὰς τιμωρίας σπουδάζειν, τοῖς ἐχθροῖς προσήκειν.

§ 17. Ἁπάντων μὲν οὖν ἐφρόντιζον τῶν πολιτῶν, μάλιστα δὲ τῶν νεωτέρων. Ἑώρων γὰρ τοὺς τηλικούτους ταραχωδέστατα διακειμένους, καὶ πλείστων γέμοντας ἐπιθυμιῶν· καὶ τὰς ψυχὰς αὐτῶν παιδευθῆναι μάλιστα δεομένας ἐν ἐπιθυμίαις καλῶν ἐπιτηδευμάτων, καὶ πόνοις ἡδονὰς ἔχουσιν· ἐν μόνοις γὰρ ἂν τούτοις ἐμμένειν τοὺς ἐλευθέρως τεθραμμένους,[2] καὶ μεγαλοφρονεῖν εἰθισμένους. Ἅπαντας μὲν οὖν ἐπὶ τὰς αὐτὰς ἄγειν διατριβὰς οὐχ οἷόν τ' ἦν, ἀνωμάλως τὰ περὶ τὸν βίον ἔχοντας· ὡς δὲ πρὸς τὴν οὐσίαν ἥρμοττεν, οὕτως ἑκάστοις προσέταττον. Τοὺς μὲν γὰρ ὑποδεέστερον πράττοντας, ἐπὶ τὰς γεωργίας καὶ τὰς ἐμπορίας ἔτρεπον, εἰδότες, τὰς μὲν ἀπορίας διὰ τὰς ἀργίας γιγνομένας, τὰς δὲ κακουργίας διὰ τὰς ἀπορίας. Ἀναιροῦντες οὖν τὴν ἀρχὴν τῶν κακῶν, ἀπαλλάξειν ᾤοντο καὶ τῶν ἄλλων ἁμαρτημάτων, τῶν μετ' ἐκείνων γιγνομένων. Τοὺς δὲ βίον ἱκανὸν κεκτημένους, περί τε ἱππικὴν, καὶ τὰ γυμνάσια, καὶ τὰ κυνηγέσια, καὶ τὴν φιλοσοφίαν, ἠνάγκασαν διατρίβειν· ὁρῶντες, ἐκ τούτων, τοὺς μὲν διαφέροντας γιγνομένους, τοὺς δὲ τῶν πλείστων κακῶν ἀπισχομένους.[3]

§ 18. Καὶ ταῦτ' οὐ, νομοθετήσαντες, τὸν λοιπὸν χρόνον ὠ-

---

ἀντὶ τοῦ, Δεῖ. — 7. Καὶ τοῖς κακῶς.) Καὶ τοῦτο ἐκ διορθώσεως τοῦ αὐτοῦ, ἀντὶ τοῦ, Καὶ τοῖς καλῶς· ἀνθ' οὗ ἐνδέχεται, Καὶ τοῖς μὴ καλῶς, γεγράφθαι τὴν ἀρχήν. Ὁ δὲ νοῦς ὁ αὐτὸς, ὃν καὶ Σωκράτης παρὰ τῷ Πλάτωνι (Κριτ. σελ. 51) θαυμασίως κατεσκεύασε λέγων, ὅτι ποιητέον ἃ ἂν κελεύῃ ἡ πόλις καὶ ἡ πατρὶς, ἢ πείθειν αὐτὴν ᾗ τὸ δίκαιον πέφυκε, βιάζεσθαι δὲ μή. Ἔπιθι καὶ τὸν Ἀριστοτέλην. (Πολιτικ. Δ, ή) — 8. Ἐθελήσειν.) Εἰς τοῦτο ἔτρεψα τὸ παρ' ἅπασιν ἀνάττικον Θελήσειν. — 9. Ἐξ ὧν Κατασκευάσουσι.) Ὅ,τε Ἄλδος καὶ ὁ Στέφανος, Ἐξ ὧν ἂν κατασκευάσουσι, οἱ λοιποὶ, Ἐξ ὧν ἂν κατασκευάσωσι· ἐν δὲ τῷ ἐμῷ ἀντιγράφῳ, Ἐξ ὧν ἂν σκευάσωσι· ἐξ ὧν τριῶν ἡμαρτημένων γραφῶν διεσκεύακα τὸ χωρίον.

§ 17. 2. Ἐν μόνοις γὰρ ἂν τούτοις ἐμμένειν τοὺς ἐλευθέρως τεθραμμένους.) Ἐκ διορθώσεως τοῦ Στεφάνου τὸ, Τοὺς, ἀντὶ τοῦ, Αὐτούς· ἀλλ' οὐδ' οὕτως ἔῤῥωται τὸ χωρίον· διὸ καὶ γραπτέον ἴσως, ὡς διόρθωκεν ὁ Αὔγηρος, Μόνους γὰρ ἂν ἐν τούτοις ἐμμένειν τοὺς ἐλευθέρως τεθραμμένους. Εἰσὶ δ' οἱ ἐλευθέρως τεθραμμένοι, οὓς μικρὸν ἀνωτέρω, Ἀσφαλῶς πεπαιδευμένους εἴρηκε· καὶ μόνους φησὶ τούτους ἐθελήσειν (βουλητικὸς γὰρ ἐνταῦθα ὁ, Ἂν) ἐμμένειν καὶ πειθαρχεῖν τοῖς νόμοις. — 3. Ἀπισχομένους.) Εἰς τοῦτο θαῤῥῶν ἔτρεψα τὸ παρ' ἅπασι σόλοικον τῷ χρόνῳ, Ἀποσχομένους.

λιγώρουν·[2] ἀλλὰ διελόμενοι τὴν μὲν πόλιν κατὰ κώμας,[3] τὴν δὲ χώραν κατὰ δήμους, ἐθεώρουν τὸν βίον τὸν ἑκάστου, καὶ τοὺς ἀκοσμοῦντας εἰς τὴν βουλὴν ἦγον. Ἡ δὲ, τοὺς μὲν ἐνουθέτει, τοῖς δὲ ἠπείλει, τοὺς δὲ ὡς προσῆκεν ἐκόλαζεν· ἠπίσταντο γὰρ, ὅτι δύο τρόποι τυγχάνουσιν ὄντες, οἱ καὶ προτρέποντες ἐπὶ τὰς ἀδικίας, καὶ παύοντες τῶν πονηριῶν. Παρ' οἷς μὲν γὰρ[4] μήτε φυλακὴ, μήτε ζημία τῶν τοιούτων καθέστηκε, μήθ' αἱ κρίσεις ἀκριβεῖς εἰσι, παρὰ τούτοις μὲν διαφθείρεσθαι καὶ τὰς ἐπιεικεῖς τῶν φύσεων· ὅπου δὲ μήτε λαθεῖν τοῖς ἀδικοῦσι ῥᾴδιόν ἐστι, μήτε φανεροῖς γενομένοις συγγνώμης τυχεῖν, ἐνταῦθα δ' ἐξιτήλους γίγνεσθαι[5] τὰς κακοηθείας· ἅπερ ἐκεῖνοι γιγνώσκοντες, ἀμφοτέροις[6] κατεῖχον τοὺς πολίτας, καὶ ταῖς τιμωρίαις καὶ ταῖς ἐπιμελείαις. Τοσούτου γὰρ ἐδέοντο αὐτοὺς λανθάνειν[7] οἱ κακόν τι δεδρακότες, ὥστε καὶ τοὺς ἐπιδόξους ἁμαρτήσεσθαι προησθάνοντο. Τοιγαροῦν οὐκ ἐν τοῖς σκιραφίοις[8] οἱ νεώτεροι διέτριβον, οὐδ' ἐν ταῖς αὐλητρίσιν,[9] οὐδ' ἐν τοῖς τοιούτοις συλλόγοις, ἐν οἷς νῦν διη-

§ 18. 2. Καὶ ταῦτ' οὐ, νομοθετήσαντες, τὸν λοιπὸν χρόνον ὠλιγώρουν.) Διώρθωκε τὸ χωρίον ὁ Αὔγηρος, τῇ μεταθέσει τῆς ἀρνήσεως, οὕτως, Καὶ ταῦτα νομοθετήσαντες, οὐ τὸν λοιπὸν χρόνον ὠλιγώρουν, σαφεστέρως μὲν τῇ διανοίᾳ, οὐκ ἀναγκαίως δ' ἔμοι γε δοκεῖν· ἔστι γὰρ καθ' ὑπερβιβασμὸν ἡ ἄρνησις. Ἐχρήσατο δὲ καὶ ἀλλαχοῦ (Πανηγυρ. κέ) παραπλησίῳ ὑπερβιβασμῷ, εἰπὼν, «Τίς »οὐχ ὑπερβολὰς προθυμηθεὶς εἰπεῖν, »ἐλάττω τῶν ὑπαρχόντων εἴρηκεν;» — 3. Κατὰ κώμας.) Κώμας λέγει τὰς ἐν τῇ συνηθείᾳ, Γειτονίας, ἃς ἔνιοι καὶ τουρκιστὶ, Μαχαλάδες, καλοῦσιν· ἐκ δὲ τῆς κώμης, καὶ ὁ παρὰ τῷ Κωμικῷ, Κωμήτης, ἤγουν ὁ γείτων, καὶ ἡ Κωμῆτις, ἤγουν ἡ κοινῶς λεγομένη γειτόνισσα. Καὶ ταῦτα μὲν ὡς ἐν τύπῳ εἰρήσθω· οἱ δὲ τὴν ἀκρίβειαν ἐκ παντὸς διώκοντες, ἴστωσαν ὅτι αἱ παρὰ τοῖς ἀρχαίοις τῶν πόλεων Κῶμαι ἀναλογοῦσι μᾶλλον ταῖς παρ' ἡμῖν συνοικίαις, ἤγουν οἰκίαις μεγίσταις ὑπὸ πολλῶν ἅμα μηδὲν ἀλλήλοις προσηκόντων οἰκουμέναις, ἃς ἡ χυδαία συνήθεια Τουρκικώτερον Χάνια καλεῖ. — 4. Παρ' οἷς μὲν γὰρ . . . τὰς κακοηθείας.) Σημείωσαι, ὃ καὶ ἐν τοῖς πρόσθεν εἰρήκαμεν δὶς τεθειμένον τὸν, Μὲν, καὶ τοσάκις τὸν ἀνταποδιδόμενον, Δὲ, διὰ τὸ μακρὸν τῆς περιόδου. — 5. Ἐξιτήλους γίγνεσθαι.) Οὐ τὸ ἀφανίζεσθαι· τοῦτο γὰρ οὐδ' ἂν Θεὸς ποιήσειεν· ἀλλὰ τὸ ἀσθενεῖς, καὶ οἷον εὐαποπλύτους γίγνεσθαι, ἀπὸ μεταφορᾶς τῶν ἐξιτήλων χρωμάτων, τουτέστι τῶν μὴ ἐμμόνων, οἷς ἀντίκειται τὰ δευσοποιὰ, ἤγουν τὰ παράμονα. — 6. Ἀμφοτέροις.) Ἐγράφετο, Ἀμφοτέρους, ὅπερ ὁ Οὔολφιος ἔτρεψεν εἰς τὸ Ἀμφοτέροις, παραδεχομένων τὴν διόρθωσιν καὶ τῶν μετ' αὐτὸν, πλὴν τοῦ Λαγγίου, ὃς ἔκ τινος ἀντιγράφου παρείληφε τὸ ἐπιῤῥηματικὸν, Ἀμφοτέρως. Ἐν τῷ ἐμῷ φέρεται, Ἀμφοτέρους, μετ' ἐπιγεγραμμένης διορθώσεως τῆς Ἀμφοτέρως. — 7. Ἐδέοντο αὐτοὺς λανθάνειν.) Εὐφωνότερον ἂν προφέροις γράφων, Ἐδέοντο λανθάνειν αὐτούς. — 8. Σκιραφίοις.) Κυβευτήρια ἦσαν τὰ Σκιράφια, ἤγουν τόπος οὕτω καλούμενος, ἐν ᾧ ἐκύβευον, ὥς φησιν Ἁρποκρατίων. Ἐν δὲ τῷ τόπῳ τούτῳ καὶ αἱ πόρναι ἐκαθέζοντο, κατὰ τὸν Βυζάντιον Στέφανον (λέξ. Σκίρος). Ἄμεινον δὲ γράφειν διὰ διφθόγγου, Σκιραφείοις ὡς φέρεται παρὰ τῷ Πολυδεύκει καὶ τῷ Σουΐδᾳ. — 9. Οὐδ' ἐν ταῖς αὐλητρίσιν.) Ἦσαν γὰρ αἱ Ἀθήνησιν αὐλητρίδες καὶ ὀρχηστρίδες, οὐκ ἐξ ἀστῶν γυναικῶν, ἀλλ' ἐκ δούλων, καὶ οἵων ἐργάζεσθαι τῷ σώματι, αἷς ἐσχόλαζον ἐνασχημονοῦντες οἱ χρηστοὶ Ἀθηναῖοι, καὶ δι' ἃς τελευτῶντες ἐξέπεσον τῆς καταλειφθείσης ὑπὸ τῶν προγόνων δόξης, ὡς δηλοῖ καὶ Θεόπομπος (παρ' Ἀθην. ΙΒ, σελ. 532) ὁ Ἰσοκράτους μαθητὴς, ταῦτα λέγων τῷ διδασκάλῳ περὶ τῆς Ἀθηναίων ἐκδιαιτήσεως, «Καὶ γὰρ »αὐτοὶ τοῦτον τὸν τρόπον ἔζων, ὥστε »τοὺς μὲν νέους ἐν τοῖς αὐλητριδίοις

μερεύουσιν· ἀλλ᾽ ἐν τοῖς ἐπιτηδεύμασιν ἔμενον, ἐν οἷς ἐτάχθησαν, θαυμάζοντες καὶ ὁμιλοῦντες[10] τοὺς ἐν τούτοις πρωτεύοντας. Οὕτω δὲ ἔφευγον τὴν ἀγοράν, ὥστε εἰ καί ποτε διελθεῖν ἀναγκασθεῖεν, μετὰ πολλῆς αἰδοῦς καὶ σωφροσύνης ἐφαίνοντο τοῦτο ποιοῦντες. Ἀντιπεῖν δὲ τοῖς πρεσβυτέροις, ἢ λοιδωρήσασθαι, δεινότερον ἐνόμιζον εἶναι, ἢ νῦν περὶ τοὺς γονέας ἐξαμαρτάνειν.[11] Ἐν καπηλείῳ δὲ φαγεῖν ἢ πιεῖν, οὐδεὶς[12] οὐδ᾽ ἂν οἰκέτης ἐπιεικὴς ἐτόλμησε· σεμνύνεσθαι δὲ ἐμελέτων,[13] καὶ οὐ βωμολοχεύεσθαι·[14] καὶ τοὺς εὐτραπέλους δέ, καὶ σκώπτειν δυναμένους, οὓς νῦν εὐφυεῖς[15] προσαγορεύουσιν, ἐκεῖνοι δυστυχεῖς[16] ἐνόμιζον.

---

»καὶ παρὰ ταῖς ἑταίραις διατρίβειν τοὺς »δὲ μικρὸν ἐκείνων πρεσβυτέρους ἔν τε »τοῖς κύβοις, καὶ ταῖς τοιαύταις ἀσωτίαις· τὸν δὲ δῆμον ἅπαντα πλείω »καταναλίσκειν εἰς τὰς κοινὰς ἑστιάσεις »καὶ κρεανομίας, ἤπερ εἰς τὴν τῆς πό»λεως διοίκησιν». Καὶ ταῦτα μὲν ὁ Θεόπομπος. Ἐδήλωσε δὲ καὶ Ἀριστοφάνης, ἐν οἷς φησι (Βατρ. 513).

Οὐ γάρ σ᾽ ἀφήσω· καὶ γὰρ αὐλητρίς γέ σοι
Μί᾽ ἔνδον ἔσθ᾽ ὡραιοτάτη, κὠρχηστρίδες
Ἕτεραι δύ᾽ ἢ τρεῖς. . . . . . . . .

Ἀλλαχοῦ δὲ καί, ἅπερ Ἰσοκράτης ἐνταῦθα σπουδάζων παίζων ἐκεῖνος παραινεῖ τοῖς Ἀττικοῖς μειρακίοις (Νεφ. 996),

Μηδ᾽ εἰς ὀρχηστρίδος εἰσάττειν· ἵνα μὴ πρὸς ταῦτα κεχηνώς,
Μήλῳ βληθεὶς ὑπὸ πορνιδίου, τῆς εὐκλείας ἀποθραυσθῇς.

Καὶ σημειούσθων οἱ νέοι τὸ ἐπίχαρι ἅμα καὶ ἐναργὲς τῆς μεταφορᾶς τοῦ, Ἀποθραύεσθαι· ὀχήματι γὰρ παρεικάζει τὴν εὔκλειαν, ἧς ἀποθραύεται, τουτέστιν ἐκπίπτει, καὶ κατὰ γῆς πεσὼν ἀδόξως τε καὶ ἀθλίως συντρίβεται, ὁ μὴ καλῶς ἐποχούμενος, τοῦτο δέ ἐστιν, ὁ μὴ ταῖς τοῦ λογισμοῦ ἡνίαις εὐθύνειν τὸ τῆς δόξης ὄχημα ἐπιστάμενος. — 10. Θαυμάζοντες καὶ ὁμιλοῦντες.) Τὸ, Ὁμιλοῦντες, διὰ τὸ μὴ συντάσσεσθαι αἰτιατικῇ, οἱ μὲν εἰς τὸ, Ὑμνοῦντες, οἱ δὲ εἰς τὸ, Ζηλοῦντες, ἄλλοι δὲ εἰς τὸ, Τιμῶντες, τρέπειν ὡρμήθησαν. Οὐόλφιος δὲ μόνῃ τῇ μεταθέσει τῶν λέξεων διορθοῦν παρῄνει τὸ χωρίον, Ὁμιλοῦντες καὶ θαυμάζοντες, ἡ γραφὴ ἐπείσθη ὁ πρὸ ἐμοῦ. — 11. Ἢ νῦν περὶ τοὺς γονέας ἐξαμαρτάνειν.) Ἀντὶ τούτων Διονύσιος ὁ Ἁλικαρνασσεύς, εἴτε μνήμης πλάνῃ, εἴτ᾽ ἄλλως πως, ἔγραψεν «Ἢ τὴν τάξιν λύειν». — 12. Ἐν καπηλείῳ δὲ . . . οὐδείς.) Ἀντὶ τοῦ, Οὐθείς, ἔγραψα, Οὐδείς, ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, καὶ τῶν ἀρχαίων ἐκδόσεων, καὶ αὐτοῦ τοῦ Ἀθηναίου (ΙΓ, σελ. 566.), ὃς καὶ πιστούμενος τὸ λεγόμενον περὶ τῶν Ἀρειοπαγιτῶν τῷ Ἰσοκράτει, παρατίθεται μαρτύριον ἐξ Ὑπερίδου τοῦτο. «Ὑπερίδης δὲ ἐν »τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος ὁ »λόγος τοὺς Ἀρεοπαγίτας, φησίν, ἀρι»στήσαντά τινα ἐν καπηλείῳ κωλῦσαι »ἀνιέναι τὸν Ἄρειον πάγον». — 13. Σεμνύνεσθαι δὲ ἐμελέτων.) Ἀντὶ τοῦ, Δέ, γράφεται παρὰ τῷ Ἀθηναίῳ. γάρ. — 14. Βωμολοχεύεσθαι.) «Κυρίως ἐλέγοντο »βωμολόχοι, οἱ ἐπὶ τῶν θυσιῶν ὑπὸ »τοὺς βωμοὺς καθίζοντες, καὶ μετὰ κο»λακείας προσαιτοῦντες· ἔτι δὲ καὶ οἱ »παραλαμβανόμενοι ταῖς (γρ. ἐν ταῖς) »θυσίαις αὐληταί τε καὶ μάντεις . . . »Ἐκ μεταφορᾶς δὲ τούτων ἐλέγοντο »βωμολόχοι, εὔκολοί τινες ἄνθρωποι καὶ »ταπεινοὶ καὶ πᾶν ὁτιοῦν ὑπομένοντες »ἐπὶ κέρδει διὰ τοῦ παίζειν τε καὶ »σκώπτειν, κ. τ. λ.» (Ἁρποκρατ. λεξ. Βωμολοχεύεσθαι). — 15. Εὐφυεῖς.) Εὐφυεῖς ἐνταῦθα λέγει τοὺς σκώπτας, οὓς ἡ συνήθεια, Μετριαστάς, καλεῖ, καθὰ καί, Μετριάζειν, τὸ ἀστεΐζεσθαι καὶ σκώπτειν (Πρόδρ. Ἑλλ. Βιβλ. σελ. ρκϐ´) ὅθεν ἐξηγείσθω καὶ ὁ Ἡσύχιος, «Εὐφυής, ὁ ἐξ ἑτοίμου λέγων καὶ σκώπτων, μέτριος κ. τ. λ.» Τοῦτο δὴ τὸ, Μέτριος, ὃ τῶν κριτικῶν τινες εἰς τό, Μετρίως, τρέπειν παρῄνουν, ἕτεροι δὲ ὡς δευτέραν σημασίαν τοῦ, Εὐφυής, ἐξεδέξαντο, οὐδὲν ἂν ἕτερον εἴη, ἢ τὸ παρ᾽ ἡμῖν, Μετριαστής, ἤγουν Μετριαστής, παρὰ τὸ Μετριάζω. Ἐχρήσατο δὲ τῷ ὀνόματι, Εὐφυής, Θεόπομπος ὁ Χῖος ὁ Ἰσοκράτους μαθητὴς (παρ᾽ Ἀθην. ϛ´,

§ 19. Καὶ μηδεὶς οἰέσθω με[2] δυσκόλως διακεῖσθαι πρὸς τοὺς ταύτην ἔχοντας τὴν ἡλικίαν. Οὔτε γὰρ ἡγοῦμαι τούτους αἰτίους εἶναι τῶν γιγνομένων, σύνοιδά τε τοῖς πλείστοις αὐτῶν ἥκιστα χαίρουσι ταύτῃ τῇ καταστάσει, δι' ἣν ἔξεστιν αὐτοῖς, ἐν ταῖς ἀκολασίαις ταύταις διατρίβειν· ὥστε οὐκ ἂν εἰκότως τούτοις ἐπιτιμῴημεν· ἀλλὰ πολὺ ἂν δικαιότερον τοῖς ὀλίγῳ πρὸ ἡμῶν τὴν πόλιν διοικήσασιν· ἐκεῖνοι γὰρ ἦσαν[3] οἱ τὴν ἀρχὴν προτρέψαντες ἐπὶ ταύτας τὰς ὀλιγωρίας, *καὶ* καταλύσαντες[4] τὴν τῆς βουλῆς δύναμιν.

§ 20. Ἧς ἐπιστατούσης, οὐ δικῶν, οὐδ' ἐγκλημάτων, οὐδὲ εἰσφορῶν, οὐδὲ πενίας, οὐδὲ πολέμων, ἡ πόλις ἔγεμεν· ἀλλὰ καὶ πρὸς ἀλλήλους ἡσυχίαν εἶχον, καὶ πρὸς τοὺς ἄλλους ἅπαντας εἰρήνην ἦγον. Παρεῖχον γὰρ σφᾶς αὐτοὺς τοῖς μὲν Ἕλλησι πιστούς, τοῖς δὲ βαρβάροις φοβερούς· τοὺς μὲν γὰρ σεσωκότες ἦσαν, παρὰ δὲ τῶν, δίκην τηλικαύτην εἰληφότες, ὥστε ἀγαπᾶν ἐκείνους, εἰ μηδὲν ἔτι κακὸν πάσχοιεν. Τοιγάρτοι *διὰ ταῦτα*[2] μετὰ τοσαύτης ἀσφαλείας διῆγον, ὥστε καλλίους εἶναι καὶ πολυτελεστέρας τὰς οἰκήσεις, καὶ τὰς ἐπισκευάς,[3] τὰς ἐπὶ τῶν ἀγρῶν, ἢ τὰς ἐντὸς τείχους, καὶ πολλοὺς τῶν πολιτῶν μηδ' εἰς τὰς ἑορτὰς εἰς ἄστυ καταβαίνειν, ἀλλὰ αἱρεῖσθαι μένειν ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς[4]

σελ. 260), περὶ Φιλίππου τοῦ Μακεδόνος λέγων, «Χαίρων . . . τῶν ἀνθρώπων τοῖς ΕΥΦΥΕΣΙ καλουμένοις, καὶ τὰ γελοῖα λέγουσι καὶ ποιοῦσι». Μετηνέχθη δὲ τοὔνομα ἀπὸ τῶν κατὰ νοῦν δεξιῶν, οὓς κυρίως δηλοῖ τὸ, Εὐφυής (Γαλατιστὶ Homme d'esprit)· τοιοῦτοι γὰρ ὡς ἐπὶ τὸ πολὺ οἱ σκωπτικοί, δυνατοὶ συνιδεῖν τὰ ἐν τοῖς ἄλλοις γελοῖα. — 16. Δυστυχεῖς.) Ὀρθῶς ἐξηγεῖται ὁ Λάγγιος τὸ, Δυστυχεῖς, διὰ τοῦ μωρούς, ἠλιθίους, καὶ οὐχ ὡς οἱ πρὸ αὐτοῦ ἐξεδέξαντο. Ἐσημειωσάμεθα δὲ καὶ ἡμεῖς ἀνωτέρω (σελ. 78) τὰ συνώνυμα, ἐπὶ τῆς αὐτῆς τεταγμένα ἐννοίας, καὶ δι' ἣν αἰτίαν ἐτέτακτο. Εἴρηκε δέπου (Γ, Ὀλυνθ. σελ. 34) καὶ Δημοσθένης. «Οὐ γὰρ οὕτως ἄφρων, οὐδ' ἀτυχής τίς εἰμι ἐγώ». τί γὰρ ἀτυχέστερον ἄλλο, ἢ ἐκεῖνο τῆς ψυχῆς τὸ μέρος νοσεῖν, ᾧ τῶν ἀλόγων διενηνόχαμεν;

§ 19. 2. Καὶ μηδεὶς οἰέσθω με κ. τ. λ.) Εὐφυὲς καὶ γλαφυρὸν παράδειγμα τοῦ πῶς δεῖ νουθετεῖν τοὺς ἀκοσμοῦντας τῶν νέων· χρὴ γὰρ ἀφαιρεῖν ὡς οἷόν τε μάλιστα τὸ δριμὺ καὶ δάκνον τῆς παραινέσεως, ἐπαίνῳ τὸν ψόγον συγκεραννύντας, καὶ τῶν δι' ἃ ψέγονται τὰς αἰτίας ἐπ' ἄλλους, ὅπη παρείκοι, μεταφέροντας. — 3. Ἐκεῖνοι γὰρ ἦσαν.) Τὸν Ἐφιάλτην αἰνίττεται, δι' οὗ Περικλῆς τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐταπείνωσε. (Ἔπιθι τὸν Μεύρσιον, Ἀρ πάγ. κεφ. Θ') — 4. Καὶ καταλύσαντες.) Διαγραπτέος ὁ, Καί, ἵν' ᾖ ὁ νοῦς, Οἱ πρῶτοι προτρέψαντες ἐπὶ τὰς ἀκολασίας ταύτας, τουτέστιν, οἱ χώραν δόντες ταῖς ἀκολασίαις ταύταις, διὰ τὸ καταλῦσαι τὴν τῆς κωλυούσης αὐτὰς βουλῆς τῶν Ἀρειοπαγητῶν δύναμιν.

§ 20. 2. Τοιγάρτοι διὰ ταῦτα.) Περιγραπτέον ἔδοξέ μοι τὸ, Διὰ ταῦτα· οὐδὲν γὰρ πλέον σημαίνει τοῦ, Τοιγάρτοι — 3. Ἐπισκευάς.) Τὰ ἔπιπλα καὶ σκεύη τῶν οἴκων λέγει (Γαλλιστὶ les meubles,) ὡς ἐξεδέξατο διστάζων ὅμως καὶ ὁ πρὸ ἐμοῦ. Ἐχρήσατο δὲ καὶ Δημοσθένης τῇ λέξει — 4. Ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς) Ἐπὶ τοῖς ἰδίοις κτήμασι, καθὰ καὶ Λυσίας ἐχρήσατο τῇ λέξει. Σουΐδας δέ φησιν, «Ἀγαθά, ἐπὶ τῶν πρὸς ἀπόλαυσιν καὶ εὐωχίαν σιτίων καὶ ποτῶν ἐχρήσατο Ξενοφῶν τῇ λέξει κ. τ. λ.» Καὶ παρὰ μὲν τοῖς ἀρχαίοις οὐ πολὺ τοῦτο· οἱ δὲ κατὰ τοὺς Πτολεμαϊκοὺς χρόνους, καὶ μάλιστα οἱ Ἑβδομή-

μᾶλλον, ἢ τῶν κοινῶν ἀπολαύειν. Οὐδὲ γὰρ τὰ περὶ τῆς θεωρίας, ὧν ἕνεκ' ἄν τις[5] ἦλθεν, ἀσελγῶς, οὐδ' ὑπερηφάνως, ἀλλὰ νουνεχόντως ἐποίουν. Οὐ γὰρ ἐκ τῶν πομπῶν, οὐδ' ἐκ τῶν περὶ τὰς χορηγίας φιλονεικιῶν, οὐδ' ἐκ τῶν τοιούτων ἀλαζονειῶν τὴν εὐδαιμονίαν ἐδοκίμαζον, ἀλλ' ἐκ τοῦ σωφρόνως οἰκεῖν, καὶ τοῦ βίου τοῦ καθ' ἡμέραν, καὶ τοῦ μηδένα τῶν πολιτῶν ἀπορεῖν τῶν ἐπιτηδείων. Ἐξ ὧνπερ χρὴ κρίνειν τοὺς ὡς ἀληθῶς εὖ πράττοντας, καὶ μὴ φορτικῶς[6] πολιτευομένους. Ἐπεὶ νῦν γε τίς οὐκ ἂν ἐπὶ τοῖς γιγνομένοις τῶν εὖ φρονούντων ἀλγήσειεν; ὅταν ἴδῃ τινὰς τῶν πολιτῶν, αὐτοὺς μὲν περὶ τῶν ἀναγκαίων, εἴθ' ἕξουσιν εἴτε μή, πρὸ τῶν δικαστηρίων κληρουμένους,[7] τῶν δ' Ἑλλήνων τοὺς ἐλαύνειν τὰς ναῦς βουλομένους,[8] τρέφειν ἀξιοῦντας, καὶ χο-

---

κοντα, κατεχρήσαντο ταύτῃ τοῦ ὀνόματος τῇ σημασίᾳ. Πλείστη δὲ μέχρι δεῦρο καὶ παρ' ἡμῖν ἡ χρῆσις οὐ μόνον τοῦ, Ἀγαθὰ, ἀλλὰ καὶ τοῦ συνωνύμου, Καλὰ, ἐπὶ τῶν Κτημάτων. — 5. Ὧν ἕνεκ' ἄν τις.) Προσέθηκα τὸν Ἂν, ἐκ διορθώσεως τοῦ Οὐολφίου, ἀναγκαῖον ὄντα. — 6. Φορτικῶς.) Ἀλαζονικῶς. Δῆλον δὲ τοῦτο ἐκ τοῦ προηγησαμένου Ἀλαζονειῶν, ἄλλως τε καὶ εἰ παραβάλλοιμεν τὸ ἐν τῷ Παναθηναϊκῷ (σελ. 247) «Τοῖς εἰκῇ καὶ φορτικῶς, καὶ χύδην, ὅ,»τι ἂν ἐπέλθῃ λέγουσι» τῷ ἐν αὐτῷ λόγῳ (σελ. 247) «Τοῖς ἀλαζονευομένοις »καὶ λέγουσιν ὅ,τι ἂν τύχωσιν». Ἔστι δὲ παρὰ τὸν Φόρτον· οἱ γὰρ ἀλαζονευόμενοι πλείω τῶν ὄντων προσποιοῦνται, καὶ οἱονεὶ τοῖς οὖσι τὰ μὴ ὄντα φέροντες ἐπιφορτίζουσι. Διὸ Φορτικὰ πρὸς τούτοις λέγεται τὰ ὑπὲρ τὸ δέον γελοῖα καὶ ἀγεννῆ σκώμματα, καὶ Φορτικὴ κωμῳδία, ἡ τοιούτων σκωμμάτων μεστὴ (ἡ παρὰ τοῖς Γάλλοις Farce), ἣν Ἀριστοφάνης ἀποδοκιμάζει, καίπερ πολλάκις καὶ αὐτὸς φορτικῶς κωμικευσάμενος. Ὀνομάσαις δ' ἂν οἰκίως καὶ Φορτικὴν εἰκόνα, ἢ γραφὴν, τὴν καλουμένην τοῖς Ἰταλοῖς Caricatura, οὐδὲν οὖσαν ἕτερον ἢ ἐπὶ τὸ αἴσχιστον τοῦ γελοίου χάριν ἐπιτετηδευμένην εἰκόνα. — 7. Πρὸ τῶν δικαστηρίων κληρουμένους.) Δέκα ἦσαν Ἀθήνῃσι δικαστήρια· ἕκαστον δὲ τούτων εἶχεν ἕν τι στοιχεῖον πρὸ τῶν θυρῶν γεγραμμένον πυῤῥῷ βάμματι, τὸ πρῶτον δηλονότι τοῦ ὀνόματος ὃ ἐκαλεῖτο τὸ δικαστήριον. Οἱ τοίνυν κληρούμενοι τῶν ἀστῶν εἰς τὸ δικάζειν, ῥάβδον ἔχουσα τὸ αὐτὸ στοιχεῖον τοῦ δικαστηρίου, ᾧ ἐκεκλήρωντο, λαμβάνοντες ἐβάδιζον ἐκεῖσε, σύμβολον αὐτὴν φέροντες, καὶ, μετὰ τὸ κρῖναι, τὸν δικαστικὸν ἐκομίζοντο μισθόν. Ἦν δ' οὗτος τριώβολον· ἐπὶ δὲ Ἀριστοφάνους, εἴ τῳ πιστὸς ὁ σχολιάσας αὐτὸν, καὶ μέχρι δραχμῆς ἦν λαβεῖν, τουτέστι ἓξ ὀβολῶν. — 8. Τῶν δ' Ἑλλήνων τοὺς ἐλαύνειν τὰς ναῦς βουλομένους κ. τ. λ.) Οὐκ ἔῤῥωται τὸ χωρίον· οἱ γὰρ ἐλαύνοντες τὰς ναῦς οὐδένες ἕτεροι ἦσαν ἢ αὐτὸς ὁ δῆμος τῶν Ἀθηναίων, ὡς διαῤῥήδην εἴρηκε Ξενοφῶν (Ἀθην. πολτ. Α, β'), καὶ ὥσπερ αὐτὸς Ἰσοκράτης ἐρεῖ ἀλλαχοῦ (σελ. 168, ις'). Πῶς οὖν εἰκὸς, ἐνταῦθα γοῦν, Ἕλληνας ὀνομάσαι τοὺς ἐλαύνοντας τὰς ναῦς, ἀντιδιεσταλμένως πρὸς τοὺς κληρουμένους πρὸ τῶν δικαστηρίων, Ἕλληνας ὄντας καὶ αὐτούς; Διὸ καὶ γραπτέον οἶμαι, Ἄλλων, ἀντὶ τοῦ, Ἑλλήνων, ἵνα ᾖ ὁ νοῦς, Τίς οὐκ ἂν λυπηθείη ὁρῶν τινὰς τῶν πολιτῶν Ἀθηναίων, οὕτω πενομένους, ὥστε κληροῦσθαι πρὸ τῶν δικαστηρίων, ἐπ' ἀδήλῳ τῷ ἕξειν τὰ ἀναγκαῖα, ἐὰν λάχωσιν κρίνειν, ἢ μὴ ἕξειν, ἐὰν ἀπολάχωσι· καὶ ὅμως ἀξιοῦντας τρέφειν, ἤγουν μισθὸν διδόναι τὴν πόλιν, τοῖς ἐκ τῶν ἄλλων πολιτῶν Ἀθηναίων βουλομένοις ἐλαύνειν τὰς ναῦς· τοῦτο γάρ ἐστιν, ὡς ἐρεῖ μετ' ὀλίγα, ἡ περὶ τὴν διοίκησιν ἐναντίωσις. Ὅτι δ' οὐχ ἅπαξ συνέχειαν τὸ, Ἄλλων, μετὰ τὸ, Ἑλλήνων οἱ ἀντιγραφεῖς, μαρτυρεῖ ταὶ τὰ ἐν τοῖς πρόσθεν (σελ. 40) ἡμῖν σημειωθέντα. Εἰ δὲ βούλει πάντως σώζειν τὸ, Ἑλλήνων, οὐδὲν ἧττον ἔμοι γε δοκεῖ, μετὰ προσθήκης τῆς τοῦ, Ἄλλων, ἀναγνωστέον εἶναι, Τῶν δ' ἄλλων Ἑλλήνων τοὺς ἐλαύνειν τὰς ναῦς βουλομένους κ. τ. λ. καθὰ καὶ ἀλλαχοῦ

ρεύοντας μὲν[9] ἐν χρυσοῖς ἱματίοις, χειμάζοντας δ' *ἐν τούτοις* ἐν οἷς οὐ βούλομαι λέγειν·[10] καὶ τοιαύτας ἄλλας ἐναντιώσεις περὶ τὴν τοιαύτην διοίκησιν γιγνομένας, αἳ μεγάλην αἰσχύνην περιποιοῦσι τῇ πόλει.

§ 21. Ὧν οὐδὲν ἦν ἐπ' ἐκείνης τῆς βουλῆς. Ἀπήλλαξε γὰρ τοὺς μὲν πένητας τῶν ἀποριῶν ταῖς ἐργασίαις,[2] καὶ ταῖς παρὰ τῶν ἐχόντων ὠφελείαις· τοὺς δὲ νεωτέρους τῶν ἀκολασιῶν, τοῖς ἐπιτηδεύμασι καὶ ταῖς αὐτῶν ἐπιμελείαις· τοὺς δὲ πολιτευομένους[3] τῶν πλεονεξιῶν, ταῖς τιμωρίαις, καὶ τῷ μὴ λανθάνειν τοὺς ἀδικοῦντας·[4] τοὺς δὲ πρεσβυτέρους τῶν ῥαθυμιῶν, ταῖς τιμαῖς ταῖς πολιτικαῖς, καὶ ταῖς παρὰ τῶν νεωτέρων θεραπείαις. Καίτοι πῶς ἂν γένοιτο ταύτης πλείονος ἀξία πολιτεία, τῆς οὕτω καλῶς ἁπάντων τῶν πραγμάτων ἐπιμεληθείσης;

§ 22. Καὶ περὶ μὲν τῶν[2] τότε καθεστώτων, τὰ μὲν πλεῖστα διεληλύθαμεν· ὅσα δὲ παραλελοίπαμεν, ἐκ τῶν εἰρημένων, ὅτι κἀκεῖνα τὸν αὐτὸν τρόπον εἶχε τούτοις, ῥᾴδιόν ἐστι καταμαθεῖν.

---

σελ. 30. θ, καὶ σελ. 51, κ') εἴρηκε. — 9. Καὶ χορεύοντας μὲν κ. τ. λ.) Τοῦθ' ὃ καὶ παρὰ τῷ Δημοσθένει (Πρὸς Βοιωτ. περὶ τοῦ ὀνόμ. σελ. 999) ὀνειδίζει τις τῷ ἰδίῳ ἀδελφῷ, «Εἰ δὲ δίκην ἀστρα»τείας φεύγοι, χορεύοι δὲ, ὅταν στρατεύε»σθαι δέῃ· καὶ γὰρ νῦν, ὅτε εἰς Ταμύ»νας παρῆλθον οἱ ΑΛΛΟΙ, ἐνθάδε τοὺς »χόας ἄγων ἀπελείφθη· καὶ τοῖς Διο»νυσίοις καταμείνας ἐχόρευεν κ. τ. λ.» Καὶ ὅρα πάλιν ὅτι τὸ, Ἄλλοι, πρὸς τοὺς στρατευομένους Ἀθηναίους ἀναφερόμενον, ἀντιδιέσταλται πρὸς τοὺς χορεύοντας· ὃ καὶ ἡμεῖς ἐν τῷ προκειμένῳ Ἰσοκράτους χωρίῳ ἀνθυποβλητέον εἶναι ἔφαμεν τῷ, Ἑλλήνων — 10. Χειμάζοντας δ' ἐν τούτοις, ἐν οἷς οὐ βούλομαι λέγειν.) Γράφε, ὡς ὀρθῶς εἴκασεν ὁ Οὐόλφιος, Χειμάζοντας δ' ἐν οἷς οὐ βούλομαι λέγειν, περιελὼν τὰς δύο λέξεις, Ἐν τούτοις, ἃς εἰκὸς ὑπό τινος προστεθεῖναι, ἕνεκα τοῦ πληρῶσαι τὴν πᾶσι τοῖς δοκίμοις συνήθη ἔλλειψιν. Ἃ δὲ, ἐντέχνως τὸν λόγον δεινῶσαι βουλόμενος, ἀποσιωπᾷ ὁ Ῥήτωρ, περὶ ὧν ἐφόρουν ἱματίων χειμῶνος ὁ δῆμος τῶν Ἀθηναίων, ὑπονοεῖν παρέχει, ὅτι ῥάκεσιν οὐχ ἱματίοις ἦσαν ἠμφιεσμένοι. Δηλοῖ δὲ τοῦτο καὶ Ξενοφῶν (Ἀθην. πολιτ. Α, ι) λέγων, «Ἐσθῆτά τε »γὰρ οὐδὲν βελτίων ὁ δῆμος αὐτόθι, ἢ »οἱ δοῦλοι καὶ οἱ μέτοικοι, καὶ τὰ εἴ»δη οὐδὲν βελτίους εἰσίν». Οἱ πολλοὶ δ' αὐτῶν καὶ γυμνοί, ὡς εἰπεῖν, διῆγον, καὶ ἐν βαλανείοις ἐκάθευδον διὰ τὸ ψύχος· ὅθεν καὶ φλυκταινῶν ἐπληροῦντο τὰ σκέλη διὰ τὴν ἐκ τοῦ πυρὸς ἐπίκαυσιν (ἴδ. Σχόλ. Ἀριστοφ. Πλούτ. 535), καὶ ἧσσον ἀτεχνῶς ὅμοιοι τοῖς παρὰ τοῖς Νεαπολίταις τὰ νῦν καλουμένοις Λαζαρόνοις.

§ 21. 2. Ἐργασίαις.) Ἐτόλμησα τρέψαι τὸ Εὐεργεσίαις, οὐκ ἀναγκαῖον ὂν διὰ τὸ προσεχὲς Ὠφελείας, εἰς τὸ, Ἐργασίαις, διὰ τὸ τῇ αὐτῇ καὶ ἀνωτέρω (§ 12) χρήσασθαι λέξει, ἐν οἷς ἔλεγε περὶ τῶν πλουσίων, ὅτι «Ὑπολαμβάνοντες »αἰσχύνην αὐτοῖς εἶναι τὴν τῶν πολι»τῶν ἈΠΟΡΙΑΝ, ἐπήμυνον ταῖς ἐνδεί»αις . . . εἰς τὰς ἄλλας ἘΡΓΑΣΙΑΣ ἀ»φορμὴν παρέχοντες.» Ἐσημειώθη δὲ καὶ ἐν τοῖς πρόσθεν (σελ. 34.) ἡ τῶν δύο τούτων λέξεων σύγχυσις. — 3. Τοὺς δὲ πολιτευομένους.) Ἐκείνους δηλονότι τῶν πολιτευομένων, οἵπερ ἐνόμιζον τὴν τῶν κοινῶν ἐπιμέλειαν (§ 9), ἐμπορίαν, καὶ οὐ λειτουργίαν, εἴ τινες ἄρα καὶ τοιοῦτοι ὑπῆρχον. — 4. Καὶ τῷ μὴ λανθάνειν τοὺς ἀδικοῦντας.) Γραπτέον οἶμαι, Καὶ τῷ μὴ λανθάνει αὐτοὺς ἀδικοῦντας, ἀναφέροντας τὸ, Αὐτοὺς, ἢ εἰς τὸ, Πολιτευομένους, ἢ κατὰ μετάβασιν, εἰς τοὺς Ἀρεοπαγίτας· οὐδὲν γὰρ διαφέρει.

§ 22. 2. Καὶ περὶ μὲν τῶν.) Τὸ ἐμὸν ἀντίγραφον, Καὶ περὶ μὲν οὖν τῶν· ἣν γραφὴν παρείληφεν ὁ πρὸ ἐμοῦ, εὑρὼν κἀκεῖνος ἔν τισι τῶν ἀρχαίων ἐκδόσεων. Γραπτέον ὅμως, ἤ, Καὶ περὶ μὲν τῶν, ἄνευ τοῦ, Οὖν, ὡς φέρεται παρὰ τοῖς πλείστοις, ἢ γοῦν, Περὶ

§ 23. Ἤδη δέ τινες ἀκούσαντές μου ταῦτα ἐπεξιόντος, ἐπήνεσάν με ὡς οἷόν τε μάλιστα, καὶ τοὺς προγόνους ἐμακάρισαν, ὅτι[2] τὸν τρόπον τοῦτον τὴν πόλιν διῴκουν· οὐ μὴν ὑμᾶς ᾤοντο πεισθήσεσθαι χρῆσθαι τούτοις, ἀλλ᾽ αἱρήσεσθαι, διὰ τὴν συνήθειαν, ἐν τοῖς καθεστηκόσι πράγμασι κακοπαθεῖν μᾶλλον, ἢ μετὰ πολιτείας ἀκριβεστέρας ἄμεινον τὸν βίον διάγειν. Εἶναι δ᾽ ἔφασάν μοι καὶ κίνδυνον, μὴ τὰ βέλτιστα συμβουλεύων, μισόδημος εἶναι δόξω, καὶ τὴν πόλιν ζητεῖν εἰς ὀλιγαρχίαν ἐμβαλεῖν.

§ 24. Ἐγὼ δ᾽, εἰ μὲν πραγμάτων περὶ ἀγνοουμένων,[2] καὶ καινῶν, τοὺς λόγους ἐποιούμην, καὶ περὶ τούτων ἐκέλευον ὑμᾶς ἑλέσθαι συνέδρους, ἢ συγγραφέας,[3] δι᾽ ὧν ὁ δῆμος κατελύθη τὸ πρότερον, εἰκότως ἂν ἔσχον τὴν αἰτίαν ταύτην· νῦν δὲ οὐδὲν εἴρηκα τοιοῦτο, ἀλλὰ διείλεγμαι περὶ διοικήσεως; οὐκ ἀποκεκρυμμένης, ἀλλὰ φανερᾶς, ἣν ἅπαντες ἴστε καὶ πάτριον ἡμῖν οὖσαν, καὶ πλείστων ἀγαθῶν καὶ τῇ πόλει καὶ τοῖς ἄλλοις Ἕλλησιν αἰτίαν γεγενημένην, πρὸς δὲ τούτοις, ὑπὸ τοιούτων ἀνδρῶν νομοθετηθεῖσαν, καὶ κατασταθεῖσαν, οὓς οὐδεὶς ὅστις οὐκ ἂν ὁμολογήσειε δημοτικωτάτους γεγενῆσθαι τῶν πολιτῶν. Ὥστε πάντων ἂν μοι συμβαίη δεινότατον, εἰ, τοιαύτην πολιτείαν εἰσηγούμενος, νεωτέρων δόξαιμι πραγμάτων ἐπιθυμεῖν. Ἔπειτα κἀκεῖθεν ῥᾴδιον τὴν διάνοιαν διαγνῶναι τὴν ἐμήν· ἐν γὰρ τοῖς πλείστοις τῶν λόγων, τῶν εἰρημένων ὑπ᾽ ἐμοῦ, φανήσομαι ταῖς μὲν ὀλιγαρχίαις καὶ πλεονεξίαις ἐπιτιμῶν, τὰς δὲ ἰσότητας καὶ τὰς δημοκρατίας ἐπαινῶν, οὐ πάσας, ἀλλὰ τὰς καλῶς καθεστηκυίας, οὐδ᾽ ὡς ἐτύγχανον,[4] ἀλλὰ δικαίως, καὶ νουνεχόντως. Οἶδα γάρ, τούς τε προγόνους τοὺς ἡμετέρους ταύτῃ τῇ καταστάσει πολὺ τῶν ἄλλων διενεγκόντας, καὶ Λακεδαιμονίους διὰ τοῦτο κάλλιστα πολιτευομένους, ὅτι μάλιστα δημοκρατούμενοι τυγχάνουσιν. Ἐν γὰρ τῇ τῶν ἀρχῶν αἱρέσει, καὶ τῷ βίῳ τῷ καθ᾽ ἡμέραν, καὶ τοῖς ἄλλοις ἐπιτηδεύμασιν,[5] ἴδοιμεν

μὲν οὖν τῶν, δίχα τοῦ, Καί, καθὰ φέρεται ἔν τινι τῶν τοῦ Δυγήρου ἀντιγράφων.

§ 23. 2. Ὅτι.) Ὅτι, φέρεται καὶ ἐν τῷ ἐμῷ, καὶ οὐχ, Ὅτε, καθὰ ἔν τισι τῶν πρὸ τοῦ Οὐολφίου ἐκδόσεων.

§ 24. 2. Πραγμάτων περὶ ἀγνοουμένων.) Καίπερ οὕτως ἐχούσης τῆς γραφῆς ἐν ἅπασι, γραπτέον οἶμαι, Περὶ πραγμάτων ἀγνοουμένων· πλὴν γὰρ ἐν τούτῳ τῷ χωρίῳ οὐδαμοῦ τὴν πρόθεσιν ἀναστρέφει Ἰσοκράτης, ὃ φιλεῖ μάλιστα ποιεῖν ὁ Πλάτων. — 3. Συνέδρους, ἢ συγγραφέας.) Συνέδρους καὶ συγγραφέας, φέρει τὸ ἀντίγραφον τοῦ Οὐολφίου. Αἰνίττεται δὲ ὁ Ῥήτωρ τοὺς ὑπὸ Πεισάνδρου προβληθέντας συγγραφέας, περὶ ὧν ὁ Θουκυδίδης διὰ μακρῶν (Η, ξζ΄). Ἔπιθι καὶ τὸν Ἀρποκρατίωνα (λέξ. Συγγραφεῖς). — 4. Οὐδ᾽ ὡς ἐτύγχανον.) Ἐγὼ ὁ Ἰσοκράτης, τουτέστιν, εἰκῇ καὶ ἀλογίστως, καὶ ὅπως ἐπήρχετό μοι. — 5. Καὶ τοῖς ἄλλοις ἐπιτηδεύμασιν.) Οὕτως ὀρθῶς ὁ Οὐόλφιος δι᾽ ἑνὸς ἄρθρου, ἀντὶ τοῦ παρὰ τοῖς λοιποῖς ἅπασι (οἷς συνᾴδει καὶ τὸ ἐμὸν ἀντίγραφον), Καὶ τοῖς

ἂν παρ' αὐτοῖς τὰς ἰσότητας καὶ τὰς ὁμοιότητας μᾶλλον, ἢ παρὰ τοῖς ἄλλοις ἰσχυούσας· οἷς αἱ μὲν ὀλιγαρχίαι πολεμοῦσιν,[6] οἱ δὲ καλῶς δημοκρατούμενοι, χρώμενοι διατελοῦσι.

§ 25. Τῶν τοίνυν ἄλλων πόλεων ταῖς ἐπιφανεστάταις καὶ μεγάλαις, ἣν ἐξετάζειν βουληθῶμεν, εὑρήσομεν τὰς δημοκρατίας μᾶλλον, ἢ τὰς ὀλιγαρχίας συμφερούσας. Ἐπεὶ καὶ τὴν ἡμετέραν πολιτείαν, ἣ πάντες ἐπιτιμῶσιν, ἣν παραβάλωμεν ταύτην,[2] μὴ πρὸς τὴν ὑπ' ἐμοῦ ῥηθεῖσαν, ἀλλὰ πρὸς τὴν ἐπὶ τῶν τριάκοντα καταστᾶσαν, οὐδεὶς[3] ὅστις οὐκ ἂν θεοποίητον εἶναι νομίσειεν.

§ 26. Βούλομαι δ', εἰ καί τί με φήσουσιν ἔξω τῆς ὑποθέσεως λέγειν, δηλῶσαι καὶ διελθεῖν, ὅσον αὕτη τῆς τότε διέστηκεν· ἵνα μηδεὶς οἴηται με, τὰ μὲν ἁμαρτήματα τοῦ δήμου λίαν ἀκριβῶς ἐξετάζειν, εἰ δέ τι καλὸν ἢ σεμνὸν διαπέπρακται, ταῦτα παραλιπεῖν.[2] Ἔσται δ' ὁ λόγος οὔτε μακρὸς, οὔτ' ἀνωφελὴς τοῖς ἀκούουσιν.

§ 27. Ἐπειδὴ γὰρ τὰς ναῦς τὰς περὶ τὸν Ἑλλήσποντον ἀπωλέσαμεν, καὶ ταῖς ἀτυχίαις ἐκείναις ἡ πόλις περιέπεσε, τίς οὐκ οἶδε τῶν πρεσβυτέρων, τοὺς μὲν δημοτικοὺς καλουμένους, ἑτοίμους ὄντας ὁτιοῦν πάσχειν, ὑπὲρ τοῦ μὴ ποιεῖν τὸ προσταττόμενον, καὶ δεινὸν ἡγουμένους, εἴ τις ὄψεται τὴν πόλιν τὴν τῶν Ἑλλήνων ἄρξασαν, ὑφ' ἑτέροις οὖσαν, καὶ τούτους μὲν ἐκσπόνδους γενομένους;[2] τοὺς δὲ τῆς ὀλιγαρχίας ἐπιθυμήσαντας, ἑτοίμως καὶ τὰ τείχη καθαιροῦντας, καὶ τὴν δουλείαν ὑπομένοντας; καὶ τότε μὲν, ὅτε τὸ πλῆθος κύριον ἦν τῶν πραγμάτων, ἡμᾶς τὰς τῶν ἄλλων ἀκροπόλεις φρουροῦντας; ἐπειδὴ δὲ οἱ τριάκοντα παρέλαβον τὴν πολιτείαν, τοὺς πολεμίους τὴν ἡμετέραν ἔχοντας; καὶ κατὰ μὲν ἐκεῖνον τὸν χρόνον δεσπότας

---

ἄλλοις τοῖς ἐπιτηδεύμασι· σόλοικος γὰρ ἡ τοῦ ἄρθρου δίπλωσις, πλὴν εἰ μὴ εἰς γενικὴν μεταβάλλοις τὸ δεύτερον τῶν ὀνομάτων, Καὶ τοῖς ἄλλοις τῶν ἐπιτηδευμάτων. — 6. Οἷς αἱ μὲν ὀλιγαρχίαι πολεμοῦσιν.) Οὐ δεόντως ἐνταῦθα τὸ, Οἷς, εἰς τὸ, Αἷς, τρέπειν παρῄνει ὁ Οὐάλκιος.

§ 25. 2. Ἣν παραβάλωμεν ταύτην.) Ἔτρεψα τὸ παρ' ἅπασιν, Αὐτὴν εἰς τὸ, Ταύτην, ἀποδοὺς τὸν φίλον ὑπερβιβασμὸν τῷ Ῥήτορι· τὸ γὰρ ἑξῆς, Ἐπὶ καὶ ταύτην τὴν ἡμετέραν πολιτείαν ... ἣν παραβάλωμεν κ. τ. λ. Τοιοῦτόν ἐστι τὸ ἀλλαχοῦ (σελ. 115. γ'.) εἰρημένον, «Τὴν χώραν, ἣν ἡμῖν οἱ πρόγονοι κατέλιπον, ταύτην», καὶ μετ' ὀλίγα (δ') «Τὴν γὰρ δόξαν, ἣν ἡμῖν οἱ πρόγονοι ... ταύτην», καὶ πάλιν (σελ. 241.) «Τὰς Κυκλάδας νήσους, περὶ ἃς ... ταύτας». Καὶ μυρία ἕτερα ἂν εἶχον παρασχέσθαι μαρτύρια, εἰ μὴ τῆς εὐκαιρίας ἐφρόντιζον. Ἔπιθι καὶ τὰ ἐν τοῖς πρόσθεν (σελ. 87.) σημειωθέντα μοι. — 3. Οὐδείς.) Οὕτως ἅπαντες, οἷς συνᾴδει καὶ τὸ ἐμὸν ἀντίγραφον, πλὴν Λαγγίου, παρ' ᾧ γράφεται Οὐθείς.

§ 26. 2. Παραλιπεῖν.) Ἄμεινον γράφειν κατ' ἐνεστῶτα, Παραλείπειν.

§ 27. 2. Καὶ τούτους μὲν ἐκσπόνδους γενομένους.) Τοὺς δημοτικοὺς, μὴ κοινοῦντας ὧν ἐσπείσαντο οἱ ὀλιγαρχικοὶ πρὸς τοὺς Λακεδαιμονίους σπον-

ἡμῶν ὄντας Λακεδαιμονίους; ἐπειδὴ δὲ οἱ φεύγοντες, κατελθόντες, πολεμεῖν ὑπὲρ τῆς ἐλευθερίας ἐτόλμησαν, καὶ Κόνων ναυμαχῶν ἐνίκησε, πρέσβεις ἐλθόντας παρ᾽ αὐτῶν, καὶ διδόντας τῇ πόλει τὴν ἀρχὴν τῆς θαλάττης; Καὶ μὲν δὴ, καὶ τάδε τίς οὐ μνημονεύει τῶν ἡλικιωτῶν τῶν ἐμῶν; τὴν μὲν δημοκρατίαν,[3] οὕτω κοσμήσασαν τὴν πόλιν καὶ τοῖς ἱεροῖς, καὶ τοῖς ὁσίοις,[4] ὥστε ἔτι καὶ νῦν τοὺς ἀφικνουμένους νομίζειν αὐτὴν ἀξίαν εἶναι μὴ μόνον τῶν Ἑλλήνων ἄρχειν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων; τοὺς δὲ τριάκοντα τῶν μὲν[5] ἀμελήσαντας, τοὺς δὲ[6] συλήσαντας, τοὺς δὲ νεωσοίκους[7] ἐπὶ καθαιρέσει, τριῶν ταλάντων ἀποδομένους,[8] εἰς οὓς ἡ πόλις ἀνάλωσεν[9] οὐκ ἔλαττω χιλίων ταλάντων; Ἀλλὰ μὴν οὐδὲ τὴν πρᾳότητα δικαίως ἄν τις ἐπαινέσειε τὴν ἐκείνων μᾶλλον, ἢ τὴν τῆς δημοκρατίας. Οἱ μὲν γὰρ,[10] ψηφίσματι παραλαβόντες τὴν πόλιν, πεντακοσίους μὲν καὶ χιλίους[11] τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν, εἰς δὲ τὸν Πειραιᾶ φεύγειν πλείους[12] ἢ πεντακισχιλίους ἠνάγκασαν· οἱ δὲ, κρατήσαντες, καὶ μεθ᾽ ὅπλων κατιόντες,[13] αὐτοὺς τοὺς αἰτιωτάτους τῶν κακῶν ἀνελόντες, οὕτω τὰ πρὸς τοὺς ἄλλους[14]· καλῶς καὶ νομίμως διῴκησαν, ὥστε μηδὲν ἔλαττον ἔχειν τοὺς ἐκβαλόντας τῶν κατελθόντων.

δῶν. — 3. Τὴν μὲν δημοκρατίαν.) Ἐν ἅπασι, Τὴν μὲν γὰρ δημοκρατίαν, πλὴν ἑνὸς τῶν τοῦ Λαγγίου, ἐν ᾧ ὀρθῶς λείπει ὁ Γάρ. — 4. Τοῖς ὁσίοις.) Ὀρθῶς διωρθώκασί τινες ἐκ τοῦ Ἀρποκρατίωνος (λέξ. Ὅσιον) τὴν γραφὴν, ἣν καὶ οἱ πρὸ ἐμοῦ δύο παρειλήφασιν, ἀντὶ τοῦ παρ᾽ ἅπασι τοῖς λοιποῖς, Ταῖς θυσίαις. Ὅσια δὲ λέγει ἐνταῦθα ἀντιδιεσταλμένως τὰ μὴ ἱερά. — 5. Τῶν μέν.) Τῶν ὁσίων. — 6. Τοὺς δέ.) Τοὺς ναοὺς, καίπερ οὐδετέρου προηγησαμένου, Τοῖς ἱεροῖς· ᾧ μὴ ἐπιστήσας Αὐγῆρος διώρθου γράφων, Τὰ δέ... Ἔστι δὲ σχῆμα πρὸς τὸ σημαινόμενον, καθὰ καὶ τὸ παρὰ τῷ Θουκυδίδῃ (Β. μζ΄.), Νόσος... λεγόμενον. Εἶπε δὲ καὶ ἀλλαχοῦ (Πανηγυρ. § 41.) συνωνύμως, Τοὺς νεὼς κατακαίειν, καὶ, Τῶν ἐμπρησθέντων ἱερῶν. — 7. Νεωσοίκους.) Νεώσοικοι (παρὰ τὸ ναῦς καὶ οἶκος) εἰσὶν, ἃ Νεώρια καλεῖ Λυσίας ἐν τῷ τέλει τοῦ κατὰ Ἐρατοσθένους, γεγονότος ἑνὸς τῶν τριάκοντα· καὶ ἅπερ ἡ νῦν συνήθεια οὐκ ἂν ἀπεικότως καλέσειε, Καραβοστάσια, ὥσπερ ἐκάλουν οἱ πρὸ ἡμῶν οὐ πολλῷ γεγονότες (Δουκαγγ. παράρτ. σελ. 94), κατὰ τὸν τύπον τοῦ, Πορνοστάσια. Ἕτεροι δὲ (Ἁρποκρατ. λέξ. Νεώρια, καὶ Ἡσύχ. λέξ. Νεώσοικοι, μετὰ τῶν σημ.) διαφέρειν οἴονται τῶν Νεωσοίκων τὰ Νεώρια, ὡς ταῦτα μὲν εἶναι τὴν ὅλην περιβολὴν, ἕκαστον δὲ τῶν ἐν αὐτῇ Νεωσοίκων, μιᾶς νεὼς οἶκον εἶναι. — 8. Ἀποδομένους.) Ἐκ τοῦ ἐμοῦ ἀντὶ τοῦ παρ᾽ ἅπασιν, Ἀποδιδομένους. — 9. Ἀνάλωσεν.) Εἰς τοῦτο ἔτρεψα τὸ Ἀνήλωσεν, διὰ τὸν Ἀττικισμόν. — 10. Οἱ μὲν γάρ.) Οἱ τριάκοντα τύραννοι. — 11. Πεντακοσίους μὲν καὶ χιλίους.) Τοσούτους λέγει καὶ Αἰσχίνης (Περὶ παραπρεσβ. σελ. 38), καὶ Ἡρακλείδης ὁ Ποντικὸς (Πρόδρ. Ἑλλ. Βιβλ. σελ. 206). Διογένης δὲ ὁ Λαέρτιος (ἐν Βίῳ Ζήνων.) Χιλίους καὶ τετρακοσίους· ὅπερ ἐνδέχεται γραφικῶς ἡμαρτῆσθαι. — 12. Πλείους.) Τοῦτο, διὰ τὸν Ἀττικισμὸν, ἀνθυπέβαλον τῷ παρ᾽ ἅπασι, Πλείονας. — 13. Κατιόντες.) Ἐκ διορθώσεως Οὐολφίου, ἣν παρειλήφασι καὶ οἱ μετ᾽ αὐτὸν πλὴν Λαγγίου, ὃς προείλετο τὴν ἐν τοῖς ἀντιγράφοις καὶ ταῖς ἀρχαίαις ἐκδόσεσι φερομένην γραφὴν, Μετιόντες. — 14. Τὰ πρὸς τοὺς ἄλλους.) Αἱ πλεῖσται τῶν ἐκδόσεων, Τὰ πρὸς ἀλλήλους· Αὐγῆρος δὲ ἐκ δυοῖν τῶν αὐτοῦ ἀντιγράφων

§ 28. Ὁ δὲ πάντων κάλλιστον τεκμήριον καὶ μέγιστον τῆς ἐπιεικείας τοῦ δήμου· δανεισαμένων γὰρ τῶν ἐν ἄστει[2] μεινάντων ἑκατὸν τάλαντα παρὰ Λακεδαιμονίων, εἰς τὴν πολιορκίαν τῶν τὸν Πειραιᾶ κατεχόντων,[3] ἐκκλησίας γενομένης περὶ ἀποδόσεως τῶν χρημάτων, καὶ λεγόντων πολλῶν, ὡς δίκαιόν ἐστι διαλύειν τὰ πρὸς Λακεδαιμονίους, μὴ τοὺς πολιορκουμένους, ἀλλὰ τοὺς δανεισαμένους, ἔδοξε τῷ δήμῳ κοινὴν ποιήσασθαι τὴν ἀπόδοσιν. Καὶ γάρ τοι διὰ ταύτην τὴν γνώμην[4] εἰς τοιαύτην ἡμᾶς ὁμόνοιαν κατέστησαν, καὶ τοσοῦτον ἐπιδοῦναι τὴν πόλιν ἐποίησαν, ὥστε Λακεδαιμονίους, τοὺς ἐπὶ τῆς ὀλιγαρχίας ὀλίγου δεῖν καθ᾽ ἑκάστην ἡμέραν ἡμῖν προστάττοντας, ἐλθεῖν ἐπὶ τῆς δημοκρατίας ἱκετεύσοντας, καὶ δεησομένους, μὴ περιϊδεῖν σφᾶς αὐτοὺς[5] ἀναστάτους ὑπὸ Θηβαίων γενομένους. Τὸ δ᾽ οὖν κεφάλαιον τῆς ἑκατέρων[6] διανοίας, τοιοῦτον ἦν· οἱ μὲν γὰρ ἠξίουν, τῶν μὲν πολιτῶν ἄρχειν, τοῖς δὲ πολεμίοις δουλεύειν, οἱ δὲ τῶν μὲν ἄλλων ἄρχειν, τοῖς δὲ πολίταις ἴσον ἔχειν.

§ 29. Ταῦτα δὲ διῆλθον δυοῖν ἕνεκεν· πρῶτον μὲν ἐμαυτὸν ἐπιδεῖξε βουλόμενος, οὐκ ὀλιγαρχιῶν, οὐδὲ πλεονεξιῶν, ἀλλὰ δικαίας καὶ κοσμίας ἐπιθυμοῦντα πολιτείας· ἔπειτα, τὰς δημοκρατίας τάς τε κακῶς καθεστηκυίας, ἐλαττόνων συμφορῶν αἰτίας γιγνομένας, τάς τε καλῶς πολιτευομένας, προεχούσας, τῷ δικαιοτέρας εἶναι, καὶ κοινοτέρας,[2] καὶ τοῖς χρωμένοις ἡδίους.

§ 30. Τάχ᾽ οὖν ἄν τινες θαυμάσειαν, τί βουλόμενος, ἀντὶ τῆς πολιτείας, τῆς οὕτω πολλὰ καὶ καλὰ διαπεπραγμένης, ἑτέραν ὑμᾶς πείθω μεταλαβεῖν, καὶ τίνος ἕνεκα νῦν μὲν οὕτω καλῶς ἐγκεκωμίακα τὴν δημοκρατίαν, ὅταν δὲ τύχω, πάλιν μεταβαλὼν ἐπιτιμῶ, καὶ κατηγορῶ τῶν καθεστηκότων;

§ 31. Ἐγὼ δὲ καὶ τῶν ἰδιωτῶν τοὺς ὀλίγα μὲν κατορθοῦντας, πολλὰ δὲ ἐξαμαρτάνοντας, μέμφομαι, καὶ νομίζω φαυλοτέ-

---

ἔγραψε, Τὰ πρὸς ἄλλους. Τὸ ἐμὸν ἀντίγραφον ἔφερε οὐδὲν μᾶλλον ὀρθῶς, Τὰ πρὸς τοὺς ἀλλήλους, ἐξ ἧς γραφῆς ξέσαντος τινὸς τὸ ἄρθρον, ὑπολέλειπται, Τὰ πρὸς ἀλλήλους. Ἐκ τούτων οὖν τῶν διαφόρων γραφῶν διεσκεύασα τὸ χωρίον γράψας, Τὰ πρὸς τοὺς ἄλλους, τουτέστι, Τὰ πρὸς τοὺς μὴ αἰτιωτάτους. Οὕτω διορθωτέον εἶναι καὶ ὁ πρὸ ἐμοῦ συνῆκε μὲν, ὤκνησε δὲ διορθῶσαι.

§ 28. 2. Τῶν ἐν ἄστει κ. τ. λ.) Τῶν ὀλιγαρχικῶν, ἵνα πολιορκήσωσι τοὺς κατέχοντας τὸν Πειραιᾶ, ἤγουν τοὺς δημοτικούς. — 3. Κατεχόντων.) Ὀρθῶς ὁ πρὸ ἐμοῦ ἀπεκατέστησεν ἔκ τε τῶν ἀρχαίων ἐκδόσεων, καὶ τινος τῶν ἀντιγράφων τὴν γραφὴν ταύτην, ἀντὶ τῆς διορθώσεως τοῦ Οὐολφίου, Κατασχόντων, ἣν παρειλήφασιν ὅ, τε Στέφανος καὶ ὁ Αὔγηρος. Φέρεται δὲ τὸ, Κατεχόντων, καὶ ἐν τῷ ἐμῷ. — 4. Διὰ ταύτην τὴν γνώμην.) Διὰ τὴν περὶ τῆς ἀποδόσεως ταύτην κρίσιν. — 5. Μὴ περιϊδεῖν σφᾶς αὐτοὺς κ. τ. λ.) Μὴ ἐᾶσαι αὐτοὺς παντάπασιν ὑπὸ Θηβαίων ἀφανισθῆναι. Λέγει δὲ τὰ κατὰ τὰ Λευκτρικά. — 6. Ἑκατέρων.) Τῶν τε ὀλιγαρχικῶν καὶ τῶν δημοτικῶν.

§ 29. 2. Καὶ κοινοτέρας.) Φέρονται ἐν τῷ ἐμῷ αἱ δύο λέξεις αὗται, λείπουσαι ἐν τοῖς πλείστοις τῶν πρὸ ἐμοῦ ἀντιγράφων.

ρους εἶναι τοῦ δέοντος· καὶ πρός γε τούτοις,[2] τοὺς γεγονότας ἐκ καλῶν κἀγαθῶν ἀνδρῶν, καὶ μικρῷ μὲν ὄντας ἐπιεικεστέρους τῶν ὑπερβαλλόντων ταῖς πονηρίαις, πολὺ δὲ χείρους τῶν πατέρων,[3] λοιδορῶ, καὶ συμβουλεύσαιμ' ἂν αὐτοῖς παύσασθαι τοιούτοις οὖσι· Τὴν αὐτὴν οὖν γνώμην ἔχων καὶ περὶ τῶν κοινῶν, ἡγοῦμαι δεῖν ἡμᾶς μὴ μεγαλοφρονεῖν, μὴ δ' ἀγαπᾷν, εἰ κακοδαιμονησάντων[4] καὶ μανέντων ἀνθρώπων νομιμώτεροι γεγόναμεν, ἀλλὰ πολὺ μᾶλλον ἀγανακτεῖν, καὶ βαρέως φέρειν, εἰ χείρους τῶν προγόνων τυγχάνομεν ὄντες· πρὸς γὰρ τὴν ἐκείνων ἀρετὴν, ἀλλ' οὐ πρὸς τὴν τῶν τριάκοντα πονηρίαν, ἁμιλλητέον ἡμῖν ἐστιν, ἄλλως τε καὶ προσῆκον ἡμῖν βελτίστοις[5] ἁπάντων ἀνθρώπων εἶναι.

§ 32. Καὶ τοῦτον εἴρηκα τὸν λόγον, οὐ νῦν πρῶτον, ἀλλὰ πολλάκις ἤδη, καὶ πρὸς πολλούς. Ἐπίσταμαι γὰρ ἐν τοῖς ἄλλοις τόποις, φύσεις ἐγγιγνομένας καρπῶν καὶ δένδρων καὶ ζώων ἰδίας[2] ἐν ἑκάστοις, καὶ πολὺ τῶν ἄλλων διαφερούσας· τὴν δ' ἡμετέραν χώραν ἄνδρας καὶ τρέφειν καὶ φέρειν δυναμένην, οὐ μόνον πρὸς τὰς τέχνας καὶ τὰς πράξεις εὐφυεστάτους, ἀλλὰ καὶ πρὸς ἀνδρίαν καὶ πρὸς ἀρετὴν διαφέροντας. Τεκμαίρεσθαι δὲ δίκαιόν ἐστι τοῖς τε παλαιοῖς ἀγῶσιν, οὓς ἐποιήσαντο πρὸς Ἀμαζόνας, καὶ Θρᾷκας, καὶ Πελοποννησίους ἅπαντας, καὶ τοῖς κινδύνοις τοῖς περὶ τὰ Περσικὰ γενομένοις, ἐν οἷς καὶ μόνοι καὶ μετὰ Πελοποννησίων, καὶ πεζομαχοῦντες, καὶ ναυμαχοῦντες, νικήσαντες τοὺς βαρβάρους, ἀριστείων ἠξιώθησαν. Ὧν οὐδὲν ἂν ἔπραξαν, εἰ μὴ πολὺ τὴν φύσιν διήνεγκαν.

---

§ 31. 2. Καὶ πρός γε τούτοις.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ἀντὶ τοῦ παρ' ἅπασι, Καὶ πρός τε τούτοις. — 3. Πατέρων.) Καὶ τοῦτο ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ἐν ᾧ γέγραπται Πρῶν. Τοῦτο δὲ οὐδὲν ἕτερον εἶναι, ἢ τὸ Πατέρων, σημειωδῶς κατὰ χρῆσιν γραφικὴν εἰκονιζόμενον, οὐκ ἔστιν ὅστις ἠγνόηκε τῶν καὶ κατὰ μικρὸν χρησαμένων ἀντιγράφοις. Ἀποσκορακιστέον οὖν τὸ παρ' ἅπασι φερόμενον, Πατρῴων. Ἀδόκιμον ὡσαύτως καὶ τὸ φερόμενον ἔν τινι τῶν πρὸ ἐμοῦ ἀντιγράφων, Πατρῶν· οὐ γὰρ, κατὰ τὸ Θυγατρῶν, συγκέκοπται οὔτε τὸ, Πατέρων, οὔτε τὸ, Μητέρων. — 4. Κακοδαιμονησάντων.) Συνώνυμόν ἐστι τοῦ ἐπαγομένου, Μανέντων, παρὰ τὸ Κακοδαιμονάω. Ἀριστοφάνης γε μὴν καὶ πλεῖόν τι σημαίνειν ἔοικε βούλεσθαι τὸ, Κακοδαιμονᾶν, τοῦ, Μαίνεσθαι, ἐν οἷς φησι (Πλοῦτ. 501),

Τίς ἂν οὐχ ἡγοῖτ' εἶναι μανίαν,
κακοδαιμονίαν τ' ἔτι μᾶλλον;

καθὰ καὶ ἐν τῇ συνηθείᾳ ἐπὶ πλέον ἐστὶν ὁ δαιμονισμένος τοῦ μανιακοῦ. — 5. Ἄλλως τε καὶ προσῆκον ἡμῖν βελτίστοις κ. τ. λ.) Καὶ μάλιστα διότι προσήκει ἡμῖν διαφέρειν ἁπάντων τῇ ἀρετῇ. Ὁ, Καὶ ὃν ἔχει καὶ τὸ ἐμὸν ἀντίγραφον, προσετέθη ὑπὸ τοῦ Αὐγήρου καὶ τοῦ Λαγγίου ἐξ ἀντιγράφων. Ἀντὶ δὲ τοῦ, Προσῆκον ἡμῖν, ἐν τρισὶ τῶν πρὸ ἐμοῦ καὶ τετάρτῳ τῷ ἐμῷ ἀντιγράφῳ, φέρεται, Προσῆκον ἡμῖν ἐστιν.

§ 32. 2. Ἰδίας.) Παρείληφα τὴν διόρθωσιν Λαγγίου ἀντὶ τοῦ παρ' ἅπασι φερομένου, Ἰδέας (ἀνθ' οὗ ἐν τῷ ἐμῷ ἀντιγράφῳ διὰ διφθόγγου, Εἰδέας.) Ἔοικε δὲ ὡρμηθῆναι ἐπὶ τὴν διόρθωσιν, διὰ τὸν ἐπαγόμενον, Καί· ὁ δὲ νοῦς πρόδηλος· ἔστι μέντοι καὶ τὸ, Ἰδέας (ὅ ἐστι μορφὰς) κατὰ χώραν ἐῶντας, περιαιρεῖν ὅλως τὸν, Καὶ, ἢ τρέπειν εἰς τὴν, Κατὰ, ἵν' ᾖ, Κατὰ πολὺ διαφερούσας.

§ 33. Καὶ μηδεὶς οἰέσθω τὴν εὐλογίαν[2] ταύτην προσήκειν ἡμῖν τοῖς νῦν πολιτευομένοις, ἀλλὰ πολὺ τοὐναντίον. Εἰσὶ γὰρ οἱ τοιοῦτοι τῶν λόγων ἔπαινοι μὲν τῶν ἀξίους[3] σφᾶς αὐτοὺς τῆς τῶν προγόνων ἀρετῆς παρεχόντων· κατηγορία δὲ τῶν τὰς εὐγενείας ταῖς αὐτῶν ῥαθυμίαις καὶ κακίαις καταισχυνόντων· ὅπερ ἡμεῖς ποιοῦμεν· εἰρήσεται γὰρ τἀληθές. Τοιαύτης φύσεως ὑπαρχούσης, οὐ διεφυλάξαμεν αὐτὴν, ἀλλ' ἐμπεπτώκαμεν εἰς ἄγνοιαν[4] καὶ ταραχὴν, καὶ πονηρῶν πραγμάτων ἐπιθυμίαν. Ἀλλὰ γὰρ, ἢν ἐπακολουθῶν τοῖς νῦν οὖσιν[5] ἐπιτιμήσω, καὶ κατηγορήσω τῶν ἐνεστώτων πραγμάτων, δέδοικα μὴ πόῤῥω λίαν τῆς ὑποθέσεως ἀποπλανηθῶ.[6]

§ 34. Περὶ μὲν οὖν τούτων καὶ πρότερον εἰρήκαμεν, καὶ πάλιν ἐροῦμεν, ἢν μὴ πείσωμεν ὑμᾶς παύσασθαι τοιαῦτα ἐξαμαρτάνοντας. Περὶ δὲ ὧν ἐξ ἀρχῆς τὸν λόγον κατεστησάμην, βραχέα διαλεχθεὶς, παραχωρήσομαι τοῖς βουλομένοις ἔτι συμβουλεύειν περὶ τούτων.

§ 35. Ἡμεῖς γὰρ, ἢν μὲν οὕτως οἰκῶμεν τὴν πόλιν, ὥσπερ νῦν οἰκοῦμεν, οὐκ ἔστιν ὅπως οὐκ ἂν βουλευσόμεθα, καὶ πολεμήσομεν, καὶ βιωσόμεθα,[2] καὶ σχεδὸν ἅπαντα κακὰ πεισόμεθα καὶ πράξομεν, ἅπερ ἐν τῷ παρόντι καὶ τοῖς παρελθοῦσι χρόνοις· ἢν δὲ μεταβάλωμεν τὴν πολιτείαν, δηλονότι κατὰ τὸν αὐτὸν λόγον, οἷάπερ ἦν τοῖς προγόνοις τὰ πράγματα, τοιαῦτα ἔσται καὶ περὶ

§ 33. 2. Τὴν εὐλογίαν) Τὸν ἔπαινον, ἑτέρως τῆς ἐν τῇ συνηθείᾳ, Εὐλογίας τῆς σημαινούσης τὴν παρὰ τῶν ἱερέων τοῖς ἰδιώταις, ἢ παρὰ τῶν γονέων τοῖς τέκνοις γινομένην εὐχὴν, ᾗ καὶ συνάπτεται πολλάκις, ὡς ἐν τῷ, «Εὐχὰς καὶ εὐλογίας.» Σημαίνει δὲ παρὰ ταῦτα καὶ τὰ Λευκὰ ἐξανθήματα, νόσον τοῖς παιδίοις συνήθη, τὴν καλουμένην τοῖς Γάλλοις Petite vérole. Ἔοικε δὲ ἡ κλῆσις οὐ κατὰ φθορὰν παρὰ τὸ, Ἐκφλογία (τουτέστιν ἐξάνθημα φλογῶδες,) γεγονέναι, καθάπερ ᾠήθη ὁ Ἄγγλος Φρεΐνδιος (Ἱστορ. Ἰατρικ.) ἀλλὰ κατ' εὐφημισμὸν, Εὐλογία, εἰρῆσθαι, ὡς καὶ παρὰ τοῖς Τούρκοις ἡ λοιμικὴ νόσος, Εὐλογημένη (Μουμπαρέκ) καλεῖται. — 3. Ἀξίους.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ὃ παρείληφε καὶ ὁ πρὸ ἐμοῦ ἐξ ἑτέρου, ἀντὶ τοῦ σολίκου, Ἀξίων. — 4. Ἄγνοιαν.) Ἴσως γραπτέον, Ἄνοιαν. — 5. Τοῖς νῦν οὖσιν.) Οὕτω διορθοῦν δεῖν ἔγνων τὸ ἐν ταῖς ἀρχαίαις ἐκδόσεσι καὶ τοῖς ἀντιγράφοις κακῶς φερόμενον, Τοῖς αἰνοῦσιν, ἀνθ' οὗ ἅπαντες, πλὴν τοῦ Στεφάνου, προείλοντο τὴν διόρθωσιν Οὐολφίου, Τοῖς ἐνοῦσιν· τὸ δ' ἡμέτερον τοῖς νῦν οὖσιν ταὐτὸν δύναται, Τοῖς νῦν πολιτευομένοις, ὧν ἐμνήσθη μικρὸν ἀνωτέρω, ἀντιδιεσταλμένοις πρὸς τοὺς προγόνους. Τὸ δὲ Ἐπακολουθῶν ἀπὸ μεταφορᾶς τῶν ἐπιδιωκόντων ἐν τῷ πολέμῳ, ἐφ' ἧς σημασίας οὔπω κατεχωρίσθη ἐν τοῖς Λεξικοῖς, καίπερ σωζομένοις ἐν τῷ Insequor καὶ Insector τῆς τῶν Λατίνων φωνῆς. — 6. Ἀποπλανηθῶ.) Ἐκ διορθώσεως Οὐολφίου, ἣν ἀπεδείξαντο καὶ οἱ μετ' αὐτὸν, πλὴν Λαγγίου, ὃς ἐφύλαξε τὴν παρ' ἅπασι τοῖς ἄλλοις γραφὴν, Ἀποπλανῶ· ὃ καλῶς ἂν εἶχεν, εἰ προσέκειτο ἡ δευτεροπρόσωπος ἀντωνυμία, καθὰ φέρεται δὶς, «Ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως,» ἐν τῷ κατὰ Κτησιφῶντος (σελ. 566 καὶ 579) Αἰσχίνου λόγῳ.

§ 35. 2. Βιωσόμεθα.) Εἰς τὸ, Διασόμεθα, τρεπτέον εἶναι εἴκασεν οὐκ ὀρθῶς ὁ Ἄγγλος ἐκδότης.

ἡμᾶς· ἀνάγκη γὰρ ἐκ τῶν αὐτῶν πολιτευμάτων, καὶ τὰς πράξεις ὁμοίας ἀεὶ, καὶ παραπλησίας ἀποβαίνειν.

§ 36. Δεῖ δὲ, τὰς μεγίστας αὐτῶν παρ᾽ ἀλλήλας[2] τιθέντας, βουλεύσασθαι ποτέρας ἡμῖν αἱρετέον ἐστί. Καὶ πρῶτον σκεψώμεθα τοὺς Ἕλληνας, καὶ τοὺς βαρβάρους, πῶς πρὸς ἐκείνην τὴν πολιτείαν διέκειντο, καὶ πῶς νῦν ἔχουσι πρὸς ἡμᾶς· οὐ γὰρ ἐλάχιστον μέρος τὰ γένη ταῦτα συμβάλλεται πρὸς εὐδαιμονίαν, ὅταν ἔχῃ κατὰ τρόπον ἡμῖν.[3]

§ 37. Οἱ μὲν τοίνυν Ἕλληνες οὕτως ἐπίστευον τοῖς κατ᾽ ἐκεῖνον τὸν χρόνον πολιτευομένοις, ὥστε τοὺς πλείστους αὐτῶν ἑκόντας ἐγχειρίσαι τῇ πόλει σφᾶς αὐτούς· οἱ δὲ βάρβαροι τοσοῦτον ἀπεῖχον τοῦ πολυπραγμονεῖν περὶ τῶν Ἑλληνικῶν πραγμάτων, ὥστε οὔτε μακροῖς πλοίοις[2] ἔγγιστα Φασήλιδος ἔπλεον, οὔτε στρατοπέδοις ἐντὸς Ἅλυος ποταμοῦ κατέβαινον, ἀλλὰ πολλὴν ἡσυχίαν ἦγον. Νῦν δὲ εἰς τοῦτο τὰ πράγματα καθέστηκεν, ὥστε οἱ μὲν μισοῦσι τὴν πόλιν, οἱ δὲ καταφρονοῦσιν ἡμῶν. Καὶ περὶ μὲν τοῦ μίσους τῶν Ἑλλήνων, αὐτῶν ἀκηκόατε τῶν στρατηγῶν· ὡς δὲ βασιλεὺς ἔχει τὰ πρὸς ἡμᾶς, ἐκ τῶν ἐπιστολῶν,[3] ὧν ἔπεμψεν, ἐδήλωσεν.

§ 38. Ἔτι δὲ πρὸς τούτοις, ὑπὸ μὲν ἐκείνης τῆς εὐταξίας οὕτως ἐπαιδεύθησαν οἱ πολῖται πρὸς ἀρετὴν, ὥστε σφᾶς μὲν αὐτοὺς μὴ κινεῖν, τοὺς δὲ εἰς τὴν χώραν εἰσβάλλοντας ἅπαντας μαχόμενοι νικᾶν. Ἡμεῖς δὲ τοὐναντίον· ἀλλήλοις μὲν γὰρ κακὰ παρέχειν οὐδεμίαν ἡμέραν παραλείπομεν· τῶν δὲ περὶ τὸν πόλεμον οὕτω κατημελήσαμεν, ὥστε οὐδ᾽ εἰς ἐξετάσεις ἰέναι[2] τολμῶμεν, ἢν μὴ λαμβάνων ἀργύριον. Τὸ δὲ μέγιστον· τότε μὲν οὐδεὶς ἦν τῶν πολιτῶν ἐνδεὴς τῶν ἀναγκαίων, οὐδὲ, προσαιτῶν[3]

---

§ 36. 2. Παρ᾽ ἀλλήλας.) Διῄρηκα τὸ παρ᾽ ἅπασι σύνθετον, Παραλλήλας. — 3. Ὅταν ἔχῃ κατὰ τρόπον ἡμῖν.) Τὸ πλῆρες, Κατὰ τὸν δέοντα, ἢ πρέποντα, τρόπον· ὅπερ ἡ παρ᾽ ἡμῖν συνήθεια ἑρμηνεύσειεν ἂν, Ὅταν προσφέρωνται, καθὼς πρέπει, εἰς ἡμᾶς.

§ 37. 2. Μακροῖς πλοίοις.) Οὕτως ἐκάλουν τὰ πρὸς ναυμαχίαν εὔθετα πλοῖα· Στρογγύλα δὲ, τὰ κατ᾽ ἐμπορίαν πλέοντα. — 3. Ἐκ τῶν ἐπιστολῶν.) Αἰνίττεται ἴσως τοιαύτην ἐπιστολὴν, οἵαν καὶ Αἰσχίνης ἐν τῇ κατὰ Κτησιφῶντος (σελ. 632.) μνημονεύει, «Ὁ »γὰρ τῶν Περσῶν βασιλεὺς, οὐ πολλῷ »πρότερον χρόνῳ πρὸ τῆς Ἀλεξάνδρου »διαβάσεως εἰς τὴν Ἀσίαν, κατέπεμψε »τῷ δήμῳ καὶ μάλα ὑβριστικὴν καὶ »βάρβαρον ἐπιστολὴν, ἐν ᾗ τά τε δὴ »ἄλλα καὶ μάλ᾽ ἀπαιδεύτως διελέχθη, »καὶ ἐπὶ τελευτῆς ἐνέγραψεν ἐν τῇ »ἐπιστολῇ, Ἐγώ, φησιν, ὑμῖν χρυσίον »οὐ δώσω· μή με αἰτεῖτε, οὐ γὰρ »λήψεσθε.»

§ 38. 2. Εἰς ἐξετάσεις ἰέναι.) Πορεύεσθαι εἰς τὸ ἐγγραφῆναι τῷ στρατιωτικῷ καταλόγῳ, εἰς τὸ μετὰ τῶν στρατευσομένων ἐξετασθῆναι· Εἴη δ᾽ ἂν ἐξέτασις στρατιωτῶν καὶ ἣν οἱ Γάλλοι Revue καλοῦσι. — 3. Οὐδὲ προσαιτῶν κ. τ. λ.) Σημείωσαι ὅτι πολιτείας κακία τὸ πτωχεύειν καὶ προσαιτεῖν τοὺς πολίτας.

τοὺς ἐντυγχάνοντας, τὴν πόλιν κατῄσχυνε· νῦν δὲ πλείους εἰσὶν οἱ σπανιζόμενοι τῶν ἐχόντων· οἷς ἄξιόν ἐστι πολλὴν συγγνώμην ἔχειν, εἰ μηδὲν τῶν κοινῶν φροντίζουσιν, ἀλλὰ τοῦτο σκοποῦσιν, ὁπόθεν ἀεὶ τὴν παροῦσαν ἡμέραν δυνήσονται διαγαγεῖν.

§ 39. Ἡγούμενος μὲν οὖν ἐγώ, ἢν μιμησώμεθα τοὺς προγόνους, καὶ τῶν κακῶν ἡμᾶς τούτων ἀπαλλαγήσεσθαι, καὶ σωτῆρας οὐ μόνον τῆς πόλεως, ἀλλὰ καὶ τῶν Ἑλλήνων ἁπάντων γενήσεσθαι, τήν τε πρόσοδον ἐποιησάμην, καὶ τοὺς λόγους εἴρηκα τούτους· ὑμεῖς δέ, ταῦτα πάντα λογισάμενοι, χειροτονεῖτε[2] ὅ,τι ἂν ὑμῖν δοκῇ μάλιστα συμφέρειν τῇ πόλει.

## Ε΄. ΠΑΝΑΘΗΝΑΙΚΟΣ.

ΔΙΑ τί Παναθηναϊκὸς ἐπιγέγραπται ὁ προκείμενος λόγος, οὐ πάνυ τι ῥᾴδιον συνιδεῖν. Ἢ ῥητέον ὅτι τὸν χρόνον ὁ ῥήτωρ ἠβουλήθη διὰ τούτου δηλῶσαι, καθ' ὃν ἤρξατο τοῦ γράφειν αὐτόν, καὶ ὃν εἰκὸς τοῖς μεγάλοις Παναθηναίοις συμπεσεῖν, ὡς γοῦν ἔξεστιν εἰκάσαι ἐξ ὧν λέγει (σελ. 236) περὶ τῶν μικρὸν πρὸ τῆς ἑορτῆς ταύτης διαβαλόντων αὐτὸν σοφιστῶν. Ἢ καὶ ὅτι δι' ὅλου σχεδὸν τοῦ λόγου Ἀθηναίους ἐγκωμιάζων, καὶ τὰς πράξεις αὐτῶν μείζους τε καὶ καλλίους τῶν Λακεδαιμονίοις πεπραγμένων ἐπιδεῖξαι σπουδάζων, Παναθηναϊκὸν εἰκότως τὸν λόγον ἐπέγραψε· καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τὰ τῶν Ἀθηναίων οὐ πρότερον ἐπὶ μέγα δόξης τε καὶ δυνάμεως ἤρθη, πρὶν ὑπὸ Θησέως εἰς μίαν πόλιν, τὰς Ἀθήνας, συνῳκίσθησαν, δι' ὃν συνοικισμὸν καὶ ἡ τῆς Ἀθηνᾶς ἑορτή, Ἀθήναια τέως καλουμένη, Παναθήναια μετωνομάσθη. Μνημονεύει δὲ ἄλλως καὶ τοῦ συνοικίσαντος Θησέως πολλαχοῦ τοῦ λόγου. Καὶ ταῦτα μὲν περὶ τῆς ἐπιγραφῆς. Ὁ δὲ λόγος, καίπερ οὐκ ὀλίγης μεστὸς πρεσβυτικῆς πολυλογίας τε καὶ περιαυτολογίας, ἣν οὐκ ἔστιν ὅστις ἄν, μὴ πικρὸς εἶναι βουλόμενος δικαστής, οὐ συγγνοίη ἔτι γεγονότι τέσσαρα πρὸς τοῖς ἐνενήκοντα τῷ Ἰσοκράτει, ὅτε γράφειν αὐτὸν ἤρχετο, τοσούτοις ὅμως καὶ τοιούτοις κεκόσμηται φιλοσόφοις παραγγέλμασιν, ἅπασιν ἀνθρώποις κοινῇ προσήκουσι, τοσούτοις δὲ καὶ τοῖς πρὸς Ἀθηναίους ἰδίᾳ νουθετήμασιν, ὥστ' ἔγωγε τὸν λόγον γῆρας μέν, ἀλλὰ γῆρας λέοντος, ἐμφαίνειν οὐκ ἂν ὀκνήσαιμι φῆσαι.

§ 1. ΝΕΩΤΕΡΟΣ μὲν ὤν, προῃρούμην γράφειν τῶν λόγων οὐ τοὺς μυθώδεις, οὐδὲ τοὺς τερατείας καὶ ψευδολογίας μεστούς, οἷς οἱ πολλοὶ μᾶλλον χαίρουσιν, ἢ τοῖς περὶ τῆς αὑτῶν σωτηρίας λεγομένοις, οὐδὲ τοὺς τὰς παλαιὰς πράξεις, καὶ τοὺς πολέμους τοὺς Ἑλληνικοὺς ἐξηγουμένους, καίπερ εἰδὼς δικαίως αὐτοὺς ἐπαινουμένους, οὐδ' αὖ τοὺς ἁπλῶς εἰρῆσθαι δοκοῦντας, καὶ μηδεμιᾶς κοσμιότητος[2] μετέχοντας, οὓς οἱ δεινοὶ περὶ τοὺς ἀγῶνας παραινοῦσι τοῖς νεωτέροις μελετᾷν, εἴπερ βούλονται πλέον

§ 39. 2. Χειροτονεῖτε.) διὰ τῆς τῶν χειρῶν ἀνατάσεως ψηφίσασθε· τοῦτο γὰρ ἦν παρὰ τοῖς ἀρχαίοις ἡ Χειροτονία (ἔπιθι τὰς εἰς τὸν Ἡλιόδωρ. σημ. σελ. 167.) παρ' ἡμῖν δὲ ἕτερόν τι σημαίνει τοὔνομα.

§ 1. 2. Κοσμιότητος.) Κάλλους κομ-

ἔχειν τῶν ἀντιδίκων· ἀλλὰ πάντας τούτους ἐάσας, περὶ ἐκείνους ἐπραγματευόμην, τοὺς περὶ τῶν συμφερόντων τῇ τε πόλει, καὶ τοῖς ἄλλοις Ἕλλησι συμβουλεύοντας, καὶ πολλῶν μὲν ἐνθυμημάτων[3] γέμοντας, οὐκ ὀλίγων δ' ἀντιθέσεων καὶ παρισώσεων,[4] καὶ τῶν ἄλλων ἰδεῶν[5] τῶν ἐν ταῖς ῥητορείαις διαλαμπουσῶν, καὶ τοὺς ἀκούοντας ἐπισημαίνεσθαι[6] καὶ θορυβεῖν ἀναγκαζουσῶν· νῦν δ' οὐδ' ὁπωσοῦν τοὺς τοιούτους. Ἡγοῦμαι γὰρ, οὐχ ἁρμόττειν, οὔτε τοῖς ἔτεσι[7] τοῖς ἐννενήκοντα καὶ τέτταρσιν,[8] ὧν ἐγὼ τυγχάνω γεγονὼς, οὐθ' ὅλως τοῖς ἤδη πολιὰς ἔχουσιν, ἐκεῖνον τὸν τρόπον ἔτι λέγειν, ἀλλ', ὡς ἅπαντες μὲν ἂν ἐλπίσειαν ἢ βουληθεῖεν, οὐδεὶς δ' ἂν δυνηθείη ῥᾳδίως, πλὴν τῶν πονεῖν ἐθελόντων, καὶ σφόδρα προσεχόντων τὸν νοῦν. Τούτου δ' ἕνεκα ταῦτα προεῖπον, ἵν', ἣν τισιν ὁ μέλλων λόγος λεχθήσεσθαι, μαλακώτερος ὢν φαίνηται τῶν πρότερον διαδεδομένων,[9] μὴ παραβάλλωσι πρὸς τὴν ἐκείνων ποικιλίαν, ἀλλὰ πρὸς τὴν ὑπόθεσιν αὐτὸν κρίνωσι τὴν ἐν τῷ παρόντι δεδοκιμασμένην.[10]

§ 2. Διαλέξομαι δὲ περὶ τῶν τῇ πόλει πεπραγμένων, καὶ περὶ τῆς τῶν προγόνων ἀρετῆς, οὐκ ἀπὸ τούτων ἀρξάμενος, ἀλλὰ ἀπὸ τῶν ἐμοὶ συμβεβηκότων· ἐντεῦθεν γὰρ οἶμαι μᾶλλον κατεπείγειν.[2]

§ 3. Πειρώμενος γὰρ ἀναμαρτήτως ζῆν καὶ τοῖς ἄλλοις ἀλύπως, οὐδένα διαλέλοιπα χρόνον, ὑπὸ μὲν τῶν σοφιστῶν τῶν

ψότητος. — 3. Ἐνθυμημάτων.) Εἴρηται ἐν τοῖς πρόσθεν τί ἐστιν ἐνθύμημα παρὰ τοῖς Ῥήτορσι. — 4. Ἀντιθέσεων καὶ παρισώσεων.) Περὶ τῆς μειρακιώδους χρήσεως τῶν τε παρίσων καὶ τῶν ἀντιθέτων, διδασκέτω σε Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἐν τοῖς περὶ Ἰσοκράτους. — 5. Ἰδεῶν.) Σχημάτων, ἐνταῦθα. Σημαίνει δὲ ἡ ἰδέα καὶ τὸν ἄλλως χαρακτῆρα τοῦ λόγου καλούμενον· οἷόν ἐστι τὸ Ἑρμογένους περὶ ἰδεῶν ἐπιγραφόμενον σύνταγμα. Παρὰ ταῦτα δὲ ἰδέα λόγου λέγεται καὶ τὸ εἶδος, καθ' ὃ φαμὲν τρεῖς ἰδέας εἶναι τοῦ ῥητορικοῦ λόγου, Συμβουλευτικὴν, Δικανικὴν, Ἐπιδεικτικήν. — 6. Ἐπισημαίνεσθαι.) Ἀντὶ τοῦ ἐπαινεῖν, φησὶν ὁ Ἁρποκρατίων τοῦτο παρατιθέμενος τὸ χωρίον. — 7. Ἡγοῦμαι γὰρ οὐχ ἁρμόττειν, οὔτε τοῖς ἔτεσι κ. τ. λ.) Παρῃνίξατο τὴν Σωκράτους ἀπολογίαν· οὕτω γὰρ κἀκεῖνος (Πλάτων. Ἀπολ. Σωκρ. σελ. 17.) ἐν ἀρχῇ πρὸς τοὺς δικαστὰς, «Οὐ γὰρ ἂν »δήπου πρέποι, ὦ ἄνδρες, τῇδε τῇ ἡ»λικίᾳ, ὥσπερ μειρακίῳ πλάττοντι λό»γους, εἰς ὑμᾶς εἰσιέναι.» — 8. Τέτταρσιν.) Ἔτρεψα εἰς τὸ Ἀττικὸν Τέτταρσιν, τὸ παρ' ἅπασι, Τέσσαρσιν. — 9. Διαδεδομένων.) Εἰς τοῦτο θαῤῥήσας ἔτρεψα τὸ ἐν ταῖς παλαιαῖς τῶν ἐκδόσεων, καὶ ἐν τοῖς ἀντιγράφοις, οἷς συνᾴδει καὶ τὸ ἐμὸν, φερόμενον, Διδομένων, ὅπερ οἱ πρὸ ἐμοῦ, Οὐολφίου διορθώσαντος, ἔγραψαν, Ἐκδεδομένων. Εἰκὸς γὰρ μᾶλλον τὸ, Διαδεδομένων ἢ τὸ, Ἐκδεδομένων, τρέψαι τοὺς ἀντιγράψαντας εἰς τὸ Διδομένων, ἄλλως τε καὶ χρησαμένου τοῦ ῥήτορος τῇ αὐτῇ λέξει ἐν τῷ τέλει τοῦ πρὸς Φίλιππον λόγου (ξγ'.) «Ἦν δ' ὅμοια τοῖς »πρότερον διαδεδομένοις κ. τ. λ.» — 10. Τὴν ἐν τῷ παρόντι δεδοκιμασμένην.) Ἣν ἐπὶ τοῦ παρόντος ἐξελεξάμην καὶ προειλόμην ὑπόθεσιν τοῦ λόγου.

§ 2. 2. Κατεπείγειν.) Προσυπακουστέον ἐκ τῶν προηγησαμένων τὸ, Ἄρξασθαι. Σημείωσαι δὲ καὶ τὸ, Κατεπείγειν, ἀπροσώπως, κατὰ τὸ, Προσήκειν, Πρέπειν, καὶ τὰ τοιαῦτα.

ἀδοκίμων καὶ πονηρῶν διαβαλλόμενος, ὑπ᾽ ἄλλων δέ τινων οὐχ οἷός εἰμι γιγνωσκόμενος, ἀλλὰ τοιοῦτος ὑπολαμβανόμενος, οἷον ἂν παρ᾽ ἑτέρων ἀκούσωσι. Βούλομαι οὖν προδιαλεχθῆναι περί τε ἐμαυτοῦ, καὶ περὶ τῶν οὕτω πρός με διακειμένων, ἵν᾽, ἤν πως οἷός τε γένωμαι,[2] τοὺς μὲν παύσω βλασφημοῦντας, τοὺς δὲ εἰδέναι ποιήσω, περὶ ἃ προαιρούμενος τυγχάνω διατρίβειν·[3] ἢν γὰρ ταῦτα τῷ λόγῳ δυνηθῶ διοικῆσαι κατὰ τρόπον, ἐλπίζω τὸν ἐπίλοιπον χρόνον αὐτός τε ἀλύπως διάξειν, καὶ τῷ λόγῳ τῷ μέλλοντι ῥηθήσεσθαι τοὺς παρόντας μᾶλλον προσέξειν τὸν νοῦν.

§ 4. Οὐκ ὀκνήσω δὲ κατειπεῖν, οὔτε τὴν νῦν γενομένην[2] ἐν τῇ διανοίᾳ μου ταραχήν, οὔτε τὴν ἀτοπίαν, ἣν ἐν τῷ παρόντι τυγχάνω γιγνώσκων, οὔτε εἴ τι πράττω τῶν δεόντων.[3] Ἐγὼ γὰρ μετεσχηκὼς τῶν μεγίστων ἀγαθῶν, ὧν ἅπαντες ἂν εὔξαιντο μεταλαβεῖν, πρῶτον μὲν τῆς περὶ τὸ σῶμα καὶ τὴν ψυχὴν ὑγιείας, οὐχ ὡς ἔτυχεν, ἀλλ᾽ ἐναμίλλως τοῖς μάλιστα περὶ ἑκάτερον τούτων ηὐτυχηκόσιν, ἔπειτα τῆς περὶ τὸν βίον εὐπορίας οὕτως, ὥστε μηδενὸς πώποτε ἀπορῆσαι τῶν μετρίων, μηδ᾽ ὧν ἄνθρωπος ἄν, νοῦν ἔχων, ἐπιθυμήσειεν, ἔτι δὲ τοῦ μὴ τῶν καταβεβλημένων[4] εἷς εἶναι, μηδὲ τῶν κατημελημένων, ἀλλ᾽ ἐκείνων, περὶ ὧν οἱ χαριέστατοι[5] τῶν Ἑλλήνων καὶ μνησθεῖεν ἄν, καὶ διαλεχθεῖεν ὡς σπουδαίων ὄντων· τούτων ἁπάντων μοι συμβεβηκότων, τῶν μὲν ὑπερβαλλόντως, τῶν δ᾽ ἐξαρκούντως,[6] οὐκ ἀγαπῶ ζῶν ἐπὶ τούτοις, ἀλλ᾽ οὕτω μοι τὸ γῆρας ἐστὶ δυσάρεστον, καὶ μικρολόγον, καὶ μεμψίμοιρον, ὥστε πολλάκις ἤδη τήν τε φύσιν[7] τὴν ἐμαυτοῦ κατεμεμψάμην, ἧς οὐδεὶς ἄλλος καταπεφρόνηκε, καὶ τὴν τύχην ὠδυράμην, ταύτῃ μὲν οὐδὲν ἔχων ἐγκαλεῖν ἄλλο, πλὴν ὅτι περὶ τὴν φιλοσοφίαν, ἣν προειλόμην, ἀτυχίαι τινές μοι καὶ συκοφαντίαι γεγόνασι, τὴν δὲ φύσιν εἰδώς,[8] πρὸς μὲν τὰς πράξεις

---

§ 3. 2. Γένωμαι.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ᾧ συνᾴδει, καὶ τὸ τοῦ Λαγγίου, ἀντὶ τοῦ σολοίκου ἐνεστῶτος, Γίνωμαι. — 3. Περὶ ἃ προαιρούμενος τυγχάνω διατρίβειν.) Τὸ, Προαιρούμενος, ὑπ᾽ ὀψιαιτέρας προστεθειμένον χειρὸς ἐν τῷ ἐμῷ ἀντιγράφῳ, ὑπονοεῖν παρέχει μήποτε ἡ ἀρχαία γραφὴ ἦν, Περὶ ἃ τυγχάνω διατρίβων.

§ 4. 2. Τὴν νῦν Γενομένην.) Οὕτω καὶ τὸ ἐμὸν ἀντίγραφον· καὶ οὐ χρὴ μετακινεῖν τὴν γραφήν, καθὰ παρῄνει Οὐόλφιος. — 3. Οὔτε εἴ τι πράττω τῶν δεόντων.) Οὐδὲ ταύτην μεταποιητέον τὴν γραφήν, ὡς ἔδοξεν Οὐολφίῳ. Τὸ γὰρ πράττειν τὰ δέοντα πρὸς τὰ ἑξῆς ἀναφέρεται (ε), τὸ φιλοσοφεῖν δηλονότι καὶ τὸ πονεῖν. Ἀτοπίαν δὲ καὶ ταραχὴν ἐγγενομένην αὐτῷ λέγει διὰ τὸ μεμψίμοιρον αὐτοῦ καὶ δυσάρεστον. — 4. Τῶν καταβεβλημένων.) Τῶν ἀπερριμένων καὶ καταπεφρονημένων. — 5. Οἱ χαριέστατοι.) Οἱ μάλιστα πεπαιδευμένοι. — 6. Τῶν μὲν ὑπερβαλλόντως, τῶν δ᾽ ἐξαρκούντως.) Ὑπερβαλλόντως μὲν τῆς ὑγείας, ἐξαρκούντως δὲ τῆς περὶ τὸν βίον εὐπορίας. — 7. Τήν τε φύσιν.) Εἰς τοῦτο δεῖν τρέψαι τὸ παρ᾽ ἅπασι, Τὴν μὲν φύσιν, ὑπέλαβον. — 8. Εἰδώς.) Ὑπονοεῖ Οὐόλφιος

ἀῤῥωστοτέραν, καὶ μαλακωτέραν οὖσαν τοῦ δέοντος, πρὸς δὲ τοὺς λόγους οὐ τελείαν,[9] οὔτε πανταχῆ χρησίμην, ἀλλὰ δοξάσαι μὲν περὶ ἑκάστου τὴν ἀλήθειαν μᾶλλον δυναμένην τῶν εἰδέναι φασκόντων, εἰπεῖν δὲ παῤῥησίᾳ περὶ τῶν αὐτῶν τούτων ἐν συλλόγῳ πολλῶν ἀνθρώπων,[10] ἁπασῶν τῶν φύσεων,[11] ὡς ἔπος εἰπεῖν, ἀπολελειμμένην. Οὕτω γὰρ ἐνδεὴς ἀμφοτέρων ἐγενόμην τῶν μεγίστην δύναμιν ἐχόντων παρ' ἡμῖν,[12] φωνῆς ἱκανῆς, καὶ τόλμης, ὡς οὐκ οἶδ' εἴ τις ἄλλος τῶν πολιτῶν· ὧν οἱ μὴ τυχόντες ἀτιμότεροι γίγνονται, πρὸς τῷ μὴ δοκεῖν[13] ἄξιοί τινος εἶναι, τῶν ὀφειλόντων τῷ δημοσίῳ· τοῖς μὲν γὰρ ἐκτίσειν τὸ καταγνωσθὲν ἐλπίδες ὕπεισιν,[14] οἱ δ' οὐδέποτ' ἂν τὴν φύσιν μεταβάλλοιεν.

§ 5. Οὐ μὴν ἐπὶ τούτοις ἀθυμήσας περιεῖδον ἐμαυτὸν ἄδοξον, οὐδ' ἀφανῆ παντάπασι γενόμενον, ἀλλ' ἐπεὶ τοῦ πολιτεύεσθαι[2] διήμαρτον, ἐπὶ τὸ φιλοσοφεῖν, καὶ πονεῖν, καὶ γράφειν ἃ διανοηθείην, κατέφυγον, οὐ περὶ μικρῶν τὴν προαίρεσιν αἱρούμενος,[3] οὐδὲ περὶ τῶν ἰδίων συμβολαίων, οὐδὲ περὶ ὧν ἄλλοι τινὲς ληροῦσιν, ἀλλὰ περὶ τῶν Ἑλληνικῶν καὶ βασιλικῶν καὶ πολιτικῶν πραγμάτων· δι' ἃ προσήκειν ᾤμην μοι τοσοῦτον μᾶλλον τιμᾶσθαι

---

μήποτ' ἐγέγραπτο, Εἰληχώς. — 9. Οὐ τελείαν.) Ἐκ διορθώσεως Οὐολφίου παρειλήφασιν· οἱ προεμοῦ, ἀντὶ τοῦ, Οὔτε λείαν. Εὕρηται δ' οὕτω διωρθωμένον καὶ ἐν τῷ ἐμῷ ἀντιγράφῳ. — 10. Εἰπεῖν δὲ παῤῥησίᾳ περὶ τῶν αὐτῶν τούτων ἐν συλλόγῳ πολλῶν ἀνθρώπων.) Τὸ ἐμὸν ἀντίγραφον, καὶ τὸ τοῦ Ἄγγλου ἐκδότου, ὡς καὶ αἱ ἀρχαῖαι ἐκδόσεις, καὶ ἡ τοῦ Στεφάνου, τάττουσι τὸ, Παῤῥησίᾳ, μετὰ τὸ, Πολλῶν· τὸ δὲ τοῦ Λαγγίου, μετὰ τὸ, Συλλόγῳ· οἱ λοιποὶ Οὐολφίῳ πεισθέντες, ἐξέβαλον ὅλως τοῦ χωρίου τὴν λέξιν, πλὴν Αὐγήρου τάξαντος εἰς ὃν καὶ ἡμεῖς κατεχωρίσαμεν τόπον. — 11. Ἁπασῶν τῶν φύσεων.) Προσέθηκα τὰς δύο λέξεις, Τῶν φύσεων, ἐκ τοῦ Λαγγίου ἀντιγράφου. — 12. Τῶν μεγίστην δύναμιν ἐχόντων παρ' ἡμῖν.) Καθάπτεται λεληθότως τῶν Ἀθηναίων, μεγίστην λέγων δύναμιν ἔχειν παρ' αὐτοῖς τήν τε μεγάλην φωνὴν, καὶ τὴν τόλμην, οἷς ἴσχυον μάλιστα οἱ δημαγωγοῦντες. Διὸ καὶ ὁ χαριέστατος Ἀριστοφάνης (Ἱππ. 217) παράγει τινὰ λέγοντα πρὸς τὸν παραιτούμενον τὴν δημαγωγίαν ἀλλαντοπώλην,

Τὰ δ' ἄλλα σοι πρόσεστι δημαγωγικὰ,
Φωνὴ μιαρὰ, γέγονας κακῶς, ἀγοραῖος εἶ·
Ἔχεις ἅπαντα πρὸς πολιτείαν ἃ δεῖ.

— 13. Πρὸς τὸ μὴ δοκεῖν κ. τ. λ.) Ἐν δυσὶ τῶν προεμοῦ ἀντιγράφοις φέρεται· Πρὸς τὸ μὴ δοκεῖν, ὃ παρέλαβον ὅ, τε Αὐγῆρος καὶ ὁ Λάγγιος. Ἐν δὲ τῷ ἐμῷ γεγραμμένον κατ' ἀρχὰς, Πρὸς τὸ δοκεῖν, κατ' αἰτιατικὴν, καὶ ἄνευ τοῦ ἀπαγορευτικοῦ (ὡς ᾤετο δεῖν διορθοῦν Οὐόλφιος), μετεποιήθη ὑπ' ὀψιαιτέρας χειρὸς εἰς τὸ, Πρὸς τῷ μὴ δοκεῖν. Ὁ νοῦς, Οὐ μόνον μηδενὸς ἄξιοι δοκοῦσιν εἶναι, ἀλλὰ καὶ ἀτιμότεροι γίνονται τῶν καταγνωσθέντων ὀφείλειν, καὶ μήπω ἐκτισάντων τῷ δημοσίῳ τὸ ὀφειλόμενον. — 14. Ὑπεισιν.) Ὑπολείπονται.

§ 5. 2. Τοῦ πολιτεύεσθαι.) Ἐξ εἰκασίας Οὐολφίου· ἐν δὲ ταῖς ἐκδόσεσι, καὶ τοῖς ἀντιγράφοις, φέρεται ἀνάρθως, καὶ καταπαρακειμένην, Πεπολιτεῦσθαι, πλὴν Αὐγήρου τε καὶ Λαγγίου, οἳ γράφουσι, Τοῦ πεπολιτεῦσθαι. Ὅτι δὲ ἄμεινον κατ' ἐνεστῶτα, μαρτυρεῖ καὶ τὰ προσόμοια χωρία (πρὸς Φίλιππ. λδ', καὶ Ἀποστολ. Η). — 3. Τὴν προαίρεσιν αἱρούμενος.) Ὡς τὸ, Ζῶ ζωήν· οὐκ ἀπιθάνως γε μὴν ὁ Οὐόλφιος ἀντὶ τοῦ, Αἱρούμενος ὑπονοεῖ γεγράφθαι, Ποιούμενος ὃ καὶ παρειλήφασιν ὅ, τε Ἄγγλος

τῶν ἐπὶ τὸ βῆμα παριόντων, ὅσῳ περὶ μειζόνων καὶ καλλιόνων ἢ κεῖνοι, τοὺς λόγους ἐποιούμην. Ὧν οὐδὲν ἡμῖν ἀποβέβηκε· καίτοι πάντες ἴσασι, τῶν μὲν ῥητόρων πολλούς, οὐχ ὑπὲρ τῶν τῇ πόλει συμφερόντων, ἀλλ᾽ ὑπὲρ ὧν αὐτοὶ λήψεσθαι προσδοκῶσι, δημηγορεῖν τολμῶντας, ἐμὲ δέ, καὶ τοὺς ἐμούς, οὐ μόνον τῶν κοινῶν ἀπεχομένους μᾶλλον τῶν ἄλλων, ἀλλὰ καὶ τῶν ἰδίων εἰς τὰς τῆς πόλεως χρείας, ὑπὲρ τὴν δύναμιν τὴν ἡμετέραν δαπανωμένους·[4] ἔτι δὲ τοὺς μὲν ἢ λοιδορουμένους ἐν ταῖς ἐκκλησίαις περὶ μεσεγγυημάτων[5] σφίσιν αὐτοῖς, ἢ λυμαινομένους τοὺς συμμάχους, ἢ τῶν ἄλλων ὃν ἂν τύχωσι συκοφαντοῦντας,[6] ἐμὲ δὲ τῶν λόγων τούτων ἡγεμόνα γεγενημένον τῶν παρακαλούντων τοὺς Ἕλληνας, ἐπί τε τὴν ὁμόνοιαν τὴν πρὸς ἀλλήλους, καὶ τὴν στρατείαν τὴν ἐπὶ τοὺς βαρβάρους, καὶ τῶν συμβουλευόντων ἀποικίαν ἐκπέμπειν κοινῇ πάντας ἐπὶ τοιαύτην χώραν, καὶ τοσαύτην, περὶ ἧς ὅσοι περ ἀκηκόασιν, ὁμολογοῦσιν ἡμᾶς τε, εἰ σωφρονήσαιμεν, καὶ παυσαίμεθα τῆς πρὸς ἀλλήλους μανίας, ταχέως ἄνευ πόνων[7] καὶ κινδύνων, κατασχεῖν αὐτήν, ἐκείνην τε ῥᾳδίως ἂν ἅπαντας δέξασθαι τοὺς ἐνδεεῖς ἡμῶν ὄντας τῶν ἐπιτηδείων· ὧν πράξεις, εἰ πάντες συνελθόντες ζητοῖεν, οὐδέποτ᾽ ἂν εὕροιεν καλλίους, οὐδὲ μείζους, οὐδὲ μᾶλλον ἅπασιν ἡμῖν συμφερούσας.

§ 6. Ἀλλ᾽ ὅμως, οὕτω πολὺ τῇ διανοίᾳ διεστώτων ἡμῶν, καὶ τοσούτῳ σπουδαιοτέραν ἐμοῦ πεποιημένου τὴν αἵρεσιν, οὐ δικαίως οἱ πολλοὶ περὶ ἡμῶν ὑπειλήφασιν, ἀλλὰ ταραχώδη, καὶ παντάπασιν ἀλόγιστον.[2] Τῶν μὲν γάρ[3] ἄλλων ῥητόρων τὸν τρόπον ψέγοντες, προστάτας αὐτοὺς τῆς πόλεως ποιοῦνται, καὶ κυρίους

ἐκδότης καὶ ὁ Αὐγῆρος. — 4. Δαπανωμένους.) Κατὰ μέσην διάθεσιν, ὡς καὶ ἐν τῇ συνηθείᾳ οὐ μόνον Ἐξωδιάζω, ἀλλὰ καὶ μέσως Ἐξοδιάζομαι, φαμέν. — 5. Μεσεγγυημάτων.) «Μεσεγγύημα, »τὸ ὁμολογηθὲν ἀργύριον παρ᾽ ἀνδρὶ »μέσῳ, γινομένῳ ἐγγυητῇ τῆς ἀποδό»σεως· καί, Μεσεγγυήσασθαι, τὸ ποιῆ»σαι τοῦτο, λέγεται.» Οὕτως ἐξηγεῖται τὴν λέξιν Ἁρποκρατίων, οὐ πάνυ τι ἀκριβῶς· ἢ δῆλον ἔκ τε ἄλλων καὶ τοῦ Σουΐδα (λέξ. Μεσεγγύημα), καί περ πολλὰ κἀκείνου παρὰ τὸ ἀκριβὲς λέγοντος. Ἔστι γὰρ μεσεγγύημα, τὸ ὑπὸ διαφερομένων δύο παρακατατιθέμενον κοινῷ τινι μέσῳ ἀργύριον, ἐφ᾽ ᾧ θατέρῳ αὐτῶν ἀποδοῦναι μετὰ τὸ διαλύσασθαι τὰ πρὸς ἀλλήλους, καὶ περὶ τοῦ ἀμφισβητουμένου ὁμονοῆσαι. Τοῦτο δὲ οἱ Γάλλοι καλοῦσι, Séquestre, καθὰ καὶ τὸ Μεσεγγυήσασθαι, Séquestrer. — 6. Ἢ τῶν ἄλλων ὃν ἂν τύχωσι συκοφαντοῦντας.) Ἐθεράπευσα τὸν σολοικισμὸν τοῦ χωρίου τρέψας τό, Ὧν, εἰς τό, Ὅν· αἰτιατικῇ γάρ, καὶ οὐ γενικῇ, συντάσσεται τὸ Συκοφαντῶ. — 7. Ταχέως ἄνευ πόνων κ. τ. λ.) Ἄμεινον, Ταχέως ἂν ἄνευ πόνων, γράφειν μετὰ τοῦ δυνητικοῦ, ἢ δῆλον καὶ ἐκ τοῦ ἐπαγομένου, Ῥᾳδίως ἂν ἅπαντας δέξασθαι.

§ 6. 2. Ταραχώδη, καὶ παντάπασιν ἀλόγιστον.) Οὐκ ἐῤῥῶσθαι τὸ χωρίον εὐλόγως ὑπενόησεν Οὐάλφιος. Ἔστιν ὅμως διὰ τῆς ἀναλύσεως τοῦ Ὑπειλήφασιν, ὡδίπως ἐκφράζειν, Οὐ δικαίαν οἱ πολλοὶ περὶ ἡμῶν ὑπόληψιν ἔχουσιν, ἀλλὰ ταραχώδη, καὶ παντάπασιν ἀλόγιστον. — 3. Τῶν μὲν γάρ.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, καθὰ καὶ Λάγγιος ἔγραψεν ἐκ τοῦ αὐτοῦ, ἀντὶ τοῦ παρὰ τοῖς ἄλ-

αὐτῆς[4] καθιστᾶσιν, ἐμοῦ δὲ τοὺς λόγους ἐπαινοῦντες, αὐτῷ μοι φθονοῦσι, δι᾽ οὐδὲν ἕτερον, ἢ διὰ τούτους[5] οὓς ἀποδεχόμενοι τυγχάνουσιν. Οὕτως ἀτυχῶς φέρομαι παρ᾽ αὐτοῖς.

§ 7. Καὶ τί δεῖ θαυμάζειν τῶν οὕτω διακεῖσθαι πεφυκότων πρὸς ἁπάσας τὰς ὑπεροχὰς, ὅπου καὶ τῶν οἰομένων διαφέρειν, καὶ ζηλούντων ἐμὲ, καὶ μιμεῖσθαι γλιχομένων, τινὲς ἔτι δυσμενέστερον ἔχουσι τῶν ἰδιωτῶν; ὧν τίνας ἄν τις εὕροι πονηροτέρους; (εἰρήσεται γάρ, εἰ καί τισι δόξω[2] νεώτερα καὶ βαρύτερα λέγειν τῆς ἡλικίας,) οἵτινες οὔτε φράζειν οὐδὲν μέρος ἔχοντες τοῖς μαθηταῖς τῶν εἰρημένων[3] ὑπ᾽ ἐμοῦ, τοῖς τε λόγοις παραδείγμασι χρώμενοι τοῖς ἐμοῖς, καὶ ζῶντες ἐντεῦθεν, τοσούτου δέουσι χάριν ἔχειν, ὥστ᾽ οὐδ᾽ ἀμελεῖν ἡμῶν[4] ἐθέλουσιν, ἀλλ᾽ ἀεί τι φλαῦρον περὶ ἐμοῦ λέγουσιν.

§ 8. Ἕως μὲν οὖν τοὺς λόγους ἡμῶν ἐλυμαίνοντο, παραναγινώσκοντες[2] ὡς δυνατὸν κάκιστα τοῖς ἑαυτῶν, καὶ διαιροῦντες οὐκ ὀρθῶς,[3] καὶ κατακνίζοντες,[4] καὶ πάντα τρόπον διαφθείροντες, οὐδὲν ἐφρόντιζον τῶν ἀπαγγελομένων, ἀλλὰ ῥαθύμως εἶχον· μικρὸν δὲ πρὸ τῶν Παναθηναίων τῶν μεγάλων, ἠχθέσθην δι᾽ αὐτούς. Ἀπαντήσαντες γάρ μοί τινες τῶν ἐπιτηδείων, ἔλεγον, ὡς ἐν τῷ Λυκείῳ συγκαθεζόμενοι τρεῖς ἢ τέτταρας[5] τῶν ἀγελαίων[6] σοφιστῶν,

λοις, τῶν τε γάρ. — 4. Κυρίους αὐτῆς.) Τῆς πόλεως δηλονότι. Ἅπασαι αἱ παλαιαὶ ἐκδόσεις καὶ τὰ ἀντίγραφα φέρουσι, Κυρίους αὐτοὺς, ὅπερ Οὔολφιος καὶ οἱ μετ᾽ αὐτὸν, πλὴν τοῦ Στεφάνου, μετεποίησαν εἰς τὸ Κυρίους αὐτῶν· ἡμῖν δ᾽ ἔδοξεν ἄμεινον εἶναι γράφειν, Κυρίους αὐτῆς· ἐρεῖ γὰρ καὶ ἐν τοῖς ἑξῆς (σελ. 243)· »Δέκα μόνους ἄνδρας κυ»ρίους ἑκάστης πόλεως ἐποίησαν.« — 5. Διὰ τούτους κ. τ. λ.) Διὰ τούτους τοὺς λόγους, οὓς ἐπαινοῦσι.

§ 7. 2. Εἰ καὶ τισι δόξω.) Εἰς τοῦτο ἔτρεψα τὸ παρ᾽ ἅπασιν, Εἰ καί τι δόξω. Καὶ παράθες ταύτῃ μου τῇ διορθώσει τὰ παραπλησίως ἀλλαχοῦ (σελ. 240, λϐ΄, καὶ 280, πθ΄) εἰρημένα — 3. Οὐδὲν μέρος … τῶν εἰρημένων.) Κακῶς ὁ Οὔολφιος καὶ οἱ μετ᾽ αὐτὸν, πλὴν Λαγγίου, γράφουσιν, Οὐδὲν μέρος… ἄνευ τῶν εἰρημένων· ἀναφέρεται γὰρ ἀμέσως ἡ γενικὴ πρὸς τὸ, Μέρος, καὶ ἔστιν ὁ νοῦς, Οὐκ ἔχοντες ἑρμηνεύειν τοῖς αὐτῶν μαθηταῖς οὐδὲ τὸ πολλοστὸν μέρος ὧν ἐγὼ εἴρηκα. Δῆλον δὲ καὶ ἐκ παραπλησίου ἑτέρου χωρίου (πρὸς Νικοκλ. § 3). — 4. Ἀμελεῖν ἡμῶν.) Ἐὰν ἡμᾶς ἡσυχίαν ἔχειν, καὶ μὴ ἐνοχλεῖν. Ἡ συνήθεια τοῦτο οὐκ ἀκόμψως διὰ τοῦ, Λείπειν, ἐκφράζει, οἷον ὅταν τις ἀπαλλαχθῆναί τινος γλιχόμενος, λέγῃ πρὸς αὐτὸν, Λεῖπέ με, τουτέστιν, Ἀμέλει μου.

§ 8. 2 Παραναγινώσκοντες.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ᾧ συνᾴδει καὶ τὸ τοῦ Λαγγίου. Τῷ δ᾽ ἐχομένῳ, Τοῖς ἑαυτῶν, εἰ μὲν προσυπακούοις τὸ, Λόγοις ἔσται ὁ νοῦς, Παραβάλοντες καὶ παρατιθέντες τοῖς ἑαυτῶν λόγοις, ὡς ἐξεδέχετο Οὔολφιος· ἄμεινον δὲ, ὡς ἕτεροι, συνυπακούειν τὸ, Μαθηταῖς, ἵνα ᾖ τὸ, Παραναγινώσκοντες, κακῶς ἀναγινώσκοντες. — 3. Διαιροῦντες οὐκ ὀρθῶς.) Κακῶς στίζοντες, καὶ διατέμνοντες τά τε κῶλα καὶ τὰς περιόδους αὐτῶν, ἵνα καταδεέστεροι τῆς ἐμῆς δόξης φαίνοιντο· πολλῶν γὰρ ἂν ἀμείνοες ἢ χείρονες δόξειαν οἱ λόγοι παρὰ τὴν ποιὰν ἀνάγνωσιν. — 4. Κατακνίζοντες.) Κατακόπτοντες, καὶ οἱονεὶ κατακερματίζοντες. — 5. Τρεῖς ἢ τέτταρας.) Ἡ δὲ συνήθεια παραλείπει τὸν διαζευτικὸν πολλάκις ἐν τοῖς μὴ διωρισμένοις τῶν ἀριθμῶν. Τρεῖς τέσσαρες, λέγουσα, Δέκα ἕνδεκα κ. τ. λ. Φιλεῖ δὲ ἐλλείπειν καὶ ἐν τοῖς ἀντιθέτοις τῶν ὀνομάτων οὐ μόνον τῷ διαζευτικῷ, Ἤ, οἷον, Ὀλίγον πολὺ, Καλὸν κακὸν, ἀλλὰ καὶ τῷ συμπλεκτι-

καὶ πάντα φασκόντων εἰδέναι, καὶ ταχέως πανταχοῦ γιγνομένων,[7] διαλέγοιντο περί τε τῶν ἄλλων ποιητῶν, καὶ τῶν Ἡσιόδου καὶ Ὁμήρου ποιήσεων, οὐδὲν μὲν παρ᾽ αὐτῶν λέγοντες, τὰ δ᾽ ἐκείνων ῥαψῳδοῦντες, καὶ τῶν πρότερον ἄλλοις τισὶν εἰρημένων τὰ χαριέστατα μνημονεύοντες. Ἀποδεξαμένων δὲ τῶν περιεστώτων τὴν διατριβὴν αὐτῶν, ἕνα τὸν τολμηρότατον ἐκείνων ἐπιχειρῆσαί με διαβάλλειν, λέγονθ᾽, ὡς ἐγὼ πάντων καταφρονῶ τῶν τοιούτων, καὶ τάς τε φιλοσοφίας τὰς τῶν ἄλλων, καὶ τὰς παιδείας ἁπάσας ἀναιρῶ, καὶ φημὶ πάντας ληρεῖν, πλὴν τοὺς μετεσχηκότας τῆς ἐμῆς διατριβῆς. Τούτων δὲ ῥηθέντων, ἀηδῶς τινὰς τῶν παρόντων διατεθῆναι πρὸς ἡμᾶς. Ὡς μὲν οὖν ἐλυπήθην, καὶ συνεταράχθην, ἀκούσας ἀποδέξασθαί τινας[8] τοὺς λόγους τούτους εἶναι ἐμούς,[9] οὐκ ἂν δυναίμην εἰπεῖν· ᾤμην γὰρ οὕτως ἐπιφανὴς εἶναι τοῖς ἀλαζονευομένοις πολεμῶν, καὶ περὶ ἐμαυτοῦ μετρίως διειλεγμένος, μᾶλλον δὲ ταπεινῶς, ὥστε μηδένα ποτὲ γενέσθαι πρῶτον τῶν λεγόντων, ὡς ἐγὼ τοιαύταις ἀλαζονείαις ἐχρησάμην. Ἀλλὰ γὰρ οὐκ ἀλόγως ὠδυράμην ἐν ἀρχῇ τὴν ἀτυχίαν, τὴν παρακολουθήσασάν μοι[10] πάντα τὸν χρόνον ἐν τοῖς τοιούτοις·[11] αὕτη γάρ ἐστιν αἰτία καὶ τῆς ψευδολογίας τῆς περὶ ἐμὲ γιγνομένης, καὶ τῶν διαβολῶν, καὶ τοῦ φθόνου, καὶ τοῦ μὴ δύνασθαί με τυχεῖν τῆς δόξης, ἧς ἄξιός εἰμι, μηδὲ τῆς ὁμολογουμένης, μηδ᾽ ἣν ἔχουσί τινες τῶν πεπλησιακότων ἐμοί, καὶ πανταχῇ τεθεωρηκότων ἡμᾶς. Ταῦτα μὲν οὖν οὐχ οἷόν τ᾽ ἄλλως ἔχειν, ἀλλ᾽ ἀνάγκη στέργειν τοῖς ἤδη συμβεβηκόσι.

§ 9. Πολλῶν δέ μοι λογων ἐφεστώτων, ἀπορῶ, πότερον ἀντικατηγορῶ τῶν εἰθισμένων ἀεί τι ψεύδεσθαι περὶ ἐμοῦ καὶ λέγειν[2]

---

κῶ, Καί, οἷον, Ἄνω κάτω, Ζερβὰ, δεξιὰ, Ἡμέραν νύκτα, Μικροὶ μεγάλοι, Τοῦτα κεῖνο, Ὑψηλὰ χαμηλά. — 6. Τῶν ἀγελαίων.) Τῶν εὐτελῶν, τῶν φαύλων, τῶν χυδαίων· ἀπὸ τῆς Ἀγέλης μεταφορικῶς, ὅθεν καὶ Ἀγελαία βοῦς, ἐξ ἧς ἡ συνήθεια ἔπλασεν ἰδιαιτέρως τὴν Ἀγελάδα, τουτέστι τὴν θηλείαν βοῦν. Καὶ ῥῆμα δὲ Ἀγελάζω παρὰ τοῖς ἀρχαίοις, ὅπερ ἀγνοεῖ ὅλως ἡ συνήθεια· τὸ γὰρ Ἀγελιάζειν πλάσμά ἐστι τοῦ Δουκαγγίου (σελ. 10) πλανηθέντος ὑπὸ γραφικοῦ ἁμαρτήματος τοῦ ἐν τῷ εἰς τὸν Χρυσόστομον ἀναφερομένῳ τῷ δὲ κανόνι, «Ἐάν τις ἀργολογῶν καὶ ΑΓΕ»ΛΙΑΖΩΝ, ἐπιτιμάσθω κ. τ. λ.» Τίς γὰρ οὐκ οἶδε τῶν καὶ κατὰ μικρὸν ἐπισταμένων τὴν γλῶσσαν, ὅτι χρὴ γράφειν ΓΕΛΟΙΑΖΩΝ; —7. Ταχέως πανταχοῦ γιγνομένων.) Ἀντὶ τοῦ παραγιγνομένων, καὶ πανταχοῦ εὑρισκομένων· τοῦθ᾽ ὃ καὶ ἡ συνήθεια ἐπὶ τῶν πολυπραγμόνων παροιμιακῶς φιλεῖ λέγειν, «Παντοῦ τὸν εὑρίσκεις». — 8. Ἀποδέξασθαί τινας.) Πιστεῦσαί τινας. — 9. Τοὺς λόγους τούτους εἶναι ἐμούς.) Ἐν τῷ ἐμῷ φέρεται, Τοὺς λόγους τοὺς ἐμούς· καὶ ἔστιν ἡ γραφὴ κακὴ μὲν, ὑπονοεῖν δὲ παρέχει ὅτι οὐδὲ ἡ ἑτέρα ὀρθῶς ἔχει. — 10. Τὴν ἀτυχίαν τὴν παρακολουθήσασάν μοι.) Καθὰ καὶ ἐν τῇ συνηθείᾳ φαμὲν, «Μὲ ἠκολούθησε »δυστυχία, ζημία, ἀῤῥωστία κ. τ. λ.» — 11. Ἐν τοῖς τοιούτοις.) Πράγμασι δηλαδή. Προσέθηκα τὴν πρόθεσιν· ὁ δ᾽ Αὐγῆρος παρείληφε τὴν τοῦ Οὐολφίου διόρθωσιν, γράφων, Διὰ τοὺς τοιούτους.

§ 9. 2. Πότερον ἀντικατηγορῶ . . . περὶ ἐμοῦ καὶ λέγειν.) Γράφεται παρ᾽ ἅπασι, Πότερον ἀντικατηγορῶν . . . περὶ ἐμοῦ γενήσομαι καὶ λέγειν, πλὴν Οὐολφίου καὶ τοῦ μιμησαμένου αὐτὸν

ἀνεπιτήδειόν τι[3] τολμώντων; ἀλλ᾽ εἰ φανείην σπουδάζων, καὶ πολλοὺς λόγους ποιούμενος, περὶ ἀνθρώπων, οὓς οὐδεὶς ὑπείληφεν ἀξίους εἶναι λόγου, δικαίως ἂν μωρὸς εἶναι δοκοίην. Ἀλλά, τούτους ὑπεριδὼν ὡς φθονοῦντας, πειρῶμαι διδάσκειν τοὺς ἄλλους,[4] ὡς οὐ δικαίως, οὐδὲ προσηκόντως περὶ ἐμοῦ ταύτην ἔχουσι τὴν γνώμην; καὶ τίς οὐκ ἂν καταγνοίη μου πολλὴν ἄνοιαν, εἰ τοὺς μηδὲν δι᾽ ἕτερον δυσκόλως πρός με διακειμένους, ἢ τὸ δοκεῖν[5] χαριέντως εἰρηκέναι περί τινων, τούτους οἰηθείην, ὁμοίως διαλεχθεὶς ὥσπερ πρότερον, παύσειν ἐπὶ τοῖς λεγομένοις λυπουμένους, ἀλλ᾽ οὐ μᾶλλον ἀλγήσειν; ἄλλως τε ἂν καὶ[6] φανῶ, μηδὲ νῦν πω τηλικοῦτος ὤν, μὴ παραληρῶν.[7] Ἀλλὰ μὴν οὐδ᾽ ἐκεῖνο ποιεῖν οὐδεὶς ἄν μοι συμβουλεύσειεν, ἀμελήσαντι τούτων καὶ καταβαλόντι,[8] περαίνειν τὸν λόγον, ὃν προήρημαι, βουλόμενος ἐπιδεῖξαι τὴν πόλιν ἡμῶν πλειόνων ἀγαθῶν αἰτίαν γεγενημένην τοῖς Ἕλλησιν, ἢ τὴν Λακεδαιμονίων· εἰ γὰρ τοῦτο ἤδη ποιοίην,[9] μήτε τέλος ἐπιθεὶς τοῖς γεγραμμένοις, μήτε συγκλείσας τὴν ἀρχὴν τῶν ῥηθήσεσθαι μελλόντων τῇ τελευτῇ τῶν ἤδη προειρημένων, ὅμοιος ἂν εἶναι δόξαιμι τοῖς εἰκῆ, καὶ φορτικῶς, καὶ χύδην, ὅ,τι ἂν ἐπέλθῃ, λέγουσιν· ἃ φυλακτέον ἡμῖν ἐστι. Κράτιστον οὖν ἐξ ἁπάντων τούτων,[10] περὶ ὧν ἐξ ἀρχῆς διενοήθην, εἰπεῖν· οἶμαι γάρ, ἣν ἐξενέγκω γράψας, καὶ ποιήσω φανερὰν ἣν ἔχω γνώμην, περί τε τῆς

---

Ἄγγλου ἐκδότου, οἳ ἔτρεψαν τὴν μετοχὴν εἰς ῥῆμα τό, Ἀντικατηγορῶ, ὀβελίσαντες τό, Γενήσομαι. Ὅτι δὲ καλῶς ἔχει ἡ διόρθωσις, δῆλον καὶ ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ὅπου τό, Γενήσομαι, μὴ ὂν τέως, προσετέθη ὑπ᾽ ἀγραμμάτου τινὸς γραμματικοῦ διὰ τὴν ἀνάγκην τῆς μετοχῆς, δέον αὐτὴν ταύτην τὴν μετοχὴν διορθῶσαι. — 3. Ἀνεπιτήδειόν τι.) Λείπει τό, Τι, ἐν τῷ ἐμῷ ἀντιγράφῳ, καὶ ἐν ἅπασι τοῖς ἄλλοις, προστεθὲν ὑπὸ Οὐολφίου, καὶ τῶν μετ᾽ ἐκεῖνον. — 4. Διδάσκειν τοὺς ἄλλους.) Ἐκ διορθώσεως Οὐολφίου, ἣν ἀπεδέξαντο, καὶ οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ διδάσκειν αὐτοὺς τῶν ἀντιγράφων, οἷς συνᾴδει καὶ τὸ ἐμόν. — 5. Μηδὲν δι᾽ ἕτερον … ἢ τὸ δοκεῖν.) Παραινεῖ Οὐόλφιος διπλασιάζειν τὴν πρόθεσιν, γράφοντας, Ἢ διὰ τὸ δοκεῖν· ἀλλ᾽ οὐκ ἀναγκαῖον, καίπερ διπλασιάσαντος ἀνωτέρω (ς΄.) τοῦ ῥήτορος. «Δι᾽ οὐδὲν »ἕτερον, ἢ διὰ τούτους.» Σημείωσαι δὲ καὶ τὸν ὑπερβιβασμόν, Μηδὲν δι᾽ ἕτερον, ἀντὶ τοῦ, Διὰ μηδὲν ἕτερον. — 6. Ἄλλως τε ἂν καί.) Ἄμεινον γράφειν, Ἄλλως τε καὶ ἄν· ἤ, Ἄλλως τε κἄν. — 7. Μὴ παραληρῶν.) Ἔλειπεν ἡ ἀπαγόρευσις ἐν τῷ ἐμῷ ἀντιγράφῳ· προσετέθη δὲ ὑπὸ χειρὸς ὀψιαιτέρας, ὡς διόρθωσις. Ἔστι δ᾽ οὐ πάνυ τι ἀναγκαία· ἀμφοτέρως γὰρ ἔχοι τις ἂν στίξειν τὸ χωρίον, Ἄλλως τε καὶ ἂν φανῶ, μηδὲν νῦν πω τηλικοῦτος ὤν, μὴ παραληρῶν (τουτέστιν, Ἂν φανῶ μὴ παραληρῶν, μηδὲ νῦν πω τηλικοῦτος ὤν), καί, Ἄλλως τε καὶ ἂν φανῶ μηδὲ νῦν πω, τηλικοῦτος ὤν, παραληρῶν. — 8. Καταβαλόντι.) Ἔτρεψα εἰς τὸν ἀόριστον, τὸν ἐνεστῶτα, Καταβάλλοντι· σημαίνει δὲ τό, Καταφρονήσαντι, ὡς σεσημείωται ἐν τοῖς πρόσθεν (σελ. 177). — 9. Τοῦτο ἤδη ποιοίην.) Εἰς τοῦτο ἔτρεψα τὸ παρ᾽ ἅπασι Ποιοίμην· οὐ γὰρ οἰκεῖον τῷ προκειμένῳ χωρίῳ τὸ κατὰ μέσην διάθεσιν, οὐδ᾽ ἂν ἅπαντες φήσαιεν οἱ γραμματικοί. Δῆλον δὲ καὶ ἐκ τοῦ προηγησαμένου, Ἀλλὰ μὴν οὐδ᾽ ἐκεῖνο ποιεῖν. — 10. Κράτιστον οὖν ἐξ ἁπάντων τούτων.) Σημειοῦ τὸ πλῆρες τῆς συντάξεως τοῦ ὑπερθετικοῦ καὶ παράβαλλε τοῖς ἀλλαχοῦ (Προδρ. Ἑλλ. Βιβλ. σελ. ξϐ΄.) εἰρημένοις μοι.

παιδείας, καὶ τῶν ποιητῶν, παύσειν αὐτοὺς ψευδεῖς πλάττοντας αἰτίας, καὶ λέγοντας ὅ,τι ἂν τύχωσιν.

§ 10. Ἀλλ' ὅμως ἐγὼ τοῖς ὡρμημένοις ἐπὶ ταῦτα παρακελεύομαι πονεῖν, καὶ προσέχειν τὸν νοῦν[2] ἅπασι τούτοις, λέγων, ὡς εἰ καὶ μηδὲν ἄλλο δυνήσεται τὰ μαθήματα ταῦτα ποιεῖν ἀγαθὸν, ἀλλ' οὖν ἀποτρέπει γε τοὺς νεωτέρους πολλῶν ἄλλων ἁμαρτημάτων. Τοῖς μὲν οὖν τηλικούτοις[3] οὐδέποτ' ἂν εὑρεθῆναι νομίζω διατριβὰς ὠφελιμωτέρας τούτων, οὐδὲ μᾶλλον πρεπούσας· τοῖς δὲ πρεσβυτέροις, καὶ τοῖς εἰς ἄνδρας δεδοκιμασμένοις, οὐκέτι φημὶ τὰς μελέτας ταύτας ἁρμόττειν. Ὁρῶ γὰρ ἐνίους τῶν ἐπὶ τοῖς μαθήμασι τούτοις οὕτως ἀπηκριβωμένων, ὥστε καὶ τοὺς ἄλλος διδάσκειν, οὔτ' εὐκαίρως ταῖς ἐπιστήμαις αἷς ἔχουσι χρωμένους, ἔν τε ταῖς ἄλλαις πραγματείαις ταῖς περὶ τὸν βίον ἀφρονεστέρος ὄντας τῶν μαθητῶν· ὀκνῶ γὰρ εἰπεῖν τῶν οἰκετῶν.[4] Τὴν αὐτν δὲ γνώμην ἔχω καὶ περὶ τῶν δημηγορεῖν δυναμένων, καὶ τιν περὶ τὴν γραφὴν τὴν τῶν λόγων εὐδοκιμούντων, ὅλως δὲ καὶ πεὶ ἁπάντων τῶν τὰς ἐπιστήμας καὶ τὰς δυνάμεις διαφερόντων.[5] Οἶδα γὰρ καὶ τούτων τοὺς πολλοὺς, οὔτε τὰ περὶ σφᾶς αὐτοὺς καλῶς διοικήσαντας, οὔτ' ἐν ταῖς ἰδίαις συνουσίαις ἀνεκτοὺς ὄντας, τῆς τε δόξης τῆς τῶν συμπολιτευομένων ὀλιγωροῦντας, ἄλλων ·ε πολλῶν καὶ μεγάλων ἁμαρτημάτων γέμοντας· ὥστ' οὐδὲ τούτος ἡγοῦμαι μετασχεῖν τῆς ἕξεως,[6] περὶ ἧς ἐγὼ τυγχάνω διαλεγόμενος.

§ 10. 2. Παρακελεύομαι πονεῖν, καὶ προσέχειν τὸν νοῦν κ. τ. λ.) Τὸ πολλὰ τοῖς ὑπομνηματισταῖς παρασχὸν πράγματα] χωρίον τοῦτο, Παρακελεύω μὴ πονεῖν καὶ μὴ προσέχειν τὸν νοῦν, ἐξ ἀδιανοήτου νοητὸν οἶμαι πεποιηκέναι, περιελὼν τὰς δύο ἀπαγορεύσεις, καὶ τρέψας τὸ ἐνεργητικὸν, Παρακελεύω, εἰς τὸ μέσον, Παρακελεύομαι. Δηλοῖ δὲ καὶ ἡ αἰτία τῆς νοθεύσεως· τὴν τελευταίαν γὰρ τοῦ, Παρακελεύομαι, τρέψαντός τινος, εἰς τὴν ἀπαγόρευσιν, ἐπελθὼν ἕτερος οὐδὲν μᾶλλον τοῦ προτέρου δεινὸς κρίνειν τὰ τοιαῦτα,· προσέθηκεν ἐξ ἀνάγκης καὶ δευτέραν ἀπαγόρευσιν. Ὅτι δὲ γραπτέον ἐστὶ, ὡς διωρθώκαμεν, δῆλον μὲν καὶ ἐκ τῆς ὅλης συνεπείας τε καὶ συναρτήσεως τοῦ λόγου (καθαπτόμενος γὰρ τῶν σοφιστῶν, ὡς μὴ τὰ χρησιμώτατα τῶν μαθημάτων παραδιδόντων τοῖς νέοις, προαιρεῖται ὅμως αὐτὰ, καὶ τοιαῦτα ὄντα, τοῦ μηδὲν ὅλως μανθάνειν, καὶ προτρέπει ἐπὶ ταῦτα τοὺς νέους, ὡς ἀποτρέπειν αὐτοὺς πολλῶν ἁμαρτημάτων δύναμιν ἔχοντα) δῆλον δὲ καὶ ἐκ τῆς βαρβάρου συνηθείας τῆς παρ' ἅπασι φερομένης γραφῆς. Τῷ μέσῳ γὰρ, Παρακελεύομαι, ἐπὶ τοῦ προτρέπω, καὶ οὐ τῷ ἐνεργητικῷ, ἀλλαχοῦ πολλαχοῦ ἐχρήσατο· βάρβαρον δὲ καὶ τὸ, Μὴ πονεῖν, καὶ μὴ προσέχειν· ἔδει γὰρ εἰπεῖν (εἰ ὀρθῶς εἶχον αἱ ἀπαγορεύσεις) Μὴ πονεῖν, μηδὲ προσέχειν. Ἐν τῷ ἐμῷ ἀντιγράφῳ φέρεται, Παρακελεύω μοι πονεῖν, καὶ μὴ προσέχειν, τῆς δευτέρας λέξεως ἐξεσμένης δὲ καὶ διεσκευασμένης οὕτως, ὥστε ἡ ῥᾴδιον εἶναι συνιδεῖν, εἴτε ἐκ τοῦ Μοι ἐτράπη εἰς τὸ Μὴ, εἴτ' ἐκ τούτου εἰς ἐκεῖνο. — 3. Τοῖς μὲν οὖν τηλικούτοις.) Τοῖς ταύτην ἔχουσι τὴν ἡλικίαν. — 4. Τῶν οἰκετῶν.) Τῶν δούλων, οἵτινες οὐ μετεῖχον ὅλως παιδείας. — 5. Τῶν τὰς ἐπιστήμας καὶ τὰς δυνάμεις διαφερόντων.) Οὕτω τὸ ἐμὸν ἀντίγραφον συμφώνως δυσὶ τοῖς τοῦ Αὐγέρου, καὶ ταῖς ἀρχαίαις ἐκδόσεσιν, ἐξ ὧν παρείληφε καὶ ὁ Λάγγιος· οἱ λοιποὶ ὑδεόντως γράφουσι, Τῶν κατὰ τὰς ἐπιστήμας κ. τ. λ. — 6. Τῆς ἕξεω.) Τῆς ἐπιστήμης, τῆς μαθήσεως. Περὶ δὲ τῆς σημασίας ταύτης τοῦ ὀνόματος ἔπι

§ 11. Τίνας οὖν ἔχω πεπαιδευμένους,[2] ἐπειδὴ τὰς τέχνας καὶ τὰς ἐπιστήμας καὶ τὰς δυνάμεις ἀποδοκιμάζω; πρῶτον μὲν τοὺς καλῶς χρωμένους τοῖς πράγμασι τοῖς κατὰ τὴν ἡμέραν ἑκάστην προσπίπτουσι, καὶ τὴν δόξαν[3] ἐπιτυχῆ τῶν καιρῶν ἔχοντας, καὶ δυναμένην ὡς ἐπὶ τὸ πολὺ στοχάζεσθαι τοῦ συμφέροντος· ἔπειτα τοὺς πρεπόντως καὶ δικαίως ὁμιλοῦντας τοῖς ἀεὶ πλησιάζουσι, καὶ τὰς μὲν τῶν ἄλλων ἀηδίας καὶ βαρύτητας εὐκόλως καὶ ῥᾳδίως φέροντας, σφᾶς δ' αὐτοὺς, ὡς δυνατὸν, ἐλαφροτάτους[4] καὶ μετριωτάτους τοῖς συνοῦσι παρέχοντας· ἔτι δὲ τοὺς τῶν μὲν ἡδονῶν ἀεὶ κρατοῦντας,[5] τῶν δὲ συμφορῶν μὴ λίαν ἡττωμένους, ἀλλ' ἀνδρωδῶς ἐν αὐταῖς διακειμένους,[6] καὶ τῆς φύσεως ἀξίως ἧς μετέχοντες τυγχάνομεν· τέταρτον, ὅπερ μέγιστον, τοὺς μὴ διαφθειρομένους ὑπὸ τῶν εὐπραγιῶν, μηδ' ἐξισταμένους[7] αὐτῶν, μηδ' ὑπερηφάνους γιγνομένους, ἀλλ' ἐμμένοντας[8] τῇ τάξει τῶν εὖ φρονούντων, καὶ μὴ μᾶλλον χαίροντας τοῖς διὰ τύχην ὑπάρξασιν ἀγαθοῖς, ἢ τοῖς διὰ τὴν αὐτῶν φύσιν καὶ φρόνησιν ἐξ ἀρχῆς γι-

---

τὰ ἀλλαχοῦ (Προδρ. Ἑλλ. Βιβλ. σελ. 309) σημειωθέντα μοι.

§ 11. 2. Τίνας οὖν ἔχω πεπαιδευμένους.) Τὰ μὲν ἀντίγραφα καὶ αἱ ἐκδόσεις σύμπασαι συνᾴδουσιν ἐν τῇ γραφῇ ταύτῃ. Κλήμης δὲ ὁ Ἀλεξανδρεὺς (Στωμ. Ε, σελ. 580) καὶ ὁ Στοβαῖος (σελ. 5) τοῦτο Ἰσοκράτους παρατιθέμενοι τὸ χωρίον, γράφουσιν ἀμφότεροι, Καλῶ, ἀντὶ τοῦ, Ἔχω. Καὶ δόξειεν ἂν ἡ τοιαύτη γραφὴ τοσούτῳ γνησιωτέρα εἶναι, ὅσῳ τὸ, Ἔχω, ἐπὶ τῆς σημασίας τοῦ, Ἡγοῦμαι, Νομίζω, Ὑπολαμβάνω, παρ' οὐδενὶ εὕρηται ἑτέρῳ τῶν ἀρχαίων συγγραφέων, καθάπερ ἔδοξε καὶ τῷ Στεφάνῳ (Θησ. Ἑλλ. Γλ. Α, σελ. 1319), μοναδικὸν εἶναι τὸ Ἰσοκράτειον ἀποφηναμένῳ τοῦτο παράδειγμα, καὶ τῇ Λατίνων οἰκειότερον γλώσσῃ, παρ' οἷς τὸ Habeo (ἔχω) πολλάκις συνώνυμόν ἐστι τῷ, Ἡγοῦμαι. Καίπερ οὕτω τούτων ἐχόντων, ὑποληπτέον ὅμως τὸν μὲν Κλήμεντα σαφηνείας φροντίζοντα τὸ, Ἔχω, εἰς τὸ, Καλῶ, μεταποιῆσαι ἢ ἐξ ἀντιγράφων τοῦτο παραλαβεῖν ἐν οἷς γεμὴν εἰκὸς ἦν μᾶλλον τῷ, Λέγω, ἢ τῷ, Καλῶ, συγχεθῆναι τὸ Ἔχω· μετὰ δὲ ταῦτα τὸν Στοβαῖον, ὡς τῇ χρήσει μᾶλλον οἰκείαν, τὴν Κλημέντειον προελέσθαι γραφήν. Ὅτι δὲ οὐκ ἀπεικὸς τὸ, Ἔχω, καὶ ἐπὶ τῆς τοῦ, Ἡγοῦμαι, τετάχθαι σημασίας, μαρτυρεῖ καὶ ἡ παρ' ἡμῖν συνήθεια οὐ τούτῳ μόνον, ἀλλὰ καὶ τῷ συνωνύμῳ, Κρατῶ, ἐπὶ ταύτης χρωμένη, οἷον (Ἐρωτοκρίτ. σελ. 43),

Ἐγροίκατα ὁ Ῥωτόκριτος, δὲν τἄχε παραμύθια,

καὶ (σελ. 10.),

Γιατὶ σ' ἐκράτουν γνωστικὸν, ἄνθρωπον παιδεμένον.

Καὶ ταῦτα μὲν περὶ τῆς γραφῆς, τοῦ δέοντος ἴσως ἀκριβέστερα· τὸ δὲ μάλιστα πάντων ἀκριβοῦς ἐπιστασίας τε καὶ σημειώσεως ἄξιον, τὸ χωρίον ὅλον ἐστὶ, πολλῆς μὲν φιλοσόφου φρονήσεως μεστὸν, μεγίστας δὲ τὰς ὠφελείας παρεξόμενον τοῖς μετὰ συνέσεως ἀναγινώσκουσι, καὶ πείθεσθαι τοῖς λεγομένοις ἐθέλουσι. — 3. Τὴν δόξαν.) Τὴν περὶ τῶν πραγμάτων κρίσιν. — 4. Ἐλαφροτάτους.) Οὕτως ὁ Ἁρποκρατίων (ὃς ἐξηγεῖται τοὔνομα διὰ τοῦ, Πρᾳοτάτους), ὁ Κλήμης, καὶ ὁ Στοβαῖος· ἣ γραφῇ κατηκολούθησαν ὅ,τε Αὐγῆρος καὶ ὁ Λάγγιος, ἀντὶ τοῦ παρ' ἅπασι τοῖς λοιποῖς, Ἐλαφροτέρους. — 5. Ἀεὶ κρατοῦντας.) Λείπει τὸ, Ἀεὶ, παρὰ τῷ Κλήμεντι. — 6. Διακειμένους.) Γράφεται, Ἀναστρεφομένους, παρὰ τῷ Κλήμεντι. — 7. Ἐξισταμένους.) Παρείληφα τὴν ὀρθὴν ταύτην γραφὴν ἔκ τε τοῦ Κλήμεντος καὶ τοῦ Στοβαίου, ἀντὶ τοῦ παρ' ἅπασι τοῖς λοιποῖς, Ἐξανισταμένους. Χρήσεται δὲ καὶ προϊὼν (οθ'.) ὁ ῥήτωρ τῇ φράσει. Ἔστι δὲ τὸ, Ἐξίστασθαι ἑαυτοῦ, τὸ ἔξω τῶν φρενῶν γίνεσθαι. — 8. Ἐμμένοντας.) Ὁ δὲ Κλήμης γρά-

γνομένοις.[9] Τοὺς δὲ μὴ μόνον πρὸς ἓν[10] τούτων, ἀλλὰ πρὸς ἅπαντα ταῦτα τὴν ἕξιν τῆς ψυχῆς εὐάρμοστον ἔχοντας, τούτους φημὶ, καὶ φρονίμους εἶναι, καὶ τελείους[11] ἄνδρας, καὶ πάσας ἔχειν τὰς ἀρετάς. Περὶ μὲν οὖν τῶν πεπαιδευμένων ταῦτα γιγνώσκων τυγχάνω.[12]

§ 12. Περὶ δὲ τῆς Ὁμήρου καὶ τῶν ἄλλων ποιήσεως, ἐπιθυμῶ μὲν εἰπεῖν· οἶμαι γὰρ ἂν παῦσαι τοὺς ἐν τῷ Λυκείῳ ῥαψῳδοῦντας τὰ ἐκείνων, καὶ ληροῦντας *τὰ* περὶ αὐτῶν·[2] αἰσθάνομαι δὲ ἐμαυτὸν, ἔξω φερόμενον τῆς συμμετρίας τῆς συντεταγμένης τοῖς προοιμίοις. Ἔστι δ' ἀνδρὸς νοῦν ἔχοντος, μὴ τὴν εὐπορίαν ἀγαπᾶν, ἣν ἔχῃ[3] τις περὶ τῶν αὐτῶν πλείω τῶν ἄλλων εἰπεῖν, ἀλλὰ τὴν εὐκαιρίαν διαφυλάττειν, περὶ ὧν ἂν ἀεὶ τυγχάνῃ διαλεγόμενος· ὅπερ ἐμοὶ ποιητέον ἐστί. Περὶ μὲν οὖν τῶν ποιητῶν αὖθις ἐροῦμεν, ἤν μή με προανέλῃ τὸ γῆρας· περὶ γὰρ σπουδαιοτέρων πραγμάτων ἔχομεν λέγειν[4] ἢ τούτων.

§ 13. Περὶ δὲ τῶν τῆς πόλεως εὐεργεσιῶν, τῶν εἰς τοὺς Ἕλληνας, ἤδη ποιήσομαι τοὺς λόγους, οὐχ ὡς οὐ πλείους ἐπαίνους πεποιημένος περὶ αὐτῆς, ἢ σύμπαντες[2] οἱ περὶ τὴν ποίησιν καὶ τοὺς λόγους ὄντες· οὐ μὴν ὁμοίως καὶ νῦν.[3] Τότε μὲν γὰρ ἐν τοῖς λόγοις [τοῖς] περὶ ἑτέρων πραγμάτων[4] ἐμεμνήμην αὐτῆς, νῦν δὲ, περὶ ταύτης τὴν ὑπόθεσιν ποιησάμενος. Οὐκ ἀγνοῶ δ' ἡλίκος ὢν, ὅσον ἔργον ἐνίσταμαι[5] τὸ μέγεθος, ἀλλ' ἀκριβῶς εἰδὼς, καὶ πολλάκις εἰρηκὼς, ὅτι τὰ μὲν μικρὰ τῶν πραγμάτων ῥᾴδιον

---

φει, Ἐπιμένοντας. — 9. Γιγνομένοις.) Ἄμεινον γράφειν, Γενομένοις. — 10. Μὴ μόνον πρὸς ἕν.) Καθ' ὑπερβιβασμὸν, ἀντὶ τοῦ, Μὴ πρὸς ἓν μόνον. — 11. Τελείους.) Οὕτως αἱ πλεῖσται τῶν ἐκδόσεων, καθὰ καὶ ὁ Κλήμης, καὶ ὁ Στοβαῖος· ἐν ἑτέροις δὲ οἷς συνᾴδει καὶ τὸ ἐμὸν ἀντίγραφον, φέρεται, Τελέους, διὰ μονοφθόγγου. — 12. Περὶ μὲν οὖν τῶν πεπαιδευμένων ταῦτα γιγνώσκων τυγχάνω.) Καὶ ταὐτὰ καὶ οὐχ ἕτερα γιγνώσκειν προσήκει τοὺς παιδείας ἀντιποιουμένους· εἰ μὴ γὰρ ἔχωσιν τὰς ἐν τῷ χρυσῷ τούτῳ χωρίῳ καταλεχθείσας ἀρετὰς, ἀπαίδευτοι καὶ ἔσονται καὶ λογισθήσονται, κἂν εἰ πάντων εἶεν σοφώτατοι.

§ 12. 2. Ληροῦντας τὰ περὶ αὐτῶν.) Ὀβελιστέον τὸ ἄρθρον. — 3. Ἣν ἔχῃ.) Εἰς τοῦτο θαῤῥήσας ἔτρεψα τὸ παρ' ἅπασι γραφόμενον, Ἣν ἔχει. — 4. Ἔχομεν λέγειν.) Σημείωσαι καὶ ἑτέραν χρῆσιν τοῦ, Ἔχω, οὐ πολὺ τῆς ἐν τῇ συνηθείᾳ ἀφεστηκυῖαν, ἐν ᾗ συνωνύμως σχεδὸν τῷ Μέλλω, χρώμεθα τῷ, Ἔχω, οἷον, εἰ τοῦτο τὸ χωρίον Ἰσοκράτους ἐκφράσαι βουλοίμεθα, φαῖμεν ἂν, Ἔχομεν νὰ λαλήσωμεν καθάπερ καὶ οἱ Ἰταλοί, Abbiamo da discorere. Παραπλήσιον δὲ τούτῳ καὶ τὸ τοῦ Κωμικοῦ (Βατρ. 1105),

Ὅ,τι περ οὖν ἔχετον ἐρίζειν.
Λέγετον . . . . . . . .

τουτέστιν, Εἰπέτε ὅ,τι ἔχετε νὰ φιλονεικήσετε.

§ 13. 2. Πλείους ἐπαίνους . . . ἢ σύμπαντες.) Παράβαλλε τοῖς ἐν τῷ Πανηγυρικῷ (§ 1). — 3. Ὁμοίως καὶ νῦν.) Ὡσαύτως, ὥσπερ νῦν. Σημείωσαι τὸν, Καὶ, τάξιν ὁμοιωματικοῦ ἐπέχοντα, ἢ μᾶλλον ἐλλειπτικῶς προσυπακουόμενον ἔχοντα τὸ ὁμοιωματικὸν, Ὡς. — 4. Ἐν τοῖς λόγοις τοῖς περὶ ἑτέρων πραγμάτων.) Προσθεῖναι δεῖν ἔγνων τὸ δεύτερον ἄρθρον, λεῖπον ἐν ἅπασι. — 5. Ἐνίσταμαι.) Ἀναδέχομαι, ἐπιχειρῶ. —

τοῖς λόγοις αὐξῆσαι, τοῖς δ' ὑπερβάλλουσι τῶν ἔργων, καὶ τῷ μεγέθει καὶ τῷ κάλλει, χαλεπὸν ἐξισῶσαι τοὺς ἐπαίνους. Ἀλλ' οὐδὲν μᾶλλον ἀποστατέον ἐστὶν αὐτῶν, ἀλλ' ἐπιτελεστέον, ἤνπερ ἔτι ζῆν δυνηθῶμεν, ἄλλως τε καὶ πολλῶν παροξυνόντων γράφειν αὐτόν, πρῶτον μὲν τῶν εἰθισμένων ἀσελγῶς κατηγορεῖν τῆς πόλεως ἡμῶν, ἔπειτα τῶν χαριέντως μέν, ἀπείρως δὲ καὶ καταδεεστέρως, ἐπαινούντων αὐτήν, ἔτι δὲ τῶν ἑτέρων μᾶλλον[6] εὖ λέγειν τολμώντων, οὐκ ἀνθρωπίνως, ἀλλ' οὕτως ὥστε πολλοὺς ἀντιτάττεσθαι πρὸς αὐτούς, πάντων δὲ μάλιστα τῆς ἡλικίας τῆς παρούσης, ἣ τοὺς ἄλλους πέφυκεν ἀποτρέπειν[7] ἐλπίζω γάρ, ἢν

6. Ἔτι δὲ τῶν ἑτέρων μᾶλλον κ. τ. λ.) Πρὸς δὲ τούτοις παροξυνόντων με γράφειν τὸν λόγον τῶν τολμώντων μὲν εὖ λέγειν (τουτέστιν ἐπαινεῖν) τὴν ἡμετέραν πόλιν μᾶλλον ἑτέρων (ἤγουν πλέον ἢ οἱ καταδεέστερον ἐπαινοῦντες αὐτήν), οὔγε μὴν μετρίως, καὶ ὥσπερ εἰκὸς τοὺς περὶ ἀνθρωπίνων πραγμάτων διαλεγομένους, ἐπαινούντων. Καὶ οὕτω μὲν ἐξηγήσατο Οὐόλφιος τὸ χωρίον. Αὐγῆρος δέ, ᾧ συναινεῖ καὶ Λάγγιος, τό, Ἑτέρων, ἐπὶ τῶν ἄλλων πόλεων ἐξεδέξατο, τουτέστι, Τῶν τολμώντων ἐπαινεῖν τὴν ἡμετέραν πόλιν μᾶλλον ἑτέρων πόλεων. Ἔοικε μέντοι τό, Ἑτέρων, οὐ πρὸς τὸ Μᾶλλον συνάπτεσθαι κατὰ συγκριτικὴν σύνταξιν, ἀλλὰ τοὺς ἑτέρους τῶν ἐπαινούντων δηλοῦν· εἰς δύο γὰρ αὐτοὺς ἐμέρισε, τοὺς καταδεέστερον ἐπαινοῦντας, καὶ τοὺς οὐκ ἀνθρωπίνως, τουτέστι τοὺς ὑπὲρ τὸ δέον ἐπαινοῦντας. Δηλοῖ δὲ καὶ τὸ ἑπόμενον, Πάντων δὲ μάλιστα, καὶ τὰ προηγούμενα, Πρῶτον μέν, καί, Ἔπειτα, ὅτι τό, Μᾶλλον ἐνταῦθα πρὸς τό, Ἔτι δέ, συναπτέον ἐστίν, ὡς εἶναι τὸν νοῦν τοῦ χωρίου, Παροξυνόντων με πρῶτον μὲν τῶν κατηγορούντων, ἔπειτα τῶν ἐπαινούντων μέν, ἀπείρως δὲ καὶ καταδεεστέρως ἐπαινούντων, ἔτι δὲ μᾶλλον τῶν ἑτέρων ἐπαινετῶν, τουτέστι τῶν οὐκ ἀνθρωπίνως ἐπαινούντων, πάντων δὲ μάλιστα, κ. τ. λ. Καὶ ταύτην μὲν τρίτην ἐξήγησιν ἐκ τῶν ἐνόντων ταῖς προτέραις προσέθηκα· εἰ δὲ χρὴ τ' ἀληθὲς φάναι, ἡμαρτῆσθαι τὴν τοῦ χωρίου γραφὴν ὑποτοπάζω. Μήποτε οὖν ἀντὶ τοῦ, Ἑτέρων, ἐγέγραπτο, Νεωτέρων· ἁπάντων γὰρ Ἀθηναίων πέρα τοῦ καλῶς ἔχοντος ἐπαινεῖν ἑαυτοὺς φιλούντων, εἰκὸς μάλιστα τοὺς νεωτέρους αὐτῶν ἐπτοῆσθαι περὶ τοὺς τῆς πατρίδος ἐπαίνους, ὅπερ Ἰσοκράτης ἐδήλωσε διὰ τοῦ, Οὐκ ἀνθρωπίνως εὖ λέγειν.

— 7. Τῆς ἡλικίας . . . ἣ τοὺς ἄλλους πέφυκεν ἀποτρέπειν.) Ἐκ τούτου τοῦ χωρίου διορθώκασιν οἱ κριτικοὶ τὸ τοῦ Λυσίου (Ὑπὲρ Πολυστρ. Δήμ. καταλ. σελ. 666) «Ἀλλ' ὁρᾶτε αὐτοῦ τὴν ἡλι»κίαν, ἣ καὶ τοὺς ἄλλους ἱκανός ἐστιν »ἀποτρέπειν τούτων,» ὀρθῶς μὲν τρέψαντες τὸ Ἡ εἰς τὸ Ἣ, οὐκ ὀρθῶς δὲ τὸ Ἱκανός, εἰς τό, Ἱκανή· κοινὰ γάρ ἐστι τὰ τοιαῦτα τῶν ἐπιθέτων τῷ γένει, κατὰ τὴν παλαιὰν Ἀτθίδα, οἷόν ἐστι καὶ τὸ παρὰ τῷ Θουκυδίδῃ (Α β'), Τῆς ἀναγκαίου τροφῆς, καθάπερ ἐσημειωσάμεθα ἐν τοῖς εἰς τὸν Ἡλιόδωρον (σελ. 58 καὶ 214). Τὴν πορφύραν Πορφύρας τε καὶ χρυσοῦ τιμιώτερον ἕρμαιον ἡγησάμην τὴν λέξιν, ὡς ἀφορμὴν οὐ μεμπτήν μοι παρέχουσαν τὰ ἐν τοῖς εἰς τὸν Ἡλιόδωρον (σελ. 117) ἐπιμέμπτως μὲν σημειωθέντα ἐπανορθῶσαι. Ἐκεῖ μὲν γὰρ τὸ ἐν τῇ συνηθείᾳ Προφύλλιον παρὰ τὸ Φύλλον παρῆχθαι ἔλεγον, εἰσηγησάμενος καὶ τὴν διὰ διπλοῦ τοῦ λ γραφήν. νυνὶ δὲ ὑπολαμβάνω γεγονέναι παρὰ τὸ ὑποκοριστικὸν τῆς πορφύρας, Πορφύριον, μεταθέσει τοῦ πρώτου ρ, καὶ τροπῇ τοῦ δευτέρου εἰς τὸ λ. Καὶ γὰρ τὰν πορφύραν οἱ παλαιοὶ συνύφαινον τοῖς ἄκροις τῶν ἱματίων κατὰ τὰ παρ' ἡμῖν συῤῥαπτόμενα Προφύλια· καὶ ἐκαλεῖτο τὸ τοιοῦτον Πορφυρᾶ παρυφή (Ἀθήν. ΙΒ, σελ. 521), καὶ ἡ ἔχουσα τοῦτο ἐσθής, Στολὴ περιπόρφυρος, ἢ καὶ Περίνησον, ἢ Περινήσιον, διὰ τὸ νήσου σχῆμα ποιεῖν τῇ περιῤῥοῇ τοῦ χρώματος τὰ πορφυρᾶ ταῦτα παρυφάσματα, ὥς φησιν ὁ Πολυδεύκης. Λέγει δὲ καὶ ὁ Ἡσύχιος, «Περινήσαια, περιβόλαια, οἷς ἐν κύκλῳ »πορφύρα παράκειται» καὶ μετ' ὀλίγα, »Περίνησον, ἱμάτιον ἔχον πορφύραν »κύκλῳ.» Ταύτην ἀτεχνῶς πέπεισμαι νῦν εἶναι τὴν παραγωγὴν τοῦ Προφυλλίου· ἐὰν δὲ ἄρα δευτέραν αὖθις πλανῶμαι

μὲν κατορθώσω, μείζω λήψεσθαι δόξαν τῆς ὑπαρχούσης, ἢν δὲ ἐνδεέστερον τύχω διαλεχθεὶς, πολλῆς συγγνώμης τεύξεσθαι παρὰ τῶν ἀκουόντων.

§ 14. Ἃ μὲν οὖν ἠβουλήθην, καὶ περὶ ἐμαυτοῦ, καὶ περὶ τῶν ἄλλων, ὥσπερ χορὸς πρὸ τοῦ ἀγῶνος, προαναβαλέσθαι, ταῦτά ἐστιν. Ἡγοῦμαι δὲ χρῆναι τοὺς βουλομένους ἐγκωμιάσαι τινὰ τῶν πόλεων ἀκριβῶς καὶ δικαίως, μὴ μόνον ποιεῖσθαι περὶ αὐτῆς τοὺς λόγους, ἧς προῃρημένοι τυγχάνουσιν, ἀλλ', ὥσπερ τὴν πορφύραν καὶ τὸν χρυσὸν θεωροῦμεν, καὶ δοκιμάζομεν, ἕτερα παραδεικνύοντες τῶν καὶ τὴν ὄψιν ὁμοίαν ἐχόντων, καὶ τῆς τιμῆς τῆς αὐτῆς ἀξιουμένων, οὕτω καὶ ταῖς πόλεσι παριστάναι, μὴ τὰς μικρὰς ταῖς μεγάλαις, μηδὲ τὰς πάντα τὸν χρόνον ὑφ' ἑτέραις οὔσας, ταῖς πάντα τὸν χρόνον ἄρχειν εἰθισμέναις,[2] μηδὲ τὰς σώζεσθαι δεομένας πρὸς τὰς σώζειν δυναμένας, ἀλλὰ τὰς παραπλησίαν καὶ τὴν δύναμιν ἐχούσας, καὶ περὶ τὰς αὐτὰς πράξεις γεγενημένας, καὶ ταῖς ἐξουσίαις ὁμοίαις κεχρημένας· οὕτω γὰρ ἂν μάλιστα τῆς ἀληθείας τύχοιεν. Ἢν δή τις ἡμᾶς τὸν τρόπον τοῦτον σκοπῆται,[3] καὶ παραβάλῃ μὴ πρὸς τὴν τυχοῦσαν πόλιν, ἀλλὰ πρὸς τὴν Σπαρτιατῶν, ἣν οἱ μὲν πολλοὶ μετρίως ἐπαινοῦσιν, ἔνιοι δέ τινες,[4] ὥσπερ τῶν ἡμιθέων ἐκεῖ πεπολιτευμένων, μέμνηνται περὶ αὐτῶν, φανησόμεθα καὶ τῇ δυνάμει, καὶ ταῖς πράξεσι, καὶ ταῖς εὐπραγίαις ταῖς περὶ τοὺς Ἕλληνας, πλέον ἀπολελοιπότες αὐτοὺς, ἢ ἐκεῖνοι τοὺς ἄλλους.

§ 15. Τοὺς μὲν οὖν παλαιοὺς ἀγῶνας, τοὺς ὑπὲρ τῶν Ἑλλήνων γενομένους, ὕστερον ἐροῦμεν. Νῦν δὲ ποιήσομαι περὶ ἐκείνων τοὺς λόγους, ἀρξάμενος, ἐπειδὴ κατασχόντες τὰς πόλεις τὰς Ἀχαΐδας, πρὸς Ἀργείους[2] καὶ Μεσσηνίους διείλοντο τὴν χώραν.

---

πλάνην, ἀλλ' οὖν συγγνωστός γ' ἕνεκα τῆς τοῦ μὴ ἑτέρους πλανᾷν προθυμίας μου.

§ 14. 2. Μηδὲ τὰς πάντα τὸν χρόνον ὑφ' ἑτέραις οὔσας ταῖς πάντα τὸν χρόνον ἄρχειν εἰθισμέναις.) Ἐκ τοῦ ἐμοῦ, ἀντιγράφου, ᾧ συνᾴδουσι καὶ δύο τῶν πρὸ ἐμοῦ, ἀντὶ τοῦ παρὰ τοῖς λοιποῖς, Μηδὲ ταῖς π. τ. χ. ὑ. ἑ. οὔσαις, τὰς π. τ. χ. ἀ. εἰθισμένας. — 3. Σκοπῆται.) Ἴσως ἐγέγραπτο, Σκοπῇ τε. — 4. Ἔνιοι δέ τινες.) Ἔπιθι τὰ σημειωθέντα μοι ἐν τοῖς πρόσθεν (σελ. 96) περὶ τοῦ, Ἔνιοι τινες.

§ 15. 2. Ἀρξάμενος, ἐπειδὴ κατασχόντες τὰς πόλεις τὰς Ἀχαΐδας, πρὸς Ἀργείους κ. τ. λ.) Οἱ πρὸ ἡμῶν γράφουσιν, Ἀρξάμενος ἐπειδὴ κατέσχον τὰς πόλεις τὰς Ἀχαΐδας, καὶ πρὸς Ἀργείους, τὸν μὲν, Καὶ, τοῦ Οὐολφίου προσθέντος, τὰ λοιπὰ δὲ ἐκ τῶν ἀντιγράφων παρειληφότες. Ἀλλ' ἐπειδὴ ἐν οὐδενὶ τῶν ἀντιγράφων φέρεται ὁ, Καὶ, ἄμεινον τὸ, Κατέσχον, εἰς τὴν ἀναγκαίαν μετοχὴν τρέπειν· ὃ συνῆκε καὶ ὁ Οὐόλφιος. Ὁ νοῦς, Ἀρξάμενος ἐξ οὗ χρόνου οἱ Λακεδαιμόνιοι, καταλαβόντες τὰς Ἀχαΐδας πόλεις, ἐνείμαντο τὴν χώραν πρὸς Ἀργείους καὶ Μεσσηνίους. Τὸ γὰρ Ἐπειδὴ, χρονικὸν ἐπίῤῥημά ἐστιν ἐνταῦθα, οὐ σύνδεσμος. Ἀντὶ δὲ τοῦ παρ' ἅπασιν, Ἀχαΐδας, ἄμεινον ἐν τῷ ἐμῷ ἀντιγράφῳ φέρεται, Ἀχαιίδας· τὸ γὰρ, Ἀχαΐδας, τῶν Αἰολέων μᾶλλον ἐστιν.

Ἐντεῦθεν γὰρ προσήκει διαλέγεσθαι περὶ αὐτῶν. Οἱ μὲν τοίνυν ἡμέτεροι πρόγονοι φανήσονται τήν τε πρὸς τοὺς Ἕλληνας ὁμόνοιαν, καὶ τὴν πρὸς τοὺς βαρβάρους ἔχθραν, ἣν παρέλαβον ἐκ τῶν Τρωϊκῶν, διαφυλάττοντες, καὶ μένοντες ἐν τοῖς αὐτοῖς.

§ 16. Καὶ πρῶτον μὲν τὰς Κυκλάδας νήσους, περὶ ἃς ἐγένοντο πολλαὶ πραγματεῖαι, κατὰ τὴν Μίνω τοῦ Κρητὸς δυναστείαν, ταύτας τὸ τελευταῖον ὑπὸ Καρῶν κατεχομένας, ἐκβαλόντες ἐκείνους, οὐκ ἐξιδιώσασθαι[2] τὰς χώρας ἐτόλμησαν, ἀλλὰ τοὺς μάλιστα βίου τῶν Ἑλλήνων δεομένους κατῴκισαν εἰς αὐτάς. Καὶ μετὰ ταῦτα πολλὰς πόλεις ἐφ' ἑκάτερα τῆς ἠπείρου[3] καὶ μεγάλας ἔκτισαν· καὶ τοὺς μὲν βαρβάρους ἀνέστησαν ἀπὸ τῆς θαλάττης, τοὺς δ' Ἕλληνας ἐδίδαξαν, ὃν τρόπον διοικοῦντες τὰς αὑτῶν πατρίδας, καὶ πρὸς οὓς πολεμοῦντες, μεγάλην τὴν Ἑλλάδα ποιήσειαν. Λακεδαιμόνιοι δέ, περὶ τὸν αὐτὸν χρόνον, τοσοῦτον ἀπέσχον τοῦ πράττειν τι τῶν αὐτῶν τοῖς ἡμετέροις, καὶ τοῦ τοῖς μὲν βαρβάροις πολεμεῖν, τοὺς δὲ Ἕλληνας εὐεργετεῖν, ὥστ' οὐδ' ἡσυχίαν ἄγειν ἠθέλησαν, ἀλλ' ἔχοντες πόλιν ἀλλοτρίαν, καὶ χώραν οὐ μόνον ἱκανήν, ἀλλ' ὅσην οὐδεμία πόλις[4] τῶν Ἑλληνίδων, οὐκ ἔστερξαν ἐπὶ τούτοις.[5] Ἀλλὰ μαθόντες ἐξ αὐτῶν τῶν συμβεβηκότων, κατὰ μὲν τοὺς νόμους, τάς τε πόλεις καὶ τὰς χώρας τούτων εἶναι δοκούσας, τῶν ὀρθῶς καὶ νομίμως κτησαμένων, κατὰ δὲ τὴν ἀλήθειαν, τούτων γιγνομένας τῶν τὰ περὶ τὸν πόλεμον κάλλιστα[6] ἀσκούντων, καὶ νικᾷν τοὺς πολεμίους ἐν ταῖς μάχαις δυναμένων· ταῦτα διανοηθέντες, ἀμελήσαντες γεωργιῶν, καὶ τεχνῶν, καὶ τῶν ἄλλων ἁπάντων, οὐδὲν ἐπαύοντο κατὰ μίαν ἑκάστην τῶν πόλεων τῶν ἐν Πελοποννήσῳ πολιορκοῦντες, καὶ κακῶς ποιοῦντες, καὶ καταστρέφοντες,[7] πλὴν τῆς Ἀργείων. Συνέβαι-

---

§ 16. 2. Ἐξιδιώσασθαι.) Ἰδίας ποιήσασθαι, σφετερίσασθαι. — 3. Ἐφ' ἑκάτερα τῆς ἠπείρου.) Ἐφ' ἑκατέρας τῆς ἠπείρου, οὐκ ἀλόγως γράφειν δεῖν ὑπολαμβάνει Οὔλφιος. Ἔπιθι τὸν Πανηγυρικὸν (§ 9.) καὶ τὰ ἐκεῖ σημειωθέντα μοι. — 4. Ὅσην οὐδεμία πόλις.) Ἐκ διορθώσεως τοῦ Οὐολφίου, καὶ ἑνὸς τῶν πρὸ ἐμοῦ ἀντιγράφων, παρειλήφασιν οἱ πρὸ ἐμοῦ τό, Ὅσην, ἀντὶ τοῦ, Ὅσον. — 5. Οὐκ ἔστερξαν ἐπὶ τούτοις.) Σημείωσαι τὸ πλῆρες· ἡ γὰρ πλείων χρῆσις ἐλλείπει τῇ προθέσει, ὡς ἀλλαχοῦ πολλαχοῦ Ἰσοκράτης. Προσσημειοῦ δὲ καὶ τοῦθ', ὅτι ἡ παρ' ἡμῖν συνήθεια οὐ μόνον, Στέργω εἰς τοῦτο, ἀλλὰ καὶ ἐπὶ μέσης διαθέσεως, Στέργομαι εἰς τοῦτο φιλεῖ λέγειν· ὅπερ οὐχ εὕρηται παρὰ τοῖς ἀρχαίοις· παρ' ἐκείνοις γὰρ παθητικόν ἐστι τό, Στέργομαι. — 6. Κάλλιστα.) Ἴσως ἐγέγραπτο, Μάλιστα. — 7. Καὶ καταστρέφοντες.) Παρ' ἅπασι τοῖς πρὸ ἐμοῦ ἐγράφετο, Καὶ καταστρέψαντες, πλὴν τῶν ἀρχαίων ἐκδόσεων, ἐν αἷς ὥσπερ καὶ ἐν τῷ ἐμῷ ἀντιγράφῳ, λείπει ὁ σύνδεσμος. Ἀλλὰ καὶ τὸ κατὰ τὸν ἀόριστον, Καταστρέψαντες, τῷ, Ἐπαύοντο, συναπτόμενον, σόλοικόν ἐστιν οὐδὲν ἧττον, ἢ εἴ τις ἐν τῇ ἡμῖν συνηθείᾳ, τὸ ἐν παρατάσει γινόμενον δηλῶσαι βουλόμενος, λέγοι, Δὲν ἔπαυσαν νὰ καταστρέψωσιν, ἀντὶ τοῦ, Δὲν ἔπαυσαν νὰ καταστρέφωσι. Διὸ οὐκ ὤκνησα τρέψαι τὸν ἀόριστον εἰς ἐνεστῶτα, Καταστρέφοντες· πλὴν εἰ μή τις, διὰ τὴν ἔν τισι παράλειψιν τοῦ συνδέσμου, ὧδέ πως

νεν οὖν ἐξ ὧν μὲν ἡμεῖς ἐπράττομεν, αὐξάνεσθαι τὴν Ἑλλάδα, καὶ τὴν Εὐρώπην κρείττω γίγνεσθαι τῆς Ἀσίας, καὶ πρὸς τούτοις τῶν μὲν Ἑλλήνων τοὺς ἀποροῦντας πόλεις λαμβάνειν καὶ χώρας, τῶν δὲ βαρβάρων τοὺς εἰθισμένους ὑβρίζειν, ἐκπίπτειν τῆς αὐτῶν, καὶ φρονεῖν ἔλαττον ἢ πρότερον· ἐξ ὧν δὲ Σπαρτιᾶται, τὴν ἐκείνων μόνην μεγάλην γίγνεσθαι, καὶ πασῶν μὲν τῶν ἐν Πελοποννήσῳ πόλεων ἄρχειν, ταῖς δ' ἄλλαις φοβερὰν εἶναι,[8] καὶ πολλῆς θεραπείας τυγχάνειν παρ' αὐτῶν. Ἐπαινεῖν μὲν οὖν δίκαιόν ἐστι, τὴν τοῖς ἄλλοις πολλῶν ἀγαθῶν αἰτίαν γενομένην, δεινὴν δὲ νομίζειν τὴν αὐτῇ τὰ συμφέροντα διαπραττομένην· καὶ φίλους μὲν ποιεῖσθαι τοὺς ὁμοίως αὐτοῖς τε καὶ τοῖς ἄλλοις χρωμένους, φοβεῖσθαι δὲ καὶ δεδιέναι τοὺς πρὸς σφᾶς μὲν αὐτοὺς ὡς δυνατὸν οἰκειότατα διακειμένους, πρὸς δὲ τοὺς ἄλλους ἀλλοτρίως καὶ πολεμικῶς τὴν αὐτῶν διοικοῦντας. Τὴν μὲν οὖν ἀρχὴν ταῖν πολέοιν ἑκατέρα τοιαύτην ἐποιήσατο.

§ 17. Χρόνῳ δ' ὕστερον γενομένου τοῦ Περσικοῦ πολέμου, καὶ Ξέρξου τοῦ τότε βασιλεύοντος, τριήρεις μὲν συναγαγόντος διακοσίας καὶ χιλίας, τῆς δὲ πεζῆς στρατιᾶς πεντακοσίας μυριάδας τῶν πάντων, ἑβδομήκοντα δὲ τῶν μαχίμων, τηλικαύτῃ *δὲ* δυνάμει[2] στρατεύσαντος ἐπὶ τοὺς Ἕλληνας, Σπαρτιᾶται μὲν, ἄρχοντες Πελοποννησίων, εἰς τὴν ναυμαχίαν, τὴν ποιήσασαν ῥοπὴν ἅπαντος τοῦ πολέμου, δέκα μόνον συνεβάλοντο τριήρεις· οἱ δὲ πατέρες ἡμῶν, ἀνάστατοι γενόμενοι, καὶ τὴν πόλιν ἐκλελοιπότες, διὰ τὸ μὴ τετειχίσθαι κατ' ἐκεῖνον τὸν χρόνον, πλείους[3] ναῦς παρέσχον, καὶ μείζω δύναμιν ἐχούσας ἢ σύμπαντες οἱ συγκινδυνεύσαντες.[4] Καὶ στρατηγὸν οἱ μὲν Εὐρυβιάδην, ὃς, εἰ τέλος ἐπέθηκεν οἷς διενοήθη πράττειν, οὐδὲν ἂν ἐκώλυσεν ἀπολωλέναι

---

ἔχειν τὴν ἀρχαίαν γραφὴν ὑποτοπάζοι, «Οὐδὲν ἐπαύοντο . . . πολιορκοῦντες, καὶ κακῶς ποιοῦντες, πρὶν κατέστρεψαν αὐτάς· πλὴν τῆς Ἀργείων.» Παράθες τούτοις τὰ κατωτέρω τοῦ παρόντος λόγου (§ 35.), καὶ τὰ ἐν τῷ Πανηγυρικῷ (§ 48). — 8. Τῶν ἐν Πελοποννήσῳ πόλεων ἄρχειν, ταῖς δ' ἄλλαις φοβερὰν εἶναι.) Οὕτω διορθωτέον ὑπέλαβον εἶναι τὸ παρ' ἅπασι σολοικῶς φερόμενον, Τῶν ἐν Πελοποννήσῳ πόλεων ἄρχειν ταῖς ἄλλαις φανερὰν εἶναι, πλὴν ἑνὸς ἀντιγράφου τῶν πρὸ ἐμοῦ, ἐν ᾧ φέρεται Ἄρχουσαν τοῖς ἄλλοις, ἀντὶ τοῦ, Ἄρχειν ταῖς ἄλλαις.

§ 17. 2. Τηλικαύτῃ δὲ δυνάμει.) Ἐξωστέον ὁ σύνδεσμος. — 3. Πλείους.) Καλῶς ποιῶν ὁ Λάγγιος παρείληφε ταύτην τὴν γραφὴν ἐκ τοῦ Πανηγυρικοῦ (§ 27.), ἀντὶ τῆς παρ' ἅπασι φερομένης γραφῆς, Κρείττους. — 4. Οἱ συγκινδυνεύσαντες.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ᾧ συνᾴδει καὶ ἓν τῶν πρὸ ἐμοῦ ἕτερον, ἀντὶ τῆς παρ' ἅπασι νόθου γραφῆς, Οἱ κινδυνεύσαντες· οἱ γὰρ Κινδυνεύσαντες, οὐκ ἔχουσιν ἀντιδιαστέλλεσθαι πρὸς τοὺς Ἀθηναίους, τῶν κινδυνευσάντων ὄντας καὶ αὐτούς. Ἐρεῖ δὲ καὶ μετ' ὀλίγα, «Τὴν ἡγεμονίαν οἱ συγκινδυνεύσαντες τοῖς ἡμετέροις παρέδοσαν.» Οὐκ ἀλόγως οὖν καὶ ἐν τῷ Πανηγυρικῷ (§ 27.) ἀντὶ τοῦ, Ναυμαχήσαντες, διορθοῦντες ἐγράψαμεν, Συνναυμαχήσαντες.

τοὺς Ἕλληνας· οἱ δὲ ἡμέτεροι Θεμιστοκλέα, τὸν ὁμολογουμένως ἅπασιν αἴτιον εἶναι δόξαντα καὶ τοῦ τὴν ναυμαχίαν γενέσθαι κατὰ τρόπον, καὶ τῶν ἄλλων ἁπάντων τῶν ἐν ἐκείνῳ τῷ χρόνῳ κατορθωθέντων. Τεκμήριον δὲ μέγιστον· ἀφελόμενοι γὰρ Λακεδαιμονίους τὴν ἡγεμονίαν οἱ συγκινδυνεύσαντες, τοῖς ἡμετέροις παρέδοσαν. Καίτοι τίνας ἂν τις κριτὰς ἱκανωτέρους ποιήσαιτο, καὶ πιστοτέρους τῶν τότε πραχθέντων, ἢ τοὺς ἐν αὐτοῖς τοῖς κινδύνοις παραγενομένους; τίνα δ᾽ ἄν τις εὐεργεσίαν εἰπεῖν ἔχοι ταύτης μείζω, τῆς ἅπασαν τὴν Ἑλλάδα σῶσαι δυνηθείσης;

§ 18. Μετὰ ταῦτα τοίνυν συνέβη κυρίαν ἑκατέραν γενέσθαι τῆς ἀρχῆς τῆς κατὰ θάλατταν, ἣν ὁπότεροι ἂν κατάσχωσιν, ὑπηκόους ἔχουσι τὰς πλείστας τῶν πόλεων. Ὅλως μὲν οὖν οὐδετέραν ἐπαινῶ· πολλὰ γὰρ ἄν τις αὐταῖς ἐπιτιμήσειεν· οὐ μὴν ἀλλὰ καὶ περὶ τὴν ἐπιμέλειαν ταύτην οὐκ ἔλαττον αὐτῶν διηνέγκαμεν, ἢ περὶ τὰς πράξεις τὰς ὀλίγῳ πρότερον εἰρημένας. Οἱ μὲν γὰρ ἡμέτεροι πατέρες ἔπειθον τοὺς συμμάχους ποιεῖσθαι πολιτείαν τοιαύτην, ἥνπερ αὐτοὶ διετέλουν ἀγαπῶντες· ὃ σημεῖόν ἐστιν εὐνοίας καὶ φιλίας, ὅταν τινὲς παραινῶσι[2] τοῖς ἄλλοις, χρῆσθαι τούτοις, ἅπερ ἂν σφίσιν αὐτοῖς συμφέρειν ὑπολάβωσιν. Λακεδαιμόνιοι δὲ κατέστησαν, οὐθ᾽ ὁμοίαν τῇ παρ᾽ αὐτοῖς, οὔτε ταῖς ἄλλοθί που γενομέναις, ἀλλὰ δέκα μόνους ἄνδρας κυρίους[3] ἑκάστης πόλεως ἐποίησαν, ὧν ἐπιχειρήσας ἄν τις κατηγορεῖν τρεῖς ἢ τέτταρας ἡμέρας συνεχῶς, οὐδὲν ἂν μέρος εἰρηκέναι δόξειε τῶν ἐκείνοις ἡμαρτημένων. Καθ᾽ ἕκαστον μὲν οὖν διεξέναι περὶ τῶν τοιούτων καὶ τοσούτων τὸ πλῆθος, ἀνόητόν ἐστιν· ὀλίγα δὲ κατὰ πάντων εἰπεῖν, ἃ τοῖς ἀκούσασιν ὀργὴν ἀξίαν ἐμποιήσουσι τῶν πεπραγμένων, νεώτερος μὲν ὢν ἴσως [ἂν] ἐξεῦρον,[4] νῦν δ᾽ οὐδὲν ἐπέρχεταί μοι τοιοῦτο.[5] Ἀλλ᾽ ἅπαντες ἴσασιν, ὅτι[6] τοσοῦτον ἐκεῖνοι[7]

---

§ 18. 2. Ὃ σημεῖόν ἐστιν εὐνοίας καὶ φιλίας, ὅταν τινὲς παραινῶσι κ. τ. λ.) Πολλή σοι συγγνώμη, χρηστὲ Ἰσόκρατες, κομψότερον ἢ ἀληθέστερον ὑπεραπολογουμένῳ τῆς φίλης πατρίδος. Ἀριστοτέλης δὲ (Πολιτικ. Δ, ιά) ἄλλως κρίνει περὶ ὑμῶν τε καὶ Λακεδαιμονίων. «Ἔτι »δὲ καὶ τῶν ἐν ἡγεμονίᾳ γενομένων τῆς »Ἑλλάδος, πρὸς τὴν παρ᾽ αὐτοῖς ἑκά»τεροι πολιτείαν ἀποβλέποντες, οἱ μὲν »δημοκρατίας ἐν ταῖς πόλεσι καθίστα»σαν, οἱ δ᾽ ὀλιγαρχίας, οὐ πρὸς τὸ τῶν »πόλεων συμφέρον σκοποῦντες, ἀλλὰ πρὸς »τὸ σφέτερον αὐτῶν.» — 3. Δέκα μόνους ἄνδρας κυρίους.) Λείπει τὸ, Κυρίους, παρ᾽ ἅπασι, πλὴν ἐν τῷ ἐμῷ ἀντιγράφῳ, καὶ ἑνὶ τῶν πρὸ ἐμοῦ, ἐξ οὗ παρέλαβε καὶ ὁ Λάγγιος, μαρτυρούμενον ἄλλως καὶ ὑπὸ τοῦ Ἁρποκρατίωνος (λέξ. Δεκαδαρχία). — 4. Ἴσως ἂν ἐξεῦρον.) Προσέθηκα τὸν, Ἂν, ἀναγκαῖον ἐνταῦθα τυγχάνοντα. — 5. Νῦν δ᾽ οὐδὲν ἐπέρχεταί μοι τοιοῦτο.) Ἐξ ἀντιγράφων, οἷς συνᾴδει καὶ τοὐμὸν, τὸ Ἐπέρχεται, ἀντὶ τῆς παρὰ τοῖς ἄλλοις νόθου γραφῆς, Ὑπέρχεται· ἐρεῖ γὰρ καὶ προϊὼν ἐν αὐτῷ τούτῳ τῷ λόγῳ (§ 49). «Χαλεπὸν ἦν . . . τὰ κατ᾽ ἐκεῖνον »ἐπελθόντα τὸν χρόνον εἰς τοῦτον ἀπο»θέσθαι τὸν καιρόν.» Ὁ δὲ νοῦς, ὡς ἂν φαίημεν ἐν τῇ συνηθείᾳ, Ἀλλὰ τώρα δὲν μοῦ ἔρχεται παρόμοιόν τι ποτε εἰς τὸν νοῦν. — 6. Ἀλλ᾽ ἅπαντες ἴσασιν, ὅτι κ. τ. λ.) Οὕτω διώρθωκα τὸ ἐν ταῖς

διήνεγκαν ἀνομίᾳ καὶ πλεονεξίᾳ τῶν προγεγενημένων, ὥστ' οὐ μόνον αὐτοὺς ἀπώλεσαν, καὶ τοὺς φίλους, καὶ τὰς πατρίδας τὰς ἑαυτῶν, ἀλλὰ καὶ Λακεδαιμονίους, πρὸς τοὺς συμμάχους διαβάλλοντες, εἰς τοιαύτας καὶ τοσαύτας συμφορὰς ἐνέβαλον, ὅσας οὐδεὶς πώποτε αὐτοῖς γενήσεσθαι προσεδόκησε.

§ 19. Μάλιστα μὲν οὖν ἐντεῦθεν ἄν τις δυνηθείη κατιδεῖν, ὅσῳ μετριώτερον καὶ πρᾳότερον ἡμεῖς τῶν πραγμάτων ἐπεμελήθημεν· δεύτερον δ' ἐκ τοῦ ῥηθήσεσθαι μέλλοντος. Σπαρτιᾶται μὲν γὰρ ἔτη δέκα μόλις ἐπεστάτησαν αὐτῶν,[2] ἡμεῖς δὲ πέντε καὶ ἑξήκοντα[3] συνεχῶς κατέσχομεν τὴν ἀρχήν. Καίτοι πάντες ἴσασι, τὰς πόλεις τὰς ὑφ' ἑτέροις γιγνομένας, ὅτι πλεῖστον χρόνον τούτοις παραμένουσιν, ὑφ' ὧν ἂν ἐλάχιστα κακὰ πάσχουσαι τυγχάνωσιν. Ἐκ τούτων τοίνυν ἀμφότεραι μισηθεῖσαι, κατέστησαν εἰς πόλεμον καὶ ταραχήν, ἐν ᾗ τὴν μὲν ἡμετέραν εὕροι τις ἄν, ἁπάντων αὐτῇ καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἐπιθεμένων, ἔτη δέκα τούτοις ἀντισχεῖν δυνηθεῖσαν, Λακεδαιμονίους δὲ κρατοῦντας ἔτι, κατὰ γῆν[4] πρὸς Θηβαίους μόνους πολεμήσαντας, καὶ μίαν μάχην ἡττηθέντας, ἁπάντων ἀποστερηθέντας ὧν εἶχον, καὶ παραπλησίαις ἀτυχίαις χρησαμένους, καὶ συμφοραῖς, αἷς περ ἡμεῖς. Καὶ πρὸς τούτοις τὴν μὲν ἡμετέραν πόλιν [ἐν] ἐλάττοσιν ἔτεσιν[5] ἀναλαβοῦσαν αὑτήν, ἢ κατεπολεμήθη. Σπαρτιάτας δὲ μετὰ τὴν ἧτταν μηδ' ἐν πολλαπλασίῳ χρόνῳ δυνηθέντας καταστῆσαι σφᾶς αὐτοὺς εἰς τὴν αὑτῶν ἕξιν,[6] ἐξ ἧσπερ ἐξέπεσον, ἀλλ' ὁμοίως ἔτι καὶ νῦν ἔχοντας.

§ 20. Τὰ τοίνυν πρὸς τοὺς βαρβάρους ὡς ἑκάτεροι προσηνέχθημεν, δηλωτέον· ἔτι γὰρ τοῦτο λοιπόν ἐστιν. Ἐπὶ μὲν γὰρ τῆς ἡμετέρας δυναστείας οὐκ ἐξῆν αὐτοῖς, οὔτε ἐντὸς Ἅλυος ποταμοῦ πεζῷ καταβαίνειν, οὔτε μακροῖς πλοίοις ἐπὶ τἄνδον πλεῖν Φασήλιδος· ἐπὶ δὲ τῆς Λακεδαιμονίων, οὐ μόνον τοῦ πορεύεσθαι

---

ἀρχαίαις ἐκδόσεσι καὶ ἐν ἅπασι τοῖς ἀντιγράφοις φερόμενον, Ἀλλὰ παρὰ πᾶσιν ὅτι· οὗ τὸ ἀσυνάρτητον συνιδὼν Οὐόλφιος διώρθου, Ἀλλὰ παρὰ πᾶσιν ὁμολογεῖται ὅτι, ἀποδεξαμένων καὶ τῶν μετ' ἐκεῖνον τὴν διόρθωσιν. — 7. Ἐκεῖνοι.) Οἱ κατὰ πόλεις κύριοι δέκα ἄνδρες.

§ 19. 2. Ἔτη δέκα μόλις ἐπεστάτησαν αὐτῶν.) Ἀριθμούμενα δηλονότι ἀπὸ τῆς ἐν Ἑλλησπόντῳ γενομένης ἀτυχίας τῶν Ἀθηναίων (Πανηγυρικ. λγ', σελ. 61.) μέχρι τῆς περὶ Κνίδον ἥττης κατὰ θάλατταν τῶν Λακεδαιμονίων. Πολύβιος δὲ (Δ, β') «Μόλις ἔτη δώδεκα» φησί, περὶ ὧν μέτιθι τὰ σημειωθέντα τῷ τελευταίῳ ἐκείνου σοφῷ ἐκδότῃ. — 3. Πέντε καὶ ἑξήκοντα.) Ἔπιθι τὰ ἐν τοῖς πρόσθεν (σελ. 45), ἡμῖν εἰρημένα. — 4. Κατὰ γῆν.) Ἐκ διορθώσεως Οὐολφίου οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Κατὰ τήν. — 5. Ἐν ἐλάττοσιν ἔτεσι.) Προσέθηκα τὴν πρόθεσιν, λείπουσαν ἐν ἅπασι. Δῆλον δ' ἡμαρτῆσθαι τὴν παράλειψιν καὶ ἐκ τῶν ἐχομένων, Ἐν πολλαπλασίῳ χρόνῳ· οἷς παράθες καὶ τὰ ἀλλαχοῦ (Πρὸς Φίλιππ. μζ', σελ. 102.) παραπλησίως πεφρασμένα τῷ ῥήτορι. — 6. Εἰς τὴν αὑτῶν ἕξιν.) Εἰς τὴν προτέραν αὐτῶν τύχην καὶ κατάστασιν.

καὶ πλεῖν, ὅπη βουληθεῖεν,[2] ἐξουσίαν ἔλαβον, ἀλλὰ καὶ δεσπόται πολλῶν Ἑλληνίδων πόλεων κατέστησαν.

§ 21. Τὴν δὴ καὶ τὰς συνθήκας τὰς πρὸς βασιλέα γενναιοτέρας καὶ μεγαλοφρονεστέρας ποιησαμένην, καὶ τῶν πλείστων καὶ μεγίστων, τοῖς μὲν βαρβάροις κακῶν, τοῖς δ' Ἕλλησιν ἀγαθῶν, αἰτίαν γεγενημένην, ἔτι δὲ τῆς μὲν Ἀσίας τὴν παραλίαν, καὶ πολλὴν ἄλλην χώραν τοὺς μὲν πολεμίους ἀφελομένην,[2] τοῖς δὲ συμμάχοις κτησαμένην, καὶ τοὺς μὲν ὑβρίζοντας, τοὺς δὲ ἀπορούντας παύσασαν, πρὸς δὲ τούτοις ὑπὲρ αὐτῆς τε πολεμήσασαν ἄμεινον τῆς εὐδοκιμούσης περὶ τὰ τοιαῦτα, καὶ τὰς συμφορὰς θᾶττον διαλυσαμένην τῶν αὐτῶν τούτων, πῶς οὐ δίκαιόν ἐστιν ἐπαινεῖν, καὶ τιμᾷν μᾶλλον, ἢ τὴν ἐν ἅπασι τούτοις ἀπολελειμμένην; Περὶ μὲν οὖν τῶν πραχθέντων παρ' ἄλληλα,[3] καὶ τῶν κινδύνων ἅμα καὶ πρὸς τοὺς αὐτοὺς γενομένων, ἐν τῷ παρόντι ταῦτ' εἴχομεν εἰπεῖν.

§ 22. Οἶμαι δὲ τοὺς ἀληθῶς ἀκούοντας τῶν λόγων τούτων τοῖς μὲν εἰρημένοις οὐδὲν ἀντερεῖν,[2] ὡς οὐκ ἀληθέσιν οὖσιν οὐδ' αὖ πράξεις ἑτέρας ἕξειν εἰπεῖν, περὶ ἃς Λακεδαιμόνιοι γενόμενοι,[3] πολλῶν ἀγαθῶν αἴτιοι τοῖς Ἕλλησι κατέστησαν· κατηγορεῖν δὲ τῆς πόλεως ἡμῶν ἐπιχειρήσουσιν,[4] ὅπερ ἀεὶ ποιεῖν εἰώθασι, καὶ διεξιέναι τὰς δυσχερεστάτας τῶν πράξεων, τῶν ἐπὶ τῆς ἀρχῆς τῆς κατὰ θάλατταν γεγενημένων· καὶ τάς τε δίκας καὶ τὰς κρίσεις, τὰς ἐνθάδε γιγνομένας[5] τοῖς συμμάχοις, καὶ τὴν

---

§ 20. 2. Ὅπη βουληθεῖεν.) Τὸ, Ὅπη, ἐξ ἀντιγράφου τῶν πρὸ ἐμοῦ, ᾧ συνᾴδει καὶ τοὐμὸν, ἀντὶ τοῦ, Ὅπου.

§ 21. 2. Χώραν τοὺς μὲν πολεμίους ἀφελομένην.) Παρ' ἅπασι κατὰ δοτικὴν, Τοῖς μὲν πολεμίοις· καὶ τοῦτο μόνον τὸ χωρίον, ὡς σπανιωτάτης παρὰ τοῖς λογογράφοις χρήσεως παράδειγμα, παρατίθεται ὁ Στέφανος ἐν τῷ Θησαυρῷ (Α, σελ. 191). ὤφειλε γὰρ εἶναι, Τῶν μὲν πολεμίων, ἢ Τοὺς μὲν πολεμίους ἀφελομένην. Ἡμῖν δ' ἔδοξεν ἄμεινον εἶναι ὡς γραφικὸν ἁμάρτημα τὴν κατὰ δοτικὴν σύνταξιν τρέπειν εἰς τὴν κατ' αἰτιατικήν· Ἀριστείδου γὰρ, καὶ Φιλοστράτου, καὶ τῶν τοιούτων σοφιστῶν ἐστιν (Θωμ. Μαγίστρ. λέξ. Ἀφαιρῶ) ἡ μετὰ δοτικῆς τοῦ Ἀφαιροῦμαι σύνταξις. Ὅτι δὲ πολλάκις συγχέουσιν οἱ ἀντιγραφεῖς τὰς καταλήξεις τῶν αἰτιατικῶν ους ταῖς καταλήξεσι τῶν δοτικῶν οις, ἴσασιν οἱ καὶ κατὰ μικρὸν πειραθέντες τῶν ἀντιγράφων. — 3. Περὶ μὲν οὖν τῶν πραχθέντων παρ' ἄλληλα κ. τ. λ.) Τὸ ἑξῆς, Ταῦτα ἐν τῷ παρόντι ἔχομεν εἰπεῖν περὶ τῶν πραχθέντων ἑκατέροις (τουτέστιν ἡμῖν τε καὶ Λακεδαιμονίοις τιθέντες καὶ ἐξετάζοντες αὐτὰ) παρ' ἄλληλα κ. τ. λ. Προειλόμην γὰρ διελεῖν τὸ παρ' ἅπασι συνθέτως γραφόμενον, Παράλληλα.

§ 22. 2. Οὐδὲν ἀντερεῖν.) Παρ' ἅπασιν, Οὐδὲν ἂν ἀντερεῖν. Διαγραπτέος ἔδοξέ μοι ὁ δυνητικὸς, ὡς ἐκ τῆς πρώτης συλλαβῆς τοῦ, Ἀντερεῖν, ἀβλεψίᾳ τοῦ γράψαντος ἀναφυείς. Τὸ, γὰρ, Οἴομαι, παρὰ τοῖς δοκίμοις, ὅταν (σημαῖνον τὸ προσδοκῶ) πρὸς ἀπαρέμφατον ἀόριστον φέρηται, προσλαμβάνει, τὸν, Ἄν, σύνδεσμον· οὐκέτι δὲ καὶ μέλλοντι συντασσόμενον. — 3. Γενόμενοι.) Εἰς τοῦτ' ἔτρεψα τὸ παρ' ἅπασι, Γιγνόμενοι. — 4. Ἐπιχειρήσουσιν.) Ἐξ εἰκασίας τοῦ Αὐγήρου ἀντὶ τοῦ παρ' ἅπασιν, Ἐπιχειροῦσιν, ὃ κακῶς ὁ Αὔγγιος ἀντὶ τοῦ λεγομένου δευτέρου μέλλοντος ἐξεδέξατο. — 5. Καὶ τάς τε δίκας καὶ τὰς κρίσεις, τὰς ἐνθάδε γιγνομένας.)

τῶν φόρων εἴσπραξιν διαβαλοῦσι· καὶ μάλιστα διατρίψουσι περὶ τὰ Μηλίων πάθη, καὶ Σκιωναίων,[6] οἰόμενοι ταῖς κατηγορίαις ταύταις καταῤῥυπαίνειν[7] τὰς τῆς πόλεως εὐεργεσίας, τὰς ὀλίγῳ πρότερον εἰρημένας.

§ 23. Ἐγὼ δὲ πρὸς ἅπαντα μὲν τὰ δικαίως ἂν ῥηθέντα κατὰ τῆς πόλεως, οὔτ' ἂν δυναίμην ἀντειπεῖν, οὔτ' ἂν ἐπιχειρήσαιμι τοῦτο ποιεῖν. Καὶ γὰρ ἂν αἰσχυνοίμην, ὅπερ εἶπον ἤδη καὶ πρότερον,[2] εἰ τῶν ἄλλων μηδὲ τοὺς θεοὺς ἀναμαρτήτους εἶναι νομιζόντων, ἐγὼ γλιχοίμην καὶ πειρῴμην πείθειν, ὡς περὶ οὐδὲν πώποτε τὸ κοινὸν ἡμῶν[3] πεπλημμέληκεν. Οὐ μὴν ἀλλ' ἐκεῖνό γ' οἴομαι ποιήσειν, τήν τε πόλιν τὴν Σπαρτιατῶν ἐπιδείξειν περὶ τὰς πράξεις τὰς προειρημένας, πολὺ πικροτέραν καὶ χαλεπωτέραν τῆς ἡμετέρας γεγενημένην, τούς τε ὑπὲρ ἐκείνων βλασφημοῦντας καθ' ἡμῶν, ὡς δυνατὸν ἀφρονέστατα διακειμένους, καὶ τοῦ κακῶς ἀκούειν ὑφ' ἡμῶν τοὺς φίλους αὐτῶν αἰτίους ὄντας. Ἐπειδὰν γὰρ τοιαῦτα κατηγορῶσιν, οἷς ἔνοχοι Λακεδαιμόνιοι μᾶλλον τυγχάνουσιν ὄντες, οὐκ ἀποροῦμεν τῶν περὶ ἡμῶν ῥηθέντων μεῖζον ἁμάρτημα κατ' ἐκείνων εἰπεῖν.

§ 24. Οἷον καὶ νῦν, ἢν μνησθῶσι τῶν ἀγώνων τῶν τοῖς συμμάχοις[2] ἐνθάδε γιγνομένων,[3] τίς ἐστιν οὕτως ἀφυής, ὅστις οὐχ εὑρήσει πρὸς τοῦτ' ἀντειπεῖν, ὅτι πλείους Λακεδαιμόνιοι τῶν Ἑλλήνων ἀκρίτους ἀπεκτόνασι[4] τῶν παρ' ἡμῖν, ἐξ οὗ τὴν πόλιν οἰκοῦμεν, εἰς ἀγῶνα καὶ κρίσιν καταστάντων;

§ 25. Τοιαῦτα δὲ καὶ περὶ τῆς εἰσπράξεως τῶν φόρων, ἤν τι λέγωσιν, ἕξομεν εἰπεῖν· πολὺ γὰρ ἐπιδείξομεν συμφορώτερα πράξαντας τοὺς ἡμετέρους, ἢ Λακεδαιμονίους, ταῖς πόλεσι ταῖς τὸν

---

Ἄμεινον ἴσως ὅπερ ἐν τῷ τοῦ Οὐολφίου ἀντιγράφῳ φέρεται, Καὶ τὰς κρίσεις τὰς ἐνθάδε γενομένας. — 6. Τὰ Μηλίων πάθη καὶ Σκιωναίων.) Περὶ ὧν ἀπελογήσατο ἐν τῷ Πανηγυρικῷ ( § 29. ). — 7. Καταρυπαίνειν.) Καταμολύνειν καὶ καθυβρίζειν. Ἐχρήσατο καὶ ἀλλαχοῦ (Ἐπιστολ. Β'.) τῇ λέξει ὁ Ῥήτωρ.

§ 23. 2. Ὅπερ εἶπον ἤδη καὶ πρότερον.) Ἐν τῇ πρὸς Φίλιππον ἐπιστολῇ τῇ δευτέρᾳ. — 3. Τὸ κοινὸν ἡμῶν.) Ἡ ἡμετέρα πόλις, ὁ δῆμος. Ἔσωσε τὴν λέξιν καὶ ἡ συνήθεια. Διὰ δὲ τὰς πολλὰς καὶ δεινὰς τοῦ κοινοῦ τῶν Ἀθηναίων πλημμελείας ταύτας, ἃς ὁ φιλόπατρις Ἰσοκράτης πάσῃ μηχανῇ περιστέλλειν πειρᾶται, ἐπιτιμῶν ὁ χαριέστατος Ἀριστοφάνης τοῖς αὐτοῦ πολίταις ἔλεγε (Ἐκκλησιαζ. 208),

Τὸ δὲ κοινόν, ὥσπερ Αἴσιμος, κυλίνδεται.
Ἦν δ' ἄρα ὁ Αἴσιμος οὗτος χωλός τις Ἀθήνησιν, οὐ τὸν πόδα μόνον, ἀλλὰ καὶ τὸν νοῦν.

§ 24. 2. Τοῖς συμμάχοις.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, καθὰ καὶ ὁ Λάγγιος ἐξ ἑτέρου, ἀντὶ τοῦ παρὰ τοῖς λοιποῖς, Ἐν τοῖς συμμάχοις. — 3. Γιγνομένων.) Οὕτω τὸ ἐμὸν ἀντίγραφον, ὡς καὶ ὁ Στέφανος καὶ ὁ Αὐγῆρος, καὶ τῶν ἀρχαίων τινὲς ἐκδόσεων, ἀντὶ τοῦ, Γενομένων, ὅπερ ἄμεινον ἴσως. — 4. Πλείους . . . ἀκρίτους ἀπεκτόνασι.) Εὑρήσεις ταῦτα πλατύτερον ἐν τῷ Πανηγυρικῷ ( § 32 ) Οὐκ ἀπεικότως δὲ τὰ τοῖς Τριάκοντα τυράννοις Ἀθήνησι παρανομηθέντα ἐπὶ τοὺς Λακεδαιμονίους ἀναφέρει· οὗτοι γὰρ ἦσαν οἱ τοὺς Τριάκοντα καταστήσαντες.

φόρον ἐνεγκούσαις. Πρῶτον μὲν γάρ, οὐ προσταχθὲν ὑφ' ἡμῶν τοῦτ' ἐποίουν, ἀλλὰ καὶ αὐτοὶ γνόντες, ὅτε τὴν ἡγεμονίαν ἡμῖν τὴν κατὰ θάλατταν ἔδοσαν· ἔπειτ' οὐχ ὑπὲρ τῆς σωτηρίας τῆς ἡμετέρας ἔφερον, ἀλλ' ὑπὲρ τῆς δημοκρατίας καὶ τῆς ἐλευθερίας τῆς αὐτῶν, καὶ τοῦ μὴ περιπεσεῖν, ὀλιγαρχίας γενομένης, τηλικούτοις κακοῖς τὸ μέγεθος, ἡλίκοις ἐπὶ τῶν δεκαδαρχιῶν,[2] καὶ τῆς δυναστείας τῆς Λακεδαιμονίων. Ἔτι δ' οὐκ ἐκ τούτων ἔφερον, ἐξ ὧν αὐτοὶ διέσωσαν, ἀλλ' ἀφ' ὧν δι' ἡμᾶς εἶχον· ὑπὲρ ὧν, εἰ καὶ μικρὸς λογισμὸς ἐνῆν αὐτοῖς, δικαίως ἂν χάριν εἶχον ἡμῖν. Παραλαβόντες γὰρ τὰς πόλεις αὐτῶν, τὰς μὲν παντάπασιν ἀναστάτους γεγενημένας ὑπὸ τῶν βαρβάρων, τὰς δὲ πεπορθημένας, εἰς τοῦτο προηγάγομεν, ὥστε μικρὸν μέρος τῶν γιγνομένων ἡμῖν διδόντας, μηδὲν ἐλάττους ἔχειν αὐτοὺς οἴκους[3] Πελοποννησίων, τῶν οὐδένα φόρον ὑποτελούντων.

§ 26. Περὶ τοίνυν τῶν ἀναστάτων γεγενημένων ὑφ' ἑκατέρας τῶν πόλεων, ὃ μόνοις τινὲς ἡμῖν ὀνειδίζουσιν, ἐπιδείξομεν πολὺ δεινότερα πεποιηκότας, οὓς ἐπαινοῦντες διατελοῦσιν. Ἡμῖν μὲν γὰρ συνέπεσε περὶ νησύδρια τοιαῦτα καὶ τηλικαῦτα τὸ μέγεθος ἐξαμαρτάνειν, ἃ πολλοὶ τῶν Ἑλλήνων οὐδ' ἴσασιν· ἐκεῖνοι δὲ τὰς μεγίστας πόλεις τὰς ἐν Πελοποννήσῳ, καὶ τὰς πανταχῇ προεχούσας τῶν Ἑλλήνων, ἀναστάτους ποιήσαντες, αὐτοὶ τἀκείνων ἔχουσιν. Ἃς ἄξιον ἦν, εἰ καὶ μηδὲν πρότερον αὐταῖς ὑπῆρξεν ἀγαθόν, τῆς μεγίστης δωρεᾶς παρὰ τῶν Ἑλλήνων τυχεῖν, διὰ τὴν στρατείαν τὴν ἐπὶ Τροίαν, ἐν ᾗ σφᾶς αὐτὰς παρέσχον[2] πρωτευούσας, τοὺς θ' ἡγεμόνας ἀρετὰς ἔχοντας, οὐ μόνον τὰς τοιαύτας, ὧν πολλοὶ καὶ φαῦλοι κοινωνοῦσιν, ἀλλὰ κἀκείνας, ὧν οὐδεὶς ἂν πονηρὸς ὢν δυνηθείη[3] μετασχεῖν. Μεσσήνη μὲν γὰρ Νέστορα παρέσχε, τὸν φρονιμώτατον ἁπάντων τῶν κατ' ἐκεῖνον τὸν χρόνον γενομένων· Λακεδαίμων δὲ Μενέλαον,[4] τὸν διὰ σω-

§ 25. 2. Δεκαδαρχιῶν.) Πεντασυλλάβως, ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ᾧ συνᾴδει καὶ Λάγγιος, ἐξ ἀντιγράφου κἀκεῖνος παρειληφώς, ἀντὶ τοῦ Δεκαρχιῶν. — 3. Μηδὲν ἐλάττους ἔχειν αὐτοὺς οἴκους.) Αἱ ἀρχαῖαι ἐκδόσεις καὶ τὰ ἀντίγραφα φέρουσι, Μηδὲν ἔλαττον ἔχειν τοὺς οἰκείους, πλὴν τοῦ ἐμοῦ, καὶ τοῦ Λαγγιανοῦ ἀντιγράφου, ἐν οἷς ἀντὶ τοῦ, Ἔλαττον, γράφεται Ἐλάττους. Οὐόλφιος παρῄνει γράφειν, Μηδὲν ἐλάττονας ἔχειν τοὺς οἴκους, ἣν γραφὴν ἀπεδέξαντο καὶ οἱ μετ' αὐτόν, πλὴν Λαγγίου. Ἡμεῖς δὲ προελόμενοι τὸ τῶν ἀντιγράφων, Ἐλάττους, ἐτρέψαμεν καὶ τὸ ἄρθρον εἰς τὴν ἀντωνυμίαν, ἀναφερομένην πρὸς τοὺς Ἀθηναίων συμμάχους, ἀντιδιεσταλμένως πρὸς τό, Ἡμῖν. Σημείωσαι δὲ τό, Οἴκους, ἀντὶ τοῦ, Οὐσίας, ἀπὸ μέρους τὸ ὅλον, καθάπερ καὶ ἐν τῇ Γαλατικῇ ταύτῃ φράσει, Il a fait une donnemaison, τουτέστι, Μεγάλην οὐσίαν ἐκτήσατο.

§ 26 2. Παρέσχον.) Εἰς τοῦτο ἔτρεψα τὸ παρ' ἅπασι, Παρεῖχον· οἷον ἐρεῖ καὶ κατωτέρω (§ 76) Πρωτευούσαν αὐτὴν παρέσχον. — 3. Οὐδεὶς ἂν πονηρὸς ὢν δυνηθείη.) Οὐκ ὤκνησα τῷ παρ' ἅπασι, Δυνηθῇ, ἀνθυποβαλεῖν, τό, Δυνηθείη. — 4. Μενέλαον.) Γράφε Ἀττικῶς, Μενέλεων καὶ

φροσύνην μόνον ἀξιωθέντα Διὸς γενέσθαι καὶ κληθῆναι κηδεστήν·[5] ἡ δὲ Ἀργείων πόλις, Ἀγαμέμνονα, τὸν οὐ μίαν οὐδὲ δύο μόνον ἔχοντα ἀρετὰς, ἀλλὰ πάσας ὅσας ἔχοι τις ἂν εἰπεῖν, καὶ ταύτας οὐ μετρίως, ἀλλ' ὑπερβαλλόντως· οὐδένα γὰρ εὑρήσομεν τῶν ἁπάντων, οὔτε ἰδιωτέρας[6] πράξεις μεταχειρισάμενον, οὔτε καλλίους, οὔτε μείζους, οὔτε τοῖς Ἕλλησιν ὠφελιμωτέρας, οὔτε πλειόνων ἐπαίνων ἀξίας. Καὶ τούτοις οὕτω μὲν ἀπηριθμημένοις εἰκότως ἂν ἀπιστήσειαν πολλοὶ, μικρῶν δὲ περὶ ἑκάστου[7] ῥηθέντων, ἅπαντες ἂν ἀληθῆ με λέγειν ὁμολογήσειαν.

§ 27. Οὐ δύναμαι δὲ κατιδεῖν, ἀλλ' ἀπορῶ ποίοις λόγοις μετὰ ταῦτα χρησάμενος, ὀρθῶς ἂν εἴην βεβουλευμένος. Αἰσχύνομαι [μὲν] γὰρ,[2] εἰ, τοσαῦτα περὶ τῆς Ἀγαμέμνονος ἀρετῆς προειρηκὼς, μηδενὸς μνησθήσομαι τῶν ὑπ' ἐκείνου πεπραγμένων, ἀλλὰ δόξω τοῖς ἀκούουσιν ὅμοιος εἶναι τοῖς ἀλαζονευομένοις καὶ λέγουσιν ὅ,τι ἂν τύχωσιν· ὁρῶ δὲ τὰς πράξεις τὰς ἔξω λεγομένας τῶν ὑποθέσεων, οὐκ ἐπαινουμένας, ἀλλὰ ταραχώδεις εἶναι δοκούσας, καὶ πολλοὺς μὲν ὄντας τοὺς κακῶς χρωμένους αὐταῖς, πολὺ δὲ πλείους τοὺς ἐπιτιμῶντας. Διὸ δέδοικα μὴ καὶ περὶ ἐμὲ συμβῇ τι τοιοῦτο. Οὐ μὴν ἀλλ' αἱροῦμαι βοηθῆσαι τῷ ταὐτὸν ἐμοί τε καὶ πολλοῖς ἄλλοις πεπονθότι, καὶ διημαρτηκότι τῆς δόξης, ἧς προσῆκε τυχεῖν αὐτὸν, καὶ μεγίστων ἀγαθῶν αἰτίῳ γεγενημένῳ περὶ ἐκεῖνον τὸν χρόνον, ἧττον δὲ ἐπαινουμένῳ τῶν οὐδὲν ἄξιον λόγου διαπεπραγμένων.

§ 28. Τί γὰρ ἐκεῖνος ἐνέλιπεν; ὃς τηλικαύτην μὲν ἔσχε τιμὴν, ἧς εἰ πάντες συνελθόντες μείζω ζητοῖεν, οὐδέποτ' ἂν εὑρεῖν δυνηθεῖεν· μόνος γὰρ ἁπάσης τῆς Ἑλλάδος ἠξιώθη γενέσθαι στρατηγός. Ὁπότερον δὲ, εἴθ' ὑπὸ πάντων αἱρεθεὶς, εἴτ' αὐτὸς κτησάμενος, οὐκ ἔχω λέγειν· ὁποτέρως δ' οὖν[2] συμβέβηκεν, οὐδεμίαν ὑπερβολὴν λέλοιπε τῆς περὶ αὐτὸν δόξης τοῖς ἄλλως πως τιμηθεῖσι. Ταύτην δὲ[3] λαβὼν τὴν δύναμιν, οὐκ ἔστιν ἥντινα τῶν Ἑλληνίδων πόλεων ἐλύπησεν· ἀλλ' οὕτως ἦν πόῤῥω τούτου, ὡς καί τινας, ἐν πολέμῳ καὶ ταραχαῖς καὶ πολλοῖς ἄλλοις κακοῖς ὄντας, τούτων

ἐν τοῖς ἑξῆς γὰρ (§ 29.) Μενέλεω, λέγει, καὶ οὐ, Μενελάου. — 5. Κηδεστήν.) Τὸν ἐν τῇ συνηθείᾳ Γαμβρόν. Διὸς γὰρ ἦν ἡ Ἑλένη θυγάτηρ. — 6. Ἰδιωτέρας.) Οἰκειοτέρας· τοῦτο δὲ, ἐπὶ τοῦ, Μᾶλλον προσηκούσας, πρεπωδεστέρας. — 7. Περὶ ἑκάστου.) Ἐν δυσὶ τοῖς πρὸ ἐμοῦ ἀντιγράφοις φέρεται, Περὶ ἑκατέρου· ἐν δὲ τῷ ἐμῷ, Περὶ ἑκατέρους.

§ 27. 2. Αἰσχύνομαι μὲν γάρ.) Προσέθηκα τὸν, Μὲν, ὃς ἐξεῤῥύη διὰ τὴν πρὸς τὴν τελευταίαν τῆς προηγησαμένης λέξεως ὁμοιότητα.

§ 28. 2. Ὁποτέρως δ' οὖν.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ἣν γραφὴν παρείληφε καὶ Λάγγιος ἐξ ἑτέρου ἀντιγράφου ἀντὶ τοῦ, Ὁποτέρως δέ. — 3. Ταύτην δέ.) Γραπτέον ἴσως Ταύτην γάρ. Ἔν τινι δὲ τῶν πρὸ ἐμοῦ ἀντι-

μὲν αὐτοὺς ἀπήλλαξεν, εἰς ὁμόνοιαν δὲ καταστήσας, τὰ μὲν περιττὰ τῶν ἔργων καὶ τερατώδη, καὶ μηδὲν ὠφελοῦντα τοὺς ἄλλους, ὑπερεῖδε, στρατόπεδον δὲ συστήσας ἐπὶ τοὺς βαρβάρους ἤγαγε. Τούτου δὲ κάλλιον στρατήγημα, καὶ τοῖς Ἕλλησιν ὠφελιμώτερον, οὐδεὶς φανήσεται πράξας, οὔτε τῶν κατ' ἐκεῖνον τὸν χρόνον εὐδοκιμησάντων, οὔτε τῶν ὕστερον[4] ἐπιγενομένων. Ἃ ἐκεῖνος[5] πράξας, καὶ τοῖς ἄλλοις ὑποδείξας, οὐχ οὕτως εὐδοκίμησεν, ὡς προσῆκεν αὐτὸν, διὰ τοὺς μᾶλλον ἀγαπῶντας τὰς θαυματοποιΐας τῶν εὐεργεσιῶν, καὶ τὰς ψευδολογίας τῆς ἀληθείας· ἀλλὰ τοιοῦτος γενόμενος, ἐλάττω δόξαν ἔχει τῶν οὐδὲ μιμήσασθαι τολμησάντων αὐτόν.

§ 29. Οὐ μόνον δ' ἐπὶ τούτοις ἄν τις αὐτὸν ἐπενέσειεν, ἀλλὰ καὶ ἐφ' οἷς περὶ τὸν αὐτὸν χρόνον ἔπραξεν. Εἰς τοῦτο γὰρ μεγαλοφροσύνης ἦλθεν, ὥστ' οὐκ ἀπέχρησεν αὐτῷ λαβεῖν στρατιώτας τῶν ἰδιωτῶν, ὁπόσους ἐξ ἑκάστης ἠβουλήθη τῶν πόλεων· ἀλλὰ τοὺς βασιλέας, τοὺς ποιοῦντας ἐν ταῖς αὑτῶν ἃ βούλονται,[2] καὶ τοῖς ἄλλοις προστάττοντας, τούτους ἔπεισεν ὑφ' αὑτῷ γενέσθαι, καὶ συνακολουθεῖν, ἐφ' οὓς ἂν ἡγῆται, καὶ ποιεῖν τὸ προσταττόμενον,[3] καὶ βασιλικὸν βίον στρατιωτικῶς ζῆν, ἔτι δὲ κινδυνεύειν καὶ πολεμεῖν, οὐχ ὑπὲρ τῆς σφετέρας αὐτῶν πατρίδος καὶ βασιλείας, ἀλλὰ λόγῳ μὲν ὑπὲρ Ἑλένης τῆς Μενέλεω γυναικὸς, ἔργῳ δ' ὑπὲρ τοῦ μὴ τὴν Ἑλλάδα πάσχειν ὑπὸ τῶν βαρβάρων, μήτε τοιαῦτα, μήθ' οἷα πρότερον αὐτῇ συνέπεσε περὶ τὴν Πέλοπος μὲν ἁπάσης Πελοποννήσου κατάληψιν,[4] Δαναοῦ δὲ, τῆς πόλεως τῆς Ἀργείων, Κάδμου δὲ, Θηβῶν. Ὧν τίς ἄλλος φανήσεται προνοηθεὶς, ἢ τίς ἐμποδὼν καταστὰς τοῦ μηδὲν ἔτι γενέσθαι τοιοῦτο, πλὴν τῆς ἐκείνου φύσεως, καὶ δυνάμεως;

§ 30. Τὸ τοίνυν ἐχόμενον, ὃ τῶν μὲν προειρημένων ἔλαττόν ἐστι, τῶν δὲ πολλάκις ἐγκεκωμιασμένων μεῖζον, καὶ λόγου μᾶλλον ἄξιον· στρατόπεδον γὰρ συνεληλυθὸς ἐξ ἁπασῶν τῶν πόλεων,

---

γράφων λείπει ὅλως ὁ σύνδεσμος. — 4. Οὔτε τῶν ὕστερον) Ἔτρεψα τὸ, Οὐδὲ, εἰς τὸ Οὔτε. — 5. Ἃ ἐκεῖνος.) Τινὰ τῶν ἀντιγράφων, ἐν οἷς καὶ τοὐμὸν, Ἀ' κεῖνος.

§ 29. 2. Βούλονται.) Οὕτως ὁ Οὐφοιλὸς, ὁ Ἄγγλος ἐκδότης, καί τινα τῶν ἀντιγράφων, ἐν οἷς καὶ τὸ ἐμὸν, ἀντὶ τοῦ παρὰ τοῖς λοιποῖς, Βούλωνται. — 3. Προσταττόμενον.) Μετὰ τὴν λέξιν ταύτην γεγράφαται ἐν ἑνὶ μὲν τῶν Αὐγήρου ἀντιγράφων ἀμέσως αἱ τέσσαρες αὗται, «Διότι (ἄλλ. Ὅτι) ὑπετάσσοντο τῷ Ἀγαμέμνονι», ἐν ἑτέρῳ δὲ, καθὰ καὶ ἐν τῷ ἐμῷ, φέρονται προσγενόμεναι ἔξωθεν, ὡς ἐξήγησις τοῦ χωρίου· ἐξ ἐκείνων δηλονότι τῶν ἐξηγήσεων, αἷς πλεονάζουσιν οἱ γραμματικοὶ, ὅταν ἀπορῶσιν ἀμεινόνων. — 4. Πέλοπος . . . Πελοποννήσου κατάληψιν κ τ. λ.) Σημείωσαι τὴν καινὴν σύνταξιν τῶν γενικῶν. Ὁ νοῦς, Τὴν κατάληψιν Πελοποννήσου ὑπὸ Πέλοπος, τῆς πόλεως τῶν Ἀργείων ὑπὸ Δαναοῦ, καὶ τῶν Θηβῶν ὑπὸ Κάδμου.

τοσοῦτο [τὸ] πλῆθος,[2] ὅσον εἰκὸς πολλοὺς ἔχειν, τοὺς μὲν ἀπὸ θεῶν, τοὺς δὲ ἐξ αὐτῶν τῶν θεῶν[3] γεγονότας, οὐχ ὁμοίως διακειμένους τοῖς πολλοῖς, οὐδ' ἴσον φρονοῦντας τοῖς ἄλλοις, ἀλλ' ὀργῆς καὶ θυμοῦ καὶ φθόνου καὶ φιλοτιμίας μεστούς, ἀλλ' ὅμως τοὺς τοιούτους ἔτη δέκα κατέσχεν, οὐ μισθοφοραῖς μεγάλαις, οὐδὲ χρημάτων δαπάναις, αἷς νῦν πάντες δυναστεύουσιν, ἀλλὰ τῷ, πολλῷ καὶ τῇ φρονήσει διαφέρειν,[4] καὶ δύνασθαι τροφὴν ἐκ τῶν πολεμίων τοῖς στρατιώταις πορίζειν, καὶ μάλιστα τῷ δοκεῖν ἐκεῖνον ἄμμεινον ὑπὲρ τῆς τῶν ἄλλων βουλεύεσθαι σωτηρίας, ἢ τοὺς ἄλλους περὶ σφῶν αὐτῶν. Τὸ τοίνυν τέλος, ὃ πᾶσι τούτοις προσέθηκεν, οὐδενὸς ἧττον προσήκει θαυμάζειν· οὐ γὰρ ἀπρεπές, οὐδ' ἀνάξιον τῶν προειρημένων φανήσεται ποιησάμενος, ἀλλά, λόγῳ μὲν πρὸς μίαν πόλιν πολεμήσας, ἔργῳ δ' οὐ μόνον πρὸς ἅπαντας τοὺς τὴν Ἀσίαν κατοικοῦντας, ἀλλὰ καὶ πρὸς ἄλλα γένη πολλὰ τῶν βαρβάρων κινδυνεύων, οὐκ ἀπεῖπεν, οὐδ' ἀπῆλθε,[5] πρὶν τήν τε πόλιν τοῦ τολμήσαντος ἐξαμαρτεῖν ἐξηνδραποδίσατο, καὶ τοὺς βαρβάρους ἔπαυσεν ὑβρίζοντας.

§ 31. Οὐκ ἀγνοῶ δὲ τὸ πλῆθος τῶν εἰρημένων περὶ τῆς Ἀγαμέμνονος ἀρετῆς, οὐδ' ὅτι, τούτων τοσούτων ὄντων, καθ' ἓν μὲν ἕκαστον, εἴ τινες σκοποῖντο, τί ἂν ἀποδοκιμάσειεν, οὐδεὶς ἂν οὐδὲν ἀφελεῖν αὐτῶν τολμήσειεν· ἐφεξῆς δὲ ἀναγιγνωσκομένων, ἅπαντες ἂν ἐπιτιμήσειαν, ὡς πολὺ πλείοσιν εἰρημένοις τοῦ δέοντος.

§ 32. Ἐγὼ δ', εἰ μὲν ἔλαθον ἐμαυτὸν πλεονάζων,[2] ᾐσχυνόμην ἄν, εἰ γράφειν ἐπιχειρῶν, περὶ ὧν μηδεὶς ἂν ἄλλος ἐτόλμησεν, οὕτως ἀναισθήτως διεκείμην. Νῦν δ' ἀκριβέστερον ᾔδειν τῶν ἐ-

---

§ 30. 2 Τοσοῦτο τὸ πλῆθος) Προσέθηκα τὸ ἄρθρον, ἵνα τὸ μὲν Τοσοῦτον, ἀναφέρηται εἰς τὸ στρατόπεδον, τὸ δὲ, Τὸ πλῆθος, νοῆται, Κατὰ τὸ πλῆθος, ἐλλειπτικῶς τῆς προθέσεως. Ἐρεῖ δὲ καὶ κατωτέρω (§ 100.), Τοσούτων γὰρ τὸ πλῆθος πόλεων. — 3. Τοὺς μὲν ἀπὸ θεῶν, τοὺς δὲ ἐξ αὐτῶν τῶν θεῶν) Τοὺς μὲν εἰς θεοὺς ἀναφέροντας τὴν τοῦ γένους καταβολήν, οἷος ἦν Αἴας, υἱωνὸς Αἰακοῦ, τοῦ Διός, τοὺς δὲ καὶ ἀμέσως ἐκ θεῶν γεννηθέντας, οἷος ἦν Ἀχιλεύς, ὁ ἐκ Θέτιδος, μιᾶς τῶν Νηρηΐδων. — 4. Ἀλλὰ τῷ, πολλῷ καὶ τῇ φρονήσει διαφέρειν κ. τ. λ.) Οὕτως ἅπαντες οἱ πρὸ ἐμοῦ· δυοῖν δὲ τῶν παρ' ἐκείνοις ἀντιγράφων, τὸ μὲν φέρει, Ἀλλὰ τῷ ἐλάττω κ. τ. λ. θάτερον δὲ, Ἀλλὰ τῷ ἐλάττω κ. τ. λ. μετὰ προτγεγραμμένης ἔξωθεν ἀδιανοήτου ἐξηγήσεως, «Σοφῷ φαρμάκῳ τῇ ταπεινώσει». Ἐν δὲ τῷ ἐμῷ ἀντιγράφῳ ἐγέγραπτο πρότερον, Ἀλλὰ τῷ πολλῷ, εἶτα ξέσας τις ἔγραψε, ἀλλὰ τῷ ἐλάττω, ἐπιγράψας ἄνωθεν ἐξήγησιν, «Ἤγουν Τῇ ταπεινώσει». Ὅτι δὲ ταῦτα ἀπροσδιόριστά ἐστι ὅλως, καὶ τυφλῷ δῆλον· τὸ γὰρ χωρίον οὔτ' ἐξηγήσεως χρῄζει, οὔτε διορθώσεως, πλὴν ἴσως γε ταύτης, Ἀλλὰ τῷ τε πολλῷ τῇ φρονήσει διαφέρειν, καὶ τῷ δύνασθαι, κ. τ. λ. — 5. Οὐκ ἀπεῖπεν, οὐδ' ἀπῆλθε.) Παρ' ἅπασι γράφεται ἀσυνδέτως, Οὐκ ἀπεῖπεν, οὐκ ἀπῆλθεν. Ἔδοξεν ὅμως μοι μεταρρυθμίσαι τὴν δευτέραν ἄρνησιν εἰς τὸ, Οὐδ', κατὰ τὰ ἀλλαχοῦ (Αἰγινητικ. ιγ΄) ῥηθέντα τῷ Ῥήτορι, «οὐκ ἀπέστην, «οὐδ' ἀπεῖπον, ἀλλ' ἐνοσήλευον αὐτόν», οὐχ ὡς οὐκ ἐξὸν καὶ τῷ ἀσυνδέτῳ χρῆσθαι, ἀλλ' ὡς οὐκ ἐνταῦθα γε.

§ 32. 2. Πλεονάζων.) Πλείονας τοῦ δέοντος τοὺς λόγους ποιούμενος, μα-

πιπλήττειν μοι τολμησάντων, ὅτι πολλοὶ τούτοις ἐπιτιμήσουσιν· ἀλλὰ γὰρ ἡγησάμην, οὐχ οὕτως ἔσεσθαι δεινὸν, ἣν ἐπὶ τοῦ μέρους τούτου δόξω τισὶ τῶν καιρῶν[3] ἀμελεῖν, ὡς ἐὰν, περὶ ἀνδρὸς τοιούτου διαλεγόμενος, παραλείπω τι τῶν ἐκείνῳ τε προσόντων ἀγαθῶν, κἀμοὶ προσηκόντων εἰπεῖν. Ὠόμην δὲ καὶ παρὰ τοῖς χαριεστάτοις[4] τῶν ἀκροατῶν εὐδοκιμήσειν, ἐὰν φαίνωμαι περὶ ἀρετῆς μὲν τοὺς λόγους ποιούμενος, ὅπως δὲ ταύτης ἀξίως ἐρῶ μᾶλλον σπουδάζων, ἢ περὶ τὴν τοῦ λόγου συμμετρίαν· καὶ ταῦτα σαφῶς εἰδὼς τὴν μὲν περὶ τὸν λόγον ἀκαιρίαν,[5] ἀδοξότερον ἐμὲ ποιήσουσαν, τὴν δὲ περὶ τὰς πράξεις εὐβουλίαν,[6] αὐτοὺς τοὺς ἐπαινουμένους ὠφελήσουσαν· ἀλλ᾽ ὅμως ἐγὼ τὸ λυσιτελὲς ἐάσας, τὸ δίκαιον προειλόμην. Οὐ μόνον δ᾽ ἂν εὑρεθείην ἐπὶ τοῖς νῦν λεγομένοις ταύτην ἔχων τὴν διάνοιαν, ἀλλ᾽ ὅλως ἐπὶ πάντων. Ἐπεὶ καὶ τῶν πεπλησιακότων μοι φανείην ἂν μᾶλλον χαίρων τοῖς ἐπὶ τῷ βίῳ καὶ ταῖς πράξεσιν εὐδοκιμοῦσιν, ἢ τοῖς περὶ τοὺς λόγους δεινοῖς εἶναι δοκοῦσι· καίτοι τῶν μὲν εὖ ῥηθέντων,[7] εἰ καὶ μηδὲν μέρος[8] συμβαλοίμην, ἅπαντες ἂν ἐμοὶ τὴν αἰτίαν ἐπιθεῖεν, τῶν δ᾽ ὀρθῶς πραττομένων, εἰ καὶ πάντες εἰδεῖεν ἐμὲ σύμβουλον γεγενημένον,[9] οὐδεὶς ὅστις οὐκ ἂν αὐτὸν τὸν μεταχειριζόμενον τὰς πράξεις ἐπαινέσειεν.

---

κρολογῶν. — 3. Τῶν καιρῶν.) Τοῦ μέτρου. — 4. Τοῖς χαριεστάτοις.) Τοῖς μάλιστα πεπαιδευμένοις. — 5. Ἀκαιρίαν.) Ἀμετρίαν. — 6. Τὴν δὲ περὶ τὰς πράξεις εὐβουλίαν.) Οὐκ ἔῤῥωται τὸ χωρίον· καὶ ἴσως ἀντὶ τοῦ Εὐβουλίαν, ἐγέγραπτο, Εὐπορίαν, ἵν᾽ ᾖ ὁ νοῦς, Τὸ δὲ πολλὰς πράξεις τῶν ἐπαινουμένων ἔχειν ἐγκωμιάσαι, αὐτοὺς τοὺς ἐπαινουμένους ὠφελήσειν. Οὕτω γὰρ καὶ ἀνωτέρω (§ 12.) εἴρηκεν, «Ἔστι »δ᾽ ἀνδρὸς νοῦν ἔχοντος μὴ τὴν εὐπο»ρίαν ἀγαπᾷν, ἣν ἔχῃ τις περὶ τῶν »αὐτῶν πλείω τῶν ἄλλων εἰπεῖν, ἀλλὰ »τὴν εὐκαιρίαν διαφυλάττειν περὶ ὧν ἂν »ἀεὶ τυγχάνῃ διαλεγόμενος.» — 7. Τῶν μὲν εὖ ῥηθέντων.) Παρ᾽ ἅπασι γράφεται, Τῶν μὲν ῥηθέντων, δίχα τοῦ ἐπιῤῥήματος· τοῦτο δὲ πάλαι προστεθηκότες ἡμεῖς, εὕρομεν ἐν τῷ ἡμετέρῳ ἀντιγράφῳ τὴν ἡμαρτημένην ταύτην γραφὴν, Τῶν μὲν εὑρεθέντων, ἣν τις κριτικὸς οὐ κριτικῶς ξέσας, ἔγραψε, καθὰ παρ᾽ ἅπασι φέρεται, Τῶν μὲν ῥηθέντων. — 8. Εἰ καὶ μηδὲν μέρος.) Γράφεται παρ᾽ ἅπασι, Εἰ καὶ μηδὲν ἕτερον, οὐκ ὀρθῶς· δῆλον δ᾽ ἐκ τῆς Οὐολφιανῆς ἐξηγήσεως τοῦ χωρίου, «Εἰ »καὶ ἔξω τοῦ διδάσκαλον αὐτῶν γενέσθαι »μηδὲν ἕτερον συμβαλοίμην εἰς τὰ ἐκ»λεγόμενα ὑπ᾽ αὐτῶν,« ἣν ἀπεδέξαντ. ὅ,τε Αὐγῆρος καὶ ὁ Λάγγιος. Ἀλλὰ, καὶ τὴν γραφὴν, καὶ τὴν ἐξήγησιν ἀποδοκιμάζων, οὐκ ἂν ὀκνήσαιμι φάναι γεγραφέναι τὸν Ἰσοκράτην, Εἰ καὶ μηδὲν μέρος συμβαλοίμην κ. τ. λ. Καὶ ἔστι πιστώσασθαι τὴν διόρθωσιν, τοῦτο μὲν ἐξ ὧν ἀρχόμενος τοῦ παρόντος λόγου (σελ. 235), εἴρηκε περὶ τῶν φθονούντων αὐτῷ σοφιστῶν, »Οἵτινες οὔτε φράζειν ΟΥΔΕΝ ΜΕΡΟΣ ἔχοντες τοῖς μαθηταῖς τῶν εἰρημένων ὑπ᾽ ἐμοῦ κ τ λ.» τοῦτο δὲ ἐκ τοῦ τέλους τοῦ Ἀρειοπαγιτικοῦ (σελ. 154), ὅπου φησὶν, «Οὐ γὰρ ΕΛΑΧΙΣΤΟΝ ΜΕΡΟΣ τὰ γένη ταῦτα ΣΥΜΒΑΛΛΕΤΑΙ πρὸς εὐδαιμονίαν, ὅταν κ τ λ. — 9. Ἐμὲ σύμβουλον γεγενημένον.) Οὕτως ὀρθῶς ἔγραψεν ὁ Λάγγιος ἔκ τινος τῶν παρὰ τῷ Αὐγήρῳ ἀντιγράφων· οἱ λοιποὶ, Ἐμὲ σύμβουλόν τε γεγενημένον (καθὰ φέρεται καὶ ἐν τῷ ἐμῷ ἀντιγράφῳ). πλὴν τοῦ Αὐγήρου, ὃς παρείληφεν, οὐδὲν δέον, τὴν διόρθωσιν τοῦ Οὐολφίου, Ἐμὲ αἴτιον σύμβουλόν τε γεγενημένον.

§ 33. Ἀλλὰ γὰρ οὐκ οἶδ' ὅπη τυγχάνω φερόμενος, δέον προστιθέναι τὸ τῶν προειρημένων ἐχόμενον, παντάπασι πόῤῥω γεγονὼς τῆς ὑποθέσεως.[2] Λοιπὸν οὖν ἐστιν οὐδὲν ἄλλο, πλὴν αἰτησάμενον τῷ γήρᾳ συγγνώμην ὑπὲρ τῆς λήθης καὶ τῆς μακρολογίας, τῶν εἰθισμένων παραγίγνεσθαι τοῖς τηλικούτοις,[3] ἐπανελθεῖν εἰς τὸν τόπον ἐκεῖνον, ἐξ οὗπερ ἐξέπεσον εἰς τὴν περιττολογίαν ταύτην. Οἶμαι δὴ δεῖν καθορᾷν, ὅθεν ἐπλανήθην.

§ 34. Τοῖς γὰρ ὀνειδίζουσιν ἡμῶν τῇ πόλει τὰς[2] Μηλίων καὶ τὰς τῶν τοιούτων πολιχνίων συμφορὰς ἀντέλεγον, οὐχ ὡς οὐχ ἡμαρτημένων[3] τούτων, ἀλλ' ἐπιδεικνύων τοὺς ἀγαπωμένους ὑπ' αὐτῶν, πολὺ μείζους καὶ πλείους πόλεις ἡμῶν ἀναστάτους πεποιηκότας, ἐν οἷς καὶ περὶ τῆς ἀρχῆς τῆς Ἀγαμέμνονος καὶ Μενελάου[4] καὶ Νέστορος διελέχθην, ψεῦδος μὲν οὐδὲν λέγων, πλείω δ' ἴσως τῶν μετρίων. Τοῦτο δ' ἐποίουν, ὑπολαβὼν οὐδενὸς ἔλαττον ἁμάρτημα τοῦτο δεῖξειν εἶναι τῶν τολμησάντων ἀναστάτους ποιῆσαι τὰς πόλεις, τὰς γεννησάσας καὶ θρεψάσας τοιούτους ἄνδρας, περὶ ὧν καὶ νῦν ἔχοι τις ἂν πολλοῖς καὶ καλοῖς χρήσασθαι λόγοις. Ἀλλὰ γὰρ ἴσως ἀνόητόν ἐστι περὶ μίαν πρᾶξιν

---

§ 33. 2. Ὅπη τυγχάνω φερόμενος, δέον προστιθέναι τὸ τῶν προειρημένων ἐχόμενον, παντάπασι πόῤῥω γεγονὼς τῆς ὑποθέσεως.) Ὅτι μὲν ἡμάρτηται ἡ παρ' ἅπασι φερομένη τοῦ χωρίου γραφὴ δῆλον· ἔχει γὰρ οὕτως, «Ὅπως »τυγχάνω φερόμενος, δεῖν προστιθέναι »τὸ τῶν προειρημένων ἐχόμενον, παν»τάπασι πόῤῥω γεγονότα τῆς ὑποθέσεως.» ὅπως δὲ χρὴ διορθοῦν αὐτὴν, τοῦτο ἐν τοῖς μάλιστα διαπεφώνηται. Ὁ μὲν γὰρ Ἄγγλος ἐκδότης καὶ ὁ Λάγγιος ἀντὶ τοῦ, Ὅπως, Οὐολφίῳ διορθώσαντι ἠκολουθηκότες, ἔγραψαν, Ὅπη, ὃ καὶ ἡμῖν καλῶς ἔχειν ἔδοξε· διόρθου δὲ ὁ αὐτὸς Οὐόλφιος καὶ τὸ, Δεῖν, τρέπων εἰς τὸ δέον, ὃ παρειλήφασιν ἅπαντες, πλὴν Λαγγίου. Ἀντὶ δὲ τοῦ οὐδετέρου ἄρθρου, Τὸ, ἐφέρετο ἐν τοῖς ἀντιγράφοις ὡς καὶ ἐν τῷ ἐμῷ, Τόν· περὶ οὗ Οὐόλφιος ἢ συνυπακουστέον φησὶ τὸ, Λόγον (ἵν' ᾖ, Τὸν ἐχόμενον τῶν προειρημένων λόγον), ἢ περιελόντας ὅλως τὸ ἄρθρον, ἀνοιστέον τὴν μετοχὴν, Ἐχόμενον, εἰς αὐτὸν τὸν Ἰσοκράτην, εἰς ὃν ἀναφέρεται καὶ ἡ, Γεγονότα. Ὁ δὲ Στέφανος, ἐν τῷ προοιμίῳ τῆς αὐτοῦ ἐκδόσεως, διχῶς διορθοῦν ἐπεβάλετο τὸ χωρίον, «Ὅπως τυγχάνω φερόμενος· δέον γὰρ (ἢ, Καὶ δέον) προστιθέναι τὸ τῶν προειρημένων ἐχόμενον, αἰσθάνομαί με παντάπασι πόῤῥω γεγονότα τῆς ὑποθέσεως.» ἢ, «Ὅπως τυγχάνω φερόμενος· αἰσθάνομαι γάρ με, δέον προστιθέναι τὸ τῶν προειρημένων ἐχόμενον, παντάπασι πόῤῥω γεγονότα τῆς ὑποθέσεως». Καὶ ταῦτα μὲν ὁ Στέφανος, τῇ μὲν διανοίᾳ ὀρθῶς, τῇ λέξει δὲ οὐχ Ἑλληνικῶς· ἔδει γὰρ, Αἰσθάνομαι ἐμαυτὸν . . . γεγονότα, ἢ, Αἰσθάνομαι . . . γεγονώς. Εἰς τοῦτο τοίνυν τὸ, Γεγονὼς, τρέψαντες καὶ ἡμεῖς τὸ, Γεγονότα, εὕρομεν καὶ Βουδαῖον (Ὑπομν. Ἑλλην. γλώσσ. σελ. 363), τὴν αὐτὴν τροπὴν πάλαι παραινέσαντα. — 3. Τοῖς τηλικούτοις.) Τοῖς, οἷος ἐγὼ, πρεσβυτέροις.

§ 34. 2. Τοῖς γὰρ ὀνειδίζουσιν ἡμῶν τῇ πόλει τὰς κ. τ. λ.) Τὸ, Ἡμῶν, διορθώσαντος Οὐολφίου, παρέλαβον ἅπαντες οἱ μετ' αὐτὸν, ἀντὶ τοῦ ἔν τε τῷ ἐμῷ καὶ τοῖς πρὸ τοῦ ἐμοῦ ἀντιγράφοις φερομένου, Ἡμῖν. Ἴσως ἦν τὸ πάλαι διπλῆ ἡ γραφὴ, Τοῖς γὰρ ὀνειδίζουσιν ἡμῖν τὰς, καὶ, Τοῖς γὰρ ὀνειδίζουσι τῇ πόλει τὰς — 3. Οὐχ ὡς οὐχ ἡμαρτημένων.) Καθάπερ ἐν τοῖς πρὸ τοῦ ἐμοῦ ἀντιγράφοις, παρελέλειπτο καὶ ἐν τῷ ἐμῷ ὑπὸ τοῦ πρώτου γράψαντος ἡ πρώτη τῶν ἀρνήσεων, προσετέθη δὲ ὑπ' ὀψιαιτέρας χειρός. — 4. Μενελάου.) Γράφε Μενέλεω, ὡς ἀνωτέρω (κθ', σελ. 248).

διατρίβειν, ὥσπερ ἀπορίας οὔσης, τί ἂν ἔχοι τις εἰπεῖν περὶ τῆς ὠμότητος καὶ χαλεπότητος τῆς Λακεδαιμονίων, ἀλλ' οὐ πολλῆς ἀφθονίας ὑπαρχούσης.

§ 35. Οἷς οὐκ ἐξήρκεσε περὶ τὰς πόλεις ταύτας καὶ τοὺς ἄνδρας τούτους[2] ἐξαμαρτάνειν, ἀλλὰ καὶ περὶ τοὺς ἐκ τῶν αὐτῶν[3] ὁρμηθέντας, καὶ κοινῶς τὴν στρατείαν ποιησαμένους, καὶ τῶν αὐτῶν κινδύνων μετασχόντας· λέγω δὲ περὶ Ἀργείων καὶ Μεσσηνίων, καὶ γὰρ τούτους ἐπεθύμησαν ταῖς αὐταῖς συμφοραῖς περιβαλεῖν, αἷσπερ ἐκείνους.[4] Καὶ Μεσσηνίους μὲν οὐ πρότερον ἐπαύσαντο,[5] πρὶν ἐξέβαλον ἐκ τῆς χώρας, Ἀργείοις δ' ὑπὲρ τῶν αὐτῶν τούτων ἔτι καὶ νῦν πολεμοῦσιν.[6] Ἃ τοίνυν περὶ Πλαταιέας ἔπραξαν, ἄτοπος ἂν εἴην, εἰ ταῦτ' εἰρηκὼς ἐκείνων μὴ μνησθείην, ὧν ἐν τῇ χώρᾳ στρατοπεδευσάμενοι μετ' αὐτῶν[7] καὶ τῶν ἄλλων συμμάχων, καὶ παραταξάμενοι τοῖς πολεμίοις, καὶ θυσάμενοι τοῖς θεοῖς τοῖς ὑπ' ἐκείνων ἱδρυμένοις, οὐ μόνον ἠλευθερώσαμεν τῶν Ἑλλήνων τοὺς μεθ' ἡμῶν ὄντας, ἀλλὰ καὶ τοὺς ἀναγκασθέντας γενέσθαι μετ' ἐκείνων.[8] Καὶ ταῦτα ἐπράξαμεν Πλαταιέας μόνους λαβόντες Βοιωτῶν συναγωνιστάς, οὓς οὐ πολὺν χρόνον διαλιπόντες Λακεδαιμόνιοι, χαριζόμενοι Θηβαίοις, ἐκπολιορκήσαντες ἅπαντας ἀπέκτειναν, πλὴν τῶν ἀποδρᾶναι δυνηθέντων· περὶ οὓς ἡ πόλις ἡμῶν οὐδὲν ὅμοια γέγονεν ἐκείνοις. Οἱ μὲν γὰρ περί τε τοὺς εὐεργέτας τῆς Ἑλλάδος, καὶ τοὺς συγγενεῖς τοὺς αὐτῶν,

---

§ 35. 2. Τοὺς ἄνδρας τούτους.) Ἐν τῷ ἐμῷ γράφεται, Τοὺς ἄνδρας τοιούτους· καὶ ἴσως ἦν ἡ γνησία γραφή, Τοὺς ἄνδρας τοὺς τοιούτους, ἢ, Τοὺς τοιούτους ἄνδρας. Λέγει δὲ, Ἀγαμέμνονα, Μενέλαον, καὶ Νέστορα· περὶ τούτους γὰρ ἐξημάρτανον, οἱ τὰς ἐνεγκαμένας αὐτοὺς πόλεις καὶ τοὺς ἀπογόνους αὐτῶν ἀναστάτους ποιοῦντες. — 3. Ἐκ τῶν αὐτῶν.) Ἐλλειπτικῶς τοῦ, Τόπων. — 4. Τούτους . . . αἷσπερ ἐκείνους.) Τοὺς Ἀργείους καὶ Μεσσηνίους, τοὺς μεθ' ἑαυτῶν στρατεύσαντας, ἐπεθύμησαν οἱ Λακεδαιμόνιοι ταῖς αὐταῖς περιβαλεῖν συμφοραῖς, αἷς περιέβαλον τοὺς προτέρους Ἄργους καὶ Μεσσήνης οἰκήτορας, ἀναστάτους αὐτοὺς ποιήσαντες. — 5. Οὐ πρότερον ἐπαύσαντο.) Προσυπακουστέον ἐκ τῶν ἀνωτέρω τὸ, Ἐπιθυμοῦντες συμφοραῖς περιβαλεῖν. — 6. Ἀργείοις δ' ὑπὲρ . . . πολεμοῦσιν.) Τὸ παρ' ἅπασιν, Ἀργεῖοι, ἔτρεψα θαῤῥούντως εἰς τὸ κατὰ δοτικὴν, Ἀργείοις, Οὕτω γὰρ εἶναι γραπτέον μαρτυρεῖ οὐ μόνον ἡ ἀπόδοσις πρὸς τὸ, Μεσσηνίους μὲν, ἀλλὰ καὶ τὰ πρόσθεν (§ 16.) εἰρημένα παραβαλλόμενα τοῖς ἐνθάδε. — 7. Μετ' αὐτῶν.) Ἔτρεψα τὸ, Μεθ' ἡμῶν, εἰς τὸ, Μετ' αὐτῶν, τουτέστι, Μετὰ τῶν Λακεδαιμονίων ἡμεῖς οἱ Ἀθηναῖοι στρατοπεδευσάμενοι ἐν τῇ χώρᾳ τῶν Πλαταιέων· διὰ τὸ ἐπαγόμενον πρωτοπροσώπως, Ἠλευθερώσαμεν. Ἔστι δὲ παράδειγμα τῆς συγχύσεως τοῦ, Ἡμῶν, μετὰ τοῦ, Αὐτῶν, καὶ παρὰ τῷ Λυσίᾳ (Δήμ. καταλύσ. ἀπολογ. σελ. 770, ἐκδ. Ῥεϊσκ.) Οἱ δὲ πρὸ ἡμῶν, Τὸ, Μεθ' ἡμῶν, εἰς τοὺς Ἀθηναίους ἀναφέροντες, καὶ τὸ, Στρατοπεδευσάμενοι, εἰς τοὺς Λακεδαιμονίους, τὸ, Ἠλευθερώσαμεν, εἰρῆσθαί φασιν ἀντὶ τοῦ Ἠλευθερώθησαν μεθ' ἡμῶν, πάνυ βεβιασμένως, ἐμοὶ δοκεῖν. Καὶ ταῦτα μὲν περὶ τῆς γραφῆς· περὶ δὲ τῆς Πλαταιέων συμμαχίας τε καὶ πίστεως ταύτης, ἔστιν ἀναγνῶναι καὶ τὰ τῷ Λυσίᾳ ἐν τῷ Ἐπιταφίῳ, καὶ τὰ τῷ Δημοσθένει ἐν τῷ κατὰ Νεαίρας εἰρημένα. — 8. Μετ' ἐκείνων.) Μετὰ τῶν

τὰ τοιαῦτα ἐξαμαρτάνειν ἐτόλμησαν· οἱ δ' ἡμέτεροι, Μεσσηνίων μὲν τοὺς διασωθέντας εἰς Ναύπακτον[9] κατῴκισαν, Πλαταιέων δὲ τοὺς περιγενομένους,[10] πολίτας ἐποιήσαντο, καὶ τῶν ὑπαρχόντων αὐτοῖς ἁπάντων μετέδοσαν, ὥστ', εἰ μηδὲν ἔχοιμεν ἄλλο περὶ ταῖν πολέοιν εἰπεῖν, ἐκ τούτων ῥᾴδιον εἶναι καταμαθεῖν τὸν τρόπον ἑκατέρας αὐτῶν, καὶ ποτέρα πλείους πόλεις καὶ μείζους ἀναστάτους πεποίηκεν.

§ 36. Αἰσθάνομαι δὲ πάθος μοι συμβαῖνον ἐναντίον τοῖς ὀλίγῳ πρότερον εἰρημένοις· τότε μὲν γὰρ εἰς ἄγνοιαν καὶ λήθην ἐνέπεσον· νῦν δ' οἶδα σαφῶς ἐμαυτὸν οὐκ ἐμμένοντα τῇ πρᾳότητι τῇ περὶ τὸν λόγον, ἣν εἶχον, ὅτ' ἠρχόμην γράφειν αὐτὸν, ἀλλὰ λέγειν ἐπιχειροῦντα ταῦτα, περὶ ὧν οὐκ ᾠόμην ἐρεῖν, θρασύτερόν τε διακείμενον ἢ κατ' ἐμαυτὸν, ἀκρατῆ τε γιγνόμενον ἐνίων· λέγω δὲ, διὰ τὸ πλῆθος τῶν εἰπεῖν ἐπιῤῥεόντων.[2] Ἐπειδήπερ οὖν ἐπελήλυθέ μοι τὸ παῤῥησιάσασθαι, καὶ λέλυκα τὸ στόμα, καὶ τοιαύτην τὴν ὑπόθεσιν ἐποιησάμην, ὥστε μήτε καλὸν εἶναι, μήτε δυνατὸν, παραλιπεῖν τὰς τοιαύτας πράξεις, ἐξ ὧν οἷόν τ' ἐστιν ἐπιδεικνύναι πλείονος ἀξίαν τὴν πόλιν γεγενημένην ἡμῶν περὶ τοὺς Ἕλληνας τῆς Λακεδαιμονίων, οὐ κατασιωπητέον οὐδὲ περὶ τῶν ἄλλων κακῶν τῶν οὔπω μὲν εἰρημένων, ἐν δὲ τοῖς Ἕλλησι γεγενημένων· ἀλλ' ἐπιδεικτέον τοὺς μὲν ἡμετέρους ὀψιμαθεῖς αὐτῶν γεγενημένους, Λακεδαιμονίους δὲ τὰ μὲν πρώτους, τὰ δὲ μόνους ἐξημαρτηκότας.

§ 37. Πλεῖστοι μὲν οὖν κατηγοροῦσιν ἀμφοῖν ταῖν πολέοιν,[2]

---

Περσῶν. — 9. Ναύπακτον.) Πόλις παραθαλασσία Λοκρῶν, τῶν ἐπικαλουμένων Ὀζολῶν, τανῦν Ἔπακτος ὀνομαζομένη. Καὶ σημείωσαι τὴν βάρβαρον τροπὴν τῆς διφθόγγου εἰς τὸ ε, καὶ τὴν ἔτι βαρβαρωτέραν ἀφαίρεσιν τοῦ ἀρχικοῦ στοιχείου, ἣν ἔπαθε καὶ τῆς Νάξου νήσου τοὔνομα, Ἀξίας ἐπὶ τοῦ παρόντος καλουμένης. — 10. Περιγενομένους.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, καθὰ καὶ Δάγγιος ἐξ ἑτέρου, ἀντὶ τοῦ, παραγενομένους. Συνῆκε δὲ καὶ ὁ Οὐόλφιος τὴν τῆς γραφῆς ἁμαρτίαν.

§ 36. 2. Ἀκρατῆ τε γιγνόμενον ἐνίων· λέγω δὲ, διὰ τὸ πλῆθος τῶν εἰπεῖν ἐπιῤῥεόντων.) Λείπουσιν αἱ δύο λέξεις, Λέγω δὲ, ἔν τινι τῶν ἀρχαίων ἀντιγράφων· ἐν τῷ ἐμῷ δὲ φέρεται, Λέγω, μόνον δίχα τοῦ συνδέσμου. Συνῆκε δὲ καὶ Οὐόλφιος εἰς οὐδὲν δέον ὧδε γεγράφθαι τὸ διασαφητικὸν τοῦτο, Λέγω δέ· οὐδεμίαν γὰρ τοιαύτην χρείαν πληροῖ, οἵαν τὸ ἀνωτέρω (§ 35.) εἰρημένον, »Λέγω δὲ περὶ Ἀργείων κ τ λ.« Ἴσως οὖν τρεπτέον εἰς τὸ, Λόγων, συνάπτοντας τοῖς προηγουμένοις, ἵν' ᾖ, »Ἀκρατῆ τε γιγνόμενον ἐνίων λόγων, »διὰ τὸ πλῆθος τῶν εἰπεῖν ἐπιῤῥεόντων«. Καὶ τὸ ἀπαρέμφατον δὲ, Εἰπεῖν, ὀβελιστέον ἔμοι γε δοκεῖ, τοῦτο μὲν, ὅτι ἔοικε γραφικῶς ἡμαρτῆσθαι διὰ τὴν πρὸς τὴν ἑπομένην πρόθεσιν ὁμοιότητα, τοῦτο δὲ, ὅτι οὐδὲ Ἑλληνικὸν ἴσως τὸ, Ἐπιῤῥεόντων εἰπεῖν· οὐδὲ γὰρ, Ἐπιῤῥέει εἰπεῖν, φαίη τις ἄν· ἢ γραπτέον, Τῶν εἰπεῖν ἔτι γ' ἐνόντων, ἢ (παραπλησίως τοῖς ἑξῆς σελ. 273.) Τῶν εἰπεῖν ἐπειγόντων.

§ 37. 2. Ἀμφοῖν τοῖν πολέοιν.) Τὸ ἐμὸν ἀντίγραφον, Ἀμφοῖν ταῖν πολέοιν, μετ' ἀρσενικοῦ ἄρθρου, καθὰ καὶ τῶν πρὸ ἐμοῦ ἕτερον ἕν· καὶ ἴσως τοιαύτην ἐχρῆν εἶναι τὴν γραφὴν, ἀκατάλληλον μὲν, Ἀττικωτέραν δέ· ἐπεὶ καὶ τὴν ὀνο-

ὅτι, προσποιούμεναι[3] κινδυνεῦσαι πρὸς τοὺς βαρβάρους ὑπὲρ τῶν Ἑλλήνων, οὐκ εἴασαν τὰς πόλεις αὐτονόμους εἶναι, καὶ διοικῆσαι τὰ σφέτερ᾽ αὐτῶν, ὅπως ἑκάστῃ συνέφερεν, ἀλλ᾽ ὥσπερ αἰχμαλώτους εἰληφυῖαι, διελόμεναι,[4] κατεδουλώσαντο πάσας αὐτάς, καὶ παραπλήσιον ἐποίησαν τοῖς παρὰ μὲν τῶν ἄλλων τοὺς οἰκέτας εἰς ἐλευθερίαν ἀφαιρουμένοις, σφίσι δ᾽ αὐτοῖς δουλεύειν ἀναγκάζουσι.

§ 38. Τοῦ δὲ λέγεσθαι ταῦτα, καὶ πολὺ πλείω, καὶ πικρότερα τούτων, οὐχ ἡμεῖς αἴτιοι γεγόναμεν, ἀλλ᾽ οἱ νῦν μὲν ἐν τοῖς λεγομένοις ἡμῖν ἀντιτεταγμένοι, τὸν δ᾽ ἄλλον χρόνον ἐν τοῖς πραττομένοις ἅπασι. Τοὺς μὲν γὰρ ἡμετέρους προγόνους οὐδεὶς ἂν ἐπιδείξειεν, ἐν τοῖς ἐπέκεινα χρόνοις τοῖς ἀναριθμήτοις, οὐδεμιᾶς πόλεως, οὔτε μείζονος, οὔτε ἐλάττονος ἄρχειν ἐπιχειρήσαντας. Λακεδαιμονίους δὲ πάντες ἴσασιν, ἀφ᾽ οὗπερ εἰς Πελοπόννησον εἰσῆλθον, οὐδὲν ἄλλο πράττοντας, οὐδὲ βουλευομένους, πλὴν ὅπως μάλιστα μὲν ἁπάντων ἄρξουσιν· εἰ δὲ μή, Πελοποννησίων. Ἀλλὰ μὴν καὶ τὰς στάσεις, καὶ τὰς σφαγάς, καὶ τὰς[2] τῶν πολιτειῶν μεταβολάς, ἐκεῖνοι μὲν ἂν φανεῖεν ἁπάσας τὰς πόλεις, πλὴν ὀλίγων, μεστὰς πεποιηκότες τῶν τοιούτων συμφορῶν, καὶ νοσημάτων· τὴν δ᾽ ἡμετέραν πόλιν, οὐδεὶς ἂν εἰπεῖν[3] τολμήσειε πρὸ τῆς ἀτυχίας τῆς ἐν Ἑλλησπόντῳ γενομένης, ὡς τοιοῦτον ἐν τοῖς συμμάχοις τι διαπεπραγμένη [ἦν].[4] Ἀλλ᾽, ἐπειδὴ Λακεδαιμόνιοι κύριοι καταστάντες τῶν Ἑλλήνων, πάλιν ἐξέπιπτον ἐκ τῶν πραγμάτων ἐν τούτοις τοῖς καιροῖς, στασιαζουσῶν τῶν ἄλλων πόλεων, δύο ἢ τρεῖς τῶν στρατηγῶν τῶν ἡμετέρων (οὐ γὰρ [ἂν] ἀποκρύψαιμι[5] τἀληθὲς) ἐξήμαρτον περί τινας αὐτῶν, ἐλπίζοντες,

---

μαστικὴν ἀρσενικῶς ἐκφέρουσιν οἱ Ἀττικοί, Τὼ πόλεε, λέγοντες. — 3. Προσποιούμεναι.) Οὕτως ὁ Λάγγιος ἐκ διορθώσεως Οὐολφίου, καὶ ἑνὸς τῶν ἀντιγράφων, ἀντὶ τοῦ, Προσποιούμενοι. — 4. Διελόμεναι.) Αἱ μὲν γὰρ ἦσαν ὑπὸ Λακεδαιμονίοις τῶν Ἑλληνίδων πόλεων, αἱ δὲ ὑπ᾽ Ἀθηναίοις, ὡς προελέχθη ἐν τῷ Πανηγυρικῷ. (§ 2.)

§ 38. 2. Καὶ τὰς στάσεις, καὶ τὰς σφαγὰς καὶ τὰς κ. τ. λ.) Εἰς ὑπονοουμένην ἔξωθεν φράσιν ἀναφέρονται αἱ αἰτιατικαὶ αὗται τήν, Ἵνα μνημονεύσω, ἤ τινα τοιαύτην ἑτέραν. — 3. Οὐδεὶς ἂν εἰπεῖν.) Ἐν τῷ ἐμῷ φέρεται κακῶς, Οὐδεὶς ἂν ἀντιπεῖν. Σημειούσθω δὲ τοῦτο διὰ τὰ ἐν τοῖς πρόσθεν (σελ. 186), εἰρημένα μοι· καὶ γὰρ οἱ ἀντιγραφεῖς, ὁτὲ μὲν παραλείπουσι τὸν δυνητικόν, πλανώμενοι ὑφ᾽ ἑπομένης προθέσεως τῆς Ἀνά, ἢ τῆς Ἀντί, ὁτὲ δὲ τούτων ἑκατέραν κακῶς προστιθέασι, διὰ προηγησάμενον δυνητικόν, ἢ κατάληξιν πληθυντικοῦ τρίτου προσώπου ῥήματος τῶν ἀορίστων, ἢ τῶν ἑνικῶν αἰτιατικῶν τῶν εἰς α, ἢ εἰς ας ὀνομάτων. — 4. Διαπεπραγμένη ἦν.) Ἀπεκατέστησα τὸ τῶν ἀρχαίων ἐκδόσεων Διαπεπραγμένη, ὅπερ Οὐόλφιος καὶ οἱ μετ᾽ αὐτόν, δυσὶν ἀντιγράφοις (οἷς συνᾴδει καὶ τὸ ἐμὸν) πεισθέντες, ἔτρεψαν εἰς τὸ Διαπεπραγμένην· προσέθηκα δὲ καὶ τὸ ὑπαρκτικὸν ῥῆμα. Εἰ δὲ προχειρῇ τὴν αἰτιατικήν, τηνικαῦτα διάγραφε τὸ ἀφηγηματικόν, Ὡς. Συνῆκε δὲ καὶ Οὐόλφιος τὸ ἀκατάλληλον τῆς συντάξεως, παραινῶν γράφειν, Ὡς εἴη τοιοῦτον ἐν τοῖς συμμάχοις τι διαπεπραγμένη. — 5. Οὐ γὰρ ἂν ἀποκρύψαιμι.) Προσέθηκα τὸν δυνητικόν, ἀπαιτούσης αὐτὸν πάντως τῆς τῶν δοκίμων χρήσεως· ἢ γὰρ οὕτω γραπτέον· ἢ κατὰ μέλλοντα ὁρι-

ἢν μιμήσωνται τὰς Σπαρτιατῶν πράξεις, μᾶλλον αὐτὰς δυνήσεσθαι κατασχεῖν. Ὥστε δικαίως ἐκείνοις μὲν ἅπαντες[6] ἐγκαλέσαιμεν, ὡς ἀρχηγοῖς γεγενημένοις, καὶ διδασκάλοις τῶν τοιούτων ἔργων, τοῖς δὲ ἡμετέροις,[7] ὥσπερ τῶν μαθητῶν τοῖς ὑπὸ τῶν ὑπισχνουμένων ἐξηπατημένοις, καὶ διημαρτηκόσι τῶν ἐλπίδων, εἰκότως ἂν συγγνώμην ἔχοιμεν.

§ 39. Τὸ τοίνυν τελευταῖον, ὃ μόνοι καθ' αὐτοὺς[2] ἔπραξαν, τίς οὐκ οἶδεν, ὅτι, κοινῆς ἡμῖν τῆς ἔχθρας ὑπαρχούσης τῆς πρὸς τοὺς βαρβάρους, καὶ τοὺς βασιλέας αὐτῶν, ἡμεῖς μὲν ἐν πολέμοις πολλοῖς γιγνόμενοι, καὶ μεγάλαις συμφοραῖς ἐνίοτε περιπίπτοντες, καὶ τῆς χώρας ἡμῖν θαμινὰ πορθουμένης, οὐδεπώποτε ἀπεβλέψαμεν πρὸς τὴν ἐκείνων φιλίαν καὶ συμμαχίαν, ἀλλ', ὑπὲρ ὧν τοῖς Ἕλλησιν ἐπεβούλευσαν, μισοῦντες αὐτοὺς διετελέσαμεν μᾶλλον, ἢ τοὺς ἐν τῷ παρόντι κακῶς ἡμᾶς ποιοῦντας; Λακεδαιμόνιοι δὲ, οὔτε πάσχοντες κακὸν οὐδὲν, οὔτε μέλλοντες, οὔτε δεδιότες, εἰς τοῦτο ἀπληστίας ἦλθον, ὥστ' οὐκ ἐξήρκεσεν αὐτοῖς ἔχειν τὴν κατὰ γῆν ἀρχὴν, ἀλλὰ καὶ τὴν κατὰ θάλατταν δύναμιν οὕτως ἐπεθύμησαν λαβεῖν, ὥστε κατὰ τοὺς αὐτοὺς χρόνους τοὺς τε συμμάχους τοὺς ἡμετέρους ἀφίστασαν, ἐλευθερώσειν αὐτοὺς ὑπισχνούμενοι, καὶ βασιλεῖ περὶ φιλίας διελέγοντο, καὶ συμμαχίας, παραδώσειν αὐτῷ φάσκοντες ἅπαντας τοὺς ἐπὶ τῆς Ἀσίας οἰκοῦντας. Πίστεις δὲ δόντες τούτων ἀμφοτέροις,[3] καὶ καταπολεμήσαντες ἡμᾶς, οὓς μὲν ἐλευθερώσειν ὡμολόγησαν, κατεδουλώσαντο μᾶλλον, ἢ τοὺς Εἵλωτας, βασιλεῖ δὲ τοιαύτην χάριν ἀπέδοσαν, ὥστ' ἔπεισαν τὸν ἀδελφὸν αὐτοῦ Κῦρον, ὄντα νεώτερον, ἀμφισβητεῖν τῆς βασιλείας, καὶ στρατόπεδον αὐτῷ συναγαγόντες, καὶ Κλέαρχον στρατηγὸν ἐπιστήσαντες, ἀνέπεμψαν ἐπ' ἐκεῖνον. Ἀτυχήσαντες δ' ἐν τούτοις, καὶ γνωσθέντες ὧν ἐπεθύμουν,[4] καὶ μισηθέντες ὑπὸ

στικὸν, Οὐ γὰρ ἀποκρύψομαι. — 6. Ἐκείνοις μὲν ἅπαντες κ. τ. λ.) Κἀνταῦθα ἔγραψ' ἂν μετὰ τοῦ δυνητικοῦ, Ἐκείνοις μὲν ἂν ἅπαντες, ἢ, Ἐκείνοις μὲν ἅπαντες ἂν, εἰ μὴ διὰ τὸν ἐπαγόμενον ἕτερον ἐν τῷ Εἰκότως ἂν συγγνώμην ἔχοιμεν· ὃν καὶ τῷ πρώτῳ μέρει τῆς περιόδου συνυπακούειν ἔξεστι. — 7. Τοῖς δὲ ἡμετέροις.) Παρ' ἅπασι φέρεται, Τοῖς μέντοι ἡμετέροις, πλὴν τοῦ ἐμοῦ ἀντιγράφου καὶ τοῦ παρὰ τῷ Λαγγίῳ, ἐν οἷς γράφεται, Τοῖς μὲν δὴ ἡμετέροις. Ἐκ ταύτης τῆς γραφῆς πιθανῶς εἴκασεν ὁ Λάγγιος γραπτέον εἶναι, Τοῖς δὲ ἡμετέροις.

§ 39. 2. Μόνοι καθ' αὑτούς.) Πλεονάζει τὸ, Μόνοι· καὶ ἔοικε προσγεγράφθαι ὑπό τινος ὡς ἐξήγησις τοῦ, Καθ' αὑτούς. — 3. Πίστεις δὲ δόντες τούτων ἀμφοτέροις κ. τ. λ.) Ἔτρεψα τὸ παρ' ἅπασιν ἀδιανοήτως γραφόμενον, Ἀμφότεροι, εἰς τὸ, Ἀμφοτέροις. Ὁ νοῦς, Πίστεις δόντες ἀμφοτέροις, ἤγουν τοῖς θ' ἡμετέροις συμμάχοις τοῦ ἐλευθερώσειν αὐτοὺς, καὶ τῷ Περσῶν βασιλεῖ τοῦ παραδώσειν αὐτῷ τοὺς ἐπὶ τῆς Ἀσίας οἰκοῦντας, ἀμφοτέρους ἐξηπάτησαν, τοὺς μὲν συμμάχους ἡμῶν, ἀντὶ τοῦ ἐλευθερῶσαι, καταδουλωσάμενοι, τὸν δὲ βασιλέα, ἀντὶ τοῦ παραδοῦναι τοὺς ἐπὶ τῆς Ἀσίας οἰκοῦντας αὐτῷ, τὴν βασιλείαν αὐτοῦ ἐπιχειρήσαντες ἀφελέσθαι. — 4. Γνωσθέντες ὧν ἐπεθύμουν.) Κατάδηλοι

πάντων, εἰς πόλεμον καὶ ταραχὰς τοσαύτας κατέστησαν, ὅσον εἰκὸς τοὺς περὶ τοὺς Ἕλληνας καὶ τοὺς βαρβάρους ἐξημαρτηκότας. Περὶ ὧν οὐκ οἶδ' ὅτι δεῖ πλείω λέγοντα διατρίβειν, πλὴν ὅτι καταναυμαχηθέντες ὑπό τε τῆς βασιλέως δυνάμεως, καὶ τῆς Κόνωνος στρατηγίας, τοιαύτην ἐποιήσαντο τὴν εἰρήνην, ἧς οὐδεὶς ἂν ἐπιδείξειεν, οὔτ' αἰσχίω ποτὲ γενομένην, οὔτ' ἐπονειδιστοτέραν, οὔτ' ὀλιγωροτέραν τῶν Ἑλλήνων, οὔτ' ἐναντιωτέραν τοῖς λεγομένοις ὑπό τινων περὶ τῆς ἀρετῆς τῆς Λακεδαιμονίων. Οἵτινες, ὅτε μὲν [αὐτοὺς] ὁ βασιλεὺς δεσπότας[5] τῶν Ἑλλήνων κατέστησεν, ἀφελέσθαι τὴν βασιλείαν αὐτοῦ, καὶ τὴν εὐδαιμονίαν ἅπασαν ἐπεχείρησαν· ἐπειδὴ δὲ[6] καταναυμαχήσας ταπεινοὺς ἐποίησεν, οὐ μικρὸν μέρος αὐτῷ παρέδωκαν, ἀλλὰ πάντας τοὺς τὴν Ἀσίαν οἰκοῦντας, διαῤῥήδην γράψαντες χρῆσθαι τοῦθ' ὅ,τι ἂν αὐτὸς βούληται. Καὶ οὐκ ᾐσχύνθησαν τοιαύτας ποιούμενοι τὰς ὁμολογίας περὶ ἀνδρῶν, οἷς χρώμενοι συμμάχοις ἡμῶν τε περιεγένοντο, καὶ τῶν Ἑλλήνων κύριοι κατέστησαν, καὶ τὴν Ἀσίαν ἅπασαν ἤλπισαν κατασχεῖν. Ἀλλὰ τὰς τοιαύτας συνθήκας αὐτοί τ' ἐν τοῖς ἱεροῖς τοῖς σφετέροις αὐτῶν ἀνέγραψαν, καὶ τοὺς συμμάχους ἠνάγκασαν.[7]

§ 40. Τοὺς μὲν οὖν ἄλλους, οὐκ οἶμαι πράξεων ἑτέρων ἐπιθυμήσειν ἀκούειν, ἀλλ' ἐκ τῶν προειρημένων ἱκανῶς μεμαθηκέναι νομίζω,[2] ὁποία τις ταῖν πολέοιν ἑκατέρα περὶ τοὺς Ἕλληνας γέγονεν. Ἐγὼ δὲ οὐχ οὕτω τυγχάνω διακείμενος, ἀλλ' ἡγοῦμαι τὴν ὑπόθεσιν, ἣν ἐποιησάμην, ἄλλων τε πολλῶν προσδεῖσθαι λόγων, καὶ μάλιστα τῶν ἐπιδειξόντων τὴν ἄνοιαν τῶν ἀντιλέγειν τοῖς εἰρημένοις ἐπιχειρησάντων, οὓς οἶμαι ῥᾳδίως εὑρήσειν.

§ 41. Τῶν γὰρ ἀποδεχομένων ἁπάσας τὰς Λακεδαιμονίων πράξεις, τοὺς μὲν βελτίστους αὐτῶν ἡγοῦμαι, καὶ πλεῖστον νοῦν ἔχοντας, τὴν μὲν Σπαρτιατῶν πολιτείαν ἐπαινέσεσθαι, καὶ τὴν αὐτὴν γνώμην ἕξειν περὶ αὐτῆς, ἥνπερ πρότερον, περὶ δὲ τῶν εἰς τοὺς Ἕλληνας πεπραγμένων, ὁμολογήσειν τοῖς ὑπ' ἐμοῦ λεγομένοις· τοὺς δὲ φαυλοτέρους οὐ μόνον τούτων ὄντας, ἀλλὰ καὶ τῶν πολλῶν, καὶ περὶ μὲν ἄλλου πράγματος οὐδενὸς ἂν οἵους τε γενομένους ἀνεκτῶς εἰπεῖν, περὶ δὲ Λακεδαιμονίων οὐ δυναμένους

---

γεγονότες τίνων πραγμάτων ἐπεθύμουν, ὡς ἐξηγήσατο ὁ Λάγγιος. Μήποτε δὲ ἐγέγραπτο, Γνωσθέντες ἐξ ὧν ἐπεθύμουν, τουτέστι, Κατάδηλοι γεγονότες, οἷοι ἦσαν ἐξ ἐκείνων, ὧν ἐπεθύμουν. — 5. Ὅτε μὲν αὐτοὺς ὁ βασιλεὺς δεσπότας. κ. τ. λ.) Προσέθηκα τὴν ἀντωνυμίαν ἐκ παραινέσεως Οὐολφίου· ἀναφέρεται δὲ εἰς τοὺς Λακεδαιμονίους. — 6. Ἐπειδὴ δέ.) Οὕτως ὁ Λάγγιος ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, ἐπεὶ δέ. — 7. Ἠνάγκασαν.) Ἀναγράψαι δηλονότι ἑκάστους ἐν τοῖς παρ' αὐτοῖς ἱεροῖς, ὥσπερ οἱ Λακεδαιμόνιοι ἀνέγραψαν ἐν τοῖς αὐτῶν.

§ 40. 2. Νομίζω.) Εἰς τοῦτο ἔτρεψα τὸ Νομίζειν.

σιωπᾶν, ἀλλὰ προσδοκῶντας, ἂν ὑπερβάλλοντας τοὺς ἐπαίνους περὶ ἐκείνων ποιῶνται, τὴν αὐτὴν λήψεσθαι δόξαν τοῖς ἀδροτέροις[2] αὐτῶν, καὶ πολὺ βελτίοσιν εἶναι δοκοῦσι, τοὺς δὲ τοιούτους,[3] ἐπειδὰν αἴσθωνται τοὺς τόπους ἅπαντας προκατειλημμένους, καὶ μηδὲ πρὸς ἓν ἀντειπεῖν ἔχωσι τῶν εἰρημένων, ἐπὶ τὸν λόγον οἶμαι τρέψεσθαι τὸν περὶ τῶν πολιτειῶν, καὶ παραθέντας τἀκεῖ[4] καθεστῶτα τοῖς ἐνθάδε, καὶ μάλιστα τὴν σωφροσύνην, καὶ τὴν πειθαρχίαν, πρὸς τὰς παρ' ἡμῖν ὀλιγωρίας, ἐκ τούτων ἐγκωμιάσειν τὴν Σπάρτην.

§ 42. Ἢν δὴ τοιοῦτο[2] ἐπιχειρῶσι ποιεῖν, προσήκει τοὺς εὖ φρονοῦντας ληρεῖν νομίζειν αὐτούς. Ἐγὼ γὰρ ὑπεθέμην οὐχ ὡς περὶ τῶν πολιτειῶν διαλεξόμενος, ἀλλ' ὡς ἐπιδείξων τὴν πόλιν ἡμῶν πολὺ πλείονος ἀξίαν, ἢ τὴν Λακεδαιμονίων, περὶ τοὺς Ἕλληνας γεγενημένην. Ἢν μὲν οὖν ἀναιρῶσί τι τούτων, ἢ πράξεις ἑτέρας κοινὰς λέγωσι, περὶ ἃς ἐκεῖνοι βελτίους ἡμῶν γεγόνασιν, εἰκότως ἂν ἐπαίνου τυγχάνοιεν. Ἢν δὲ λέγειν ἐπιχειρῶσι, περὶ ὧν ἐγὼ μηδεμίαν μνείαν ἐποιησάμην, δικαίως ἂν ἅπασιν ἀναισθήτως ἔχειν δοκοῖεν.

§ 43. Οὐ μὴν ἀλλ', ἐπειδήπερ αὐτοὺς οἴομαι[2] τὸν λόγον τὸν

---

§ 41. 2. Τοῖς ἀδροτέροις.) Τοῖς ἐπισημοτέροις τῶν ἐπαινούντων Λακεδαιμονίους· μετηνέχθη δὲ ἡ λέξις ἀπὸ τῶν ἀδρῶν σωμάτων, ὅ ἐστι τῶν μεγάλων, εὐτραφῶν, παχέων, ἢ ἰσχυρῶν· ὁ δὲ Ἐτυμολόγος (σελ. 18) ἐξηγεῖται τὸ, Ἀδρὸς, διὰ τοῦ ἐν τῇ συνηθείᾳ, Χονδρός. Παρ' ἡμῖν δὲ νῦν τὸ μὲν Ἀδρὸς οὐκέτι σώζεται· χρώμεθα δὲ τῷ συγγενεῖ καὶ συστοίχῳ αὐτοῦ, Ἀδρὺς, ἐπὶ τῆς σημασίας τοῦ Τραχύς· ἐπεὶ τοιαῦτα ὡς ἐπὶ τὸ πολὺ εἰσὶ τὰ μὴ λεπτὰ, ἀλλὰ παχέα ἢ χονδρά. Διὸ καὶ τὰ ἐρεικτὰ ὄσπρια, ἅπερ ἡ συνήθεια Χονδροκοπανισμένα, ἢ Χονδραλεσμένα, καλεῖ, οἱ ἐπὶ Εὐσταθίου (Ἰλιάδ. Ν, σελ. 941), Ἀδράλεστα ἔλεγον. Ὅτι δὲ καὶ τὸ, Ἀδρὺς, τῆς ἀρχαίας ἐστὶ φωνῆς, καθάπερ τὸ, Ἀδρὸς, ἢ μᾶλλον εἰπεῖν, ὅτι καὶ ἀναλογώτερον ὑπάρχει τοῦ Ἀδρὸς, ῥᾴδιον καταμαθεῖν ἐκ τοῦ παραγώγου ῥήματος, Ἀδρύνω, παραπλησίως σχηματισθέντος τοῖς, Βαρύνω, Παχύνω, Ταχύνω, κ. τ. λ. παρὰ τὸ Βαρὺς, Παχὺς, Ταχύς. Καὶ ταῦτα μὲν, ἕνεκα τοῦ δεῖξαι καὶ πάλιν, ὅσον ἔχει τὸ χρήσιμον ἡ καθωμιλημένη ἡμετέρα φωνὴ αὕτη εἰς τὴν μετὰ λογισμοῦ τῆς προγονικῆς γλώσσης ἔρευνάν τε καὶ μάθησιν· ἐπανίωμεν δὲ ἐπὶ τὸν Ἰσοκράτην. — 3. Τοὺς δὲ τοιούτους.) Ἔτρεψα τὸν, Δὴ, εἰς τὸν, Δὲ, καθὰ φέρεται παρὰ μόνῳ τῷ Οὐολφίῳ ἴσως μὲν τυπογράφων ἁμαρτία, ὡς ὑπέλαβεν ὁ Λάγγιος, ἴσως δὲ καὶ οὕτως εὑρόντι, ἢ καὶ προελομένῳ γράφειν. Ἔστι γὰρ ἐπανάληψις τοῦ ἀνωτέρω Δὲ (Τοὺς δὲ φαυλοτέρους), ἣν φιλεῖ ποιεῖν ὁ Ῥήτωρ ἐν ταῖς μακραῖς τῶν περιόδων, ὡς ἐσημειωσάμεθα ἀλλαχοῦ (σελ. 58) — 4. Τακεῖ.) Τὰ παρὰ τοῖς Λακεδαιμονίοις.

§ 42. 2. Τοιοῦτο.) Ἐγέγραπτο οἶμαι, τοῦτο, ἢ γοῦν, τοιοῦτόν τι.

§ 43. 2. Οἴομαι.) Μικρῷ πρόσθεν, Οἶμαι, δισυλλάβως, δὶς ἐν τῷ αὐτῷ κεφαλαίῳ. (§ 40.) ἐνταῦθα δὲ δὶς πάλιν τρισυλλάβως, Οἴομαι, ἐν τῷ αὐτῷ κεφαλαίῳ. Περὶ δὲ τῶν τοιούτων διαφόρων γραφῶν οὐ μόνον παρ' Ἰσοκράτει, ἀλλὰ παρ' ἅπασιν ὡς εἰπεῖν τοῖς σωζομένοις ἀρχαίοις Ῥήτορσι καὶ συγγραφεῦσιν, εἰ μὲν ἔροιο τοὺς Γραμματικοὺς, οὐκ ὀκνήσουσιν ἀποκρίνασθαι, ὥσπερ τῶν Θεῶν αὐτῶν ἀκηκοότες, ὅτι Τὸ μὲν Οἶμαι, ἐπὶ ὁμολογουμένου τίθεται· τὸ δὲ Οἴομαι, ἐπὶ ἀμφιβόλου (Θωμ. Μαγιστρ. σελ. 645). Ἕτεροι δὲ (Μοιρ. σελ. 284) τῷ Οἶμαι καὶ Οἴομαι ἀδιαφόρως χρῆσθαί φασι τοὺς Ἀττικοὺς, ἐφ' ὧν οἱ ἄλλοι Ἕλληνες χρῶνται τῷ Νομίζω.

περὶ τῶν πολιτειῶν εἰς τὸ μέσον ἐμβαλεῖν, οὐκ ὀκνήσω διαλεχθῆναι περὶ αὐτῶν· οἴομαι γὰρ ἐν αὐτοῖς τούτοις τὴν πόλιν ἡμῶν ἐπιδείξειν πλέον διενεγκοῦσαν, ἢ τοῖς ἤδη προειρημένοις.

§ 44. Καὶ μηδεὶς ὑπολάβῃ με ταῦτ᾽ εἰρηκέναι περὶ ταύτης, ἣν ἀναγκασθέντες μετελάβομεν, ἀλλὰ περὶ τῆς τῶν προγόνων, ἧς οὐ καταφρονήσαντες οἱ πατέρες ἡμῶν, ἐπὶ τὴν νῦν καθεστῶσαν ὥρμησαν, ἀλλὰ περὶ μὲν τὰς ἄλλας πράξεις, πολὺ σπουδαιοτέραν [ἐκείνην] προκρίναντες,[2] περὶ δὲ τὴν δύναμιν τὴν κατὰ θάλατταν, ταύτην[3] χρησιμωτέραν εἶναι νομίζοντες·[4] ἣν λαβόντες καὶ ἐπιμεληθέντες οἷοί τ᾽ ἐγένοντο καὶ τὰς ἐπιβουλὰς τὰς Σπαρτιατῶν ἀμύνασθαι, καὶ τὴν Πελοποννησίων ἁπάντων ῥώμην,[5] ὧν κατήπειγε τὴν πόλιν περὶ ἐκεῖνον τὸν χρόνον μάλιστα περιγενέσθαι[6] πολεμοῦσαν. Ὥστ᾽ οὐδεὶς ἂν δικαίως ἐπιτιμήσειε τοῖς ἑλομένοις αὐτήν· οὐ γὰρ διήμαρτον τῶν ἐλπίδων, οὐδ᾽ ἠγνόησαν οὐδὲν οὔτε[7] τῶν κακῶν, οὔτε τῶν ἀγαθῶν, τῶν προσόντων ἑκατέρᾳ τῶν δυνάμεων, ἀλλ᾽ ἀκριβῶς ᾔδεσαν τὴν μὲν κατὰ γῆν ἡγεμονίαν ἐπ᾽ εὐταξίας[8] καὶ σωφροσύνης καὶ πειθαρχίας,[9] καὶ τῶν ἄλλων τῶν τοιούτων μελετωμένην, τὴν δὲ κατὰ θάλατταν δύναμιν, οὐκ ἐκ τούτων αὐξανομένην,[10] ἀλλ᾽ ἐκ τῶν τεχνῶν τῶν περὶ τὰς ναῦς, καὶ τῶν ἐλαύνειν αὐτὰς δυναμένων, καὶ τῶν τὰ σφέτερα μὲν αὐτῶν ἀπολω-

---

§ 44. 2. Σπουδαιοτέραν ἐκείνην προκρίναντες.) Ἐξεῤῥύη τοῦ χωρίου ἡ ἀντωνυμία, ἐκείνην, ἣν προσθεῖναι δεῖν ἔγνωμεν, ἐκ διορθώσεως Αὐγήρου· προσῆκον γὰρ μᾶλλον τῇ Ἰσοκράτους σαφηνείᾳ ἐστὶ τὸ φάναι, Σπουδαιοτέραν ἐκείνην προκρίναντες, τουτέστι τὴν τῶν προγόνων πολιτείαν. — 3. Ταύτην.) Τὴν νῦν καθεστῶσαν πολιτείαν. Ἐκ διορθώσεως Οὐολφίου τὸ, ταύτην, ἣν ἀπεδέξαντο ὅ, τ᾽ Αὐγῆρος καὶ ὁ Λάγγιος, ἀντὶ τοῦ, Αὐτήν. — 4. Νομίζοντες.) Ἴσως, Νομίσαντες. — 5. Τὴν Πελοποννησίων ἁπάντων ῥώμην.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ᾧ συνᾴδουσι καὶ πολλὰ τῶν πρὸ ἐμοῦ, καὶ αἱ παλαιαὶ τῶν ἐκδόσεων, καὶ ὁ Λάγγιος, ἀντὶ τοῦ, τῆς Πελοποννησίων ἁπάντων ῥώμης, ὅπερ ἔοικε διόρθωσις εἶναι τοῦ Οὐολφίου, πλανηθέντος ὑπὸ τοῦ ἐχομένου Περιγενέσθαι. Τοῦτο δὲ πρὸς ἑτέραν φέρεσθαι γενικὴν δηλώσει τὰ αὐτίκα ῥηθησόμενα. — 6. Ὧν κατήπειγε τὴν πόλιν... περιγενέσθαι.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου καὶ τοῦ παρὰ τῷ Λαγγίῳ τὸ, Ὧν, ἀντὶ τοῦ παρὰ τοῖς ἄλλοις, Ἧ. Ἔοικε δὲ καὶ τοῦτο διόρθωσις εἶναι Οὐολφίου, πλανηθέντος ὑπὸ τοῦ, Κατήπειγεν, ὅπερ ἐνταῦθα οὐ μεταβατικῶς, ἀλλ᾽ ἀπροσώπως ἐκδεκτέον, κατὰ τὸ, Ἔδει, Ἐχρῆν, καὶ τὰ τοιαῦτα· ἵν᾽ ᾖ τοῦ ὅλου χωρίου ὁ νοῦς τοιοῦτος. Ἠδυνήθησαν οἱ πατέρες ἡμῶν ἀμύνασθαι καὶ τὰς ἐπιβουλὰς τῶν Σπαρτιατῶν, καὶ τὴν ῥώμην τῶν Πελοποννησίων ἁπάντων, ὧν κατήπειγε, τουτέστιν, ὧν ἀναγκαῖον ἦν μάλιστα, κατ᾽ ἐκεῖνον τὸν χρόνον τὴν πόλιν ἡμῶν περιγενέσθαι πολεμοῦσαν. Ἐχρήσατο δὲ καὶ ἀλλαχοῦ (Πρὸς Φίλιππ. σελ. 98) τῷ, Κατεπείγω, ὁ Ῥήτωρ ἀπροσώπως, ἢ μᾶλλον εἰπεῖν, ἐλλειπτικῶς. — 7. Οὐδ᾽ ἠγνόησαν οὐδὲν οὔτε κ. τ. λ.) Τοῦτο τὸ, οὐδὲν, οὔτ᾽ ἐν ταῖς πρὸ τοῦ Οὐολφίου ἐκδόσεσιν, οὔτ᾽ ἐν τῷ ἐμῷ ἀντιγράφῳ εὕρηται. — 8. Ἐπ᾽ εὐταξίας.) Ἴσως γραπτέον, ἀπ᾽ εὐταξίας. Παράθες τούτοις τὰ ἐκ τοῦ Συμμαχικοῦ (§ 33.) — 9. Πειθαρχίας.) Γαλλιστὶ Diciplinе· ὅπερ σημειούσθω διὰ τοὺς μεταφραστὰς τῶν Γαλλικῶν βίβλων, ἵνα μὴ, ἐν χρείᾳ γενόμενοι τοῦ ὀνόματος, τερατώδη τινὰ καὶ πολλῆς ἀτοπίας μεστὴν λέξιν εἰς τὴν ἡμετέραν εἰσφρήσωσι γλῶσσαν. — 10. Οὐκ ἐκ τούτων αὐξανομένην.) Οὐκ ἐκ τῆς εὐταξίας, σωφροσύνης, καὶ πειθαρχίας, ἀλλ᾽ ἐκ τῶν ἐναντίων,

λεκότων, ἐκ δὲ τῶν ἀλλοτρίων πορίζεσθαι τὸν βίον εἰθισμένων. Ὧν εἰσπεσόντων εἰς τὴν πόλιν, οὐκ ἄδηλος ἦν, ὅ,τε κόσμος ὁ τῆς πρότερον ὑπαρχούσης πολιτείας λυθησόμενος, ἥ, τε τῶν συμμάχων εὔνοια ταχέως ληψομένη μεταβολὴν, ὅταν οἷς πρότερον χώρας ἐδίδοσαν καὶ πόλεις, τούτους ἀναγκάζωσι[11] συντάξεις καὶ φόρους ὑποτελεῖν, ἵν' ἔχωσι μισθὸν διδόναι τοῖς τοιούτοις, οἵους ὀλίγῳ πρότερον εἶπον. Ἀλλ' ὅμως, οὐδὲν ἀγνοοῦντες τῶν προειρημένων, ἐνόμιζον τῇ πόλει, τηλικαύτῃ μὲν τὸ μέγεθος, τοιαύτην δ' ἐχούσῃ δόξαν,[12] λυσιτελεῖν καὶ πρέπειν ἁπάσας ὑπομεῖναι τὰς δυσχερείας μᾶλλον, ἢ τὴν Λακεδαιμονίων ἀρχήν· καὶ, δυοῖν πραγμάτων προτεινομένων μὴ σπουδαίων,[13] κρεῖττω τὴν αἵρεσιν εἶναι τοῦ δεινὰ ποιεῖν ἑτέρους, ἢ πάσχειν αὐτοὺς, ἐνόμισαν, καὶ τοῦ μὴ[14] δικαίως τῶν ἄλλων ἄρχειν μᾶλλον, ἢ φεύγοντας τὴν αἰτίαν ταύτην, ἀδίκως Λακεδαιμονίοις δουλεύειν· ἅπερ ἅπαντες μὲν ἂν οἱ νοῦν ἔχοντες ἕλοιντο καὶ βουληθεῖεν, ὀλίγοι δὲ τινες τῶν προσποιουμένων εἶναι σοφῶν[15] ἐρωτηθέντες, οὐκ ἂν φήσαιεν. Αἱ μὲν οὖν αἰτίαι, δι' ἃς μετέλαβον τὴν πολιτείαν, τὴν ὑπό τινων ψεγομένην, ἀντὶ τῆς ὑπὸ πάντων ἐπαινουμένης, διὰ μακροτέρων μὲν αὐτὰς διῆλθον, αὗται δ' οὖν ἦσαν.

§ 45. Ἤδη δ' ὑπὲρ ὧν τε ὑπεθέμην, καὶ τῶν προγόνων, ποιήσομαι τοὺς λόγους, ἐκείνων τῶν χρόνων ἐπιλαβόμενος, ὅτ' οὐκ ἦν οὔτε δημοκρατίας, οὔτ' ὀλιγαρχίας, ὄνομά πω λεγόμενον, ἀλλὰ μοναρχίαι καὶ τὰ γένη τῶν βαρβάρων, καὶ τὰς πόλεις τὰς Ἑλληνίδας ἁπάσας, διῴκουν. Διὰ τοῦτο δὲ προειλόμην ποιήσασθαι πόῤῥωθεν τὴν ἀρχήν· πρῶτον μὲν ἡγούμενος προσήκειν τοῖς ἀμφισβητοῦσιν

---

καθὰ πάλαι τε συνέβαινε, καὶ νῦν ἔτι συμβαίνει τοῖς θαλαττοκρατεῖν γλιχομένοις. Διὸ καὶ ὁ χρυσοῦς Εὐριπίδης, τὴν ναυτικὴν αἰνιττόμενος ἀταξίαν τῶν Ἀθηναίων, ἔλεγεν (Ἑκάβ. 606).

. . . . . . . Ἐν γὰρ μυρίῳ στρατεύματι
Ἀκόλαστος ὄχλος, ναυτική τ' ἀναρχία,
Κρείσσων πυρός· κακὸς δ' ὁ μή τι
δρῶν κακόν.

—11. Τούτους ἀναγκάζωσι, κ. τ. λ.) Τοὺς συμμάχους δηλονότι· καίπερ ἐν τοῖς πρόσθεν (§ 25) οὐ προσταχθὲν ὑπ' Ἀθηναίων, ἀλλ' ἑκόντας τοὺς συμμάχους τοὺς φόρους ὑποτελεῖν, εἰρηκώς. Ἐσημειώσατο ταύτην τὴν ἀντίφασιν καὶ Οὐόλφιος. — 12. Τηλικαύτῃ μὲν τὸ μέγεθος, τοιαύτην δ' ἐχούσῃ δόξαν.) Ἴσως ἐγέγραπτο, Τηλικαύτῃ μὲν τὸ μέγεθος οὔσῃ, κ. τ. λ. — 13. Μὴ σπουδαίων.) Παρ' ἅπασι γράφεται, καὶ μὴ σπουδαίων, μετὰ τοῦ συνδέσμου, πλὴν τοῦ ἐμοῦ ἀντιγράφου, καὶ τοῦ παρὰ τῷ Λαγγίῳ, ἐν οἷς φέρεται, Καὶ σπουδαίων, μετὰ τοῦ συνδέσμου μὲν, δίχα γε μὴν τῆς ἀπαγορεύσεως, ᾧ καὶ δῆλον ὅτι γραπτέον ἄνευ συνδέσμου, μὴ σπουδαίων· πολλάκις γὰρ οἱ ἀντιγραφεῖς συνέχεαν, τὸ, Καὶ, τῷ, Μὴ, οὕτως, ὥστε θάτερον ὑπὸ θατέρου ἢ συνεισαχθῆναι μηδὲν δέον, ἢ ἀφανισθῆναι. — 14. Καὶ τοῦ μή.) Ἀντὶ τοῦ, καὶ τὸ μὴ, οὕτω διορθῶν ἔγραψε κατὰ γενικὴν ὁ Δύγηρος· ᾧ συνᾴδειν ἔοικε καὶ τοὐμὸν ἀντίγραφον, οὕτω γε μὴν, ὡς δυσδιάκριτον εἶναι τὴν γραφὴν, εἴτε τὸ, τοῦ, μετέβαλεν ὁ γράψας εἰς τὸ, Τὸ, εἴτε τοῦτ' εἰς ἐκεῖνο. — 15. Τῶν προσποιουμένων εἶναι σοφῶν.) Εἰς Πλάτωνα τοῦτο ᾐνίχθαι (οὐ πιθανῶς οἶμαι) εἰκάζει Οὐόλφιος· ἐκεῖνος γάρ ἐστιν ὁ τὸν Σωκράτην παράγων ἐν τῷ Γοργίᾳ (σελ. 469) λέγοντα, «Εἰ δ' ἀναγκαῖον εἴη, »ἀδικεῖν, ἢ ἀδικεῖσθαι, ἑλοίμην ἂν μᾶλ»λον ἀδικεῖσθαι, ἢ ἀδικεῖν».

ἀρετῆς, εὐθὺς ἀπὸ γενεᾶς διαφέροντας εἶναι τῶν ἄλλων· ἔπειτ' αἰσχυνόμενος, εἰ περὶ ἀνδρῶν ἀγαθῶν μὲν, οὐδὲν δέ μοι προσηκόντων, πλείω διαλεχθεὶς τῶν μετρίων, περὶ τῶν προγόνων τῶν τὴν πόλιν κάλλιστα διοικησάντων μηδὲ μικρὰν ποιήσομαι μνείαν, οἳ τοσοῦτον βελτίους ἐγένοντο τῶν τὰς δυναστείας[2] ἐχόντων, ὅσονπερ ἄνδρες οἱ πρᾳότατοι καὶ φρονιμώτατοι διενέγκαιεν ἂν θηρίων τῶν ἀγριωτάτων, καὶ πλείστης ὠμότητος μεστῶν.

§ 46. Τί γὰρ [ἂν] οὐχ εὕροιμεν τῶν ὑπερβαλλόντων ἀνοσιότητι καὶ δεινότητι πεπραγμένον,[2] ἔν τε ταῖς ἄλλαις πόλεσι, μάλιστα δ' ἐν ταῖς μεγίσταις, καὶ τότε νομιζομέναις, καὶ νῦν εἶναι δοκούσαις; οὐ φόνους ἀδελφῶν,[3] καὶ πατέρων,[4] καὶ ξένων[5] παμπληθεῖς γεγενημένους; οὐ σφαγὰς μητέρων;[6] καὶ μίξεις, καὶ παιδοποιΐας,[7] ἐξ ὧν ἐτύγχανον αὐτοὶ πεφυκότες; οὐ παίδων βρῶσιν[8] ὑπὸ τῶν οἰκειοτάτων ἐπιβουλευομένην; οὐκ ἐκβολὰς ὧν ἐγέννησαν, καὶ καταποντισμούς,[9] καὶ τυφλώσεις,[10] καὶ τοσαύτας τὸ πλῆθος κακοποιΐας, ὥστε μηδένα πώποτε ἀπορῆσαι των εἰθισμένων καθ' ἕκαστον ἐνιαυτὸν[11] εἰσφέρειν εἰς τὸ θέατρον[12] τὰς τότε γενομένας συμφοράς;

---

§ 45. 2. Δυναστείας.) Μοναρχίας, ἐνταῦθα· ἣ δῆλον ἐκ τῶν προηγησαμένων.

§ 46. 2. Τί γὰρ ἂν οὐχ εὕροιμεν τῶν ὑπερβαλλόντων ἀνοσιότητι καὶ δεινότητι πεπραγμένον.) Προσέθηκα τὸν, ἂν, λείποντα μὲν παρ' ἅπασιν, ἀναγκαῖον δ' ἐνταῦθα ὄντα. Διώρθωκα δὲ καὶ τὸ ἑξῆς .... Δεινότητι τῶν πεπραγμένων, παρ' ἅπασι φερόμενον (πλὴν τοῦ ἐμοῦ ἀντιγράφου ἐν ᾧ ἀνάρθρως μὲν, οὐδὲν δὲ μᾶλλον ὀρθῶς γράφεται, δεινότητι πεπραγμένων), τρέψας εἰς τὸ, δεινότητι πεπραγμένον. Τὸ ἑξῆς, Τί γὰρ ἂν τῶν ὑπερβαλλόντων ἀνοσιότητι καὶ δεινότητι (ἔργων) οὐχ εὕροιμεν πεπραγμένον ἔν τε ταῖς ἄλλαις πόλεσι κ. τ. λ. — 3. Οὐ φόνους ἀδελφῶν;) Τὰ κατὰ τὸν Ἐτεοκλέα καὶ Πολυνείκην, τοὺς υἱοὺς Οἰδίποδος, λέγει. — 4. Καὶ Πατέρων) Αὐτὸν τὸν Οἰδίποδα· ἀλλ' ὅμως οὔτε γινώσκων, οὔτε βουλόμενος, ἀπέκτεινεν οὗτος τὸν πατέρα Λάϊον. — 5 Καὶ ξένων.) Τὰ περὶ Λυκάονα αἰνίττεσθαι Ἰσοκράτην ὑποτοπάζει Οὐόλφιος· ἀλλ' ἄμεινον ἔμοι γε δοκεῖ, τὸν Ἴφιτον νοεῖν, τὸν ὑφ' Ἡρακλέους ἀποθανόντα· δι' ἣν ξενοκτονίαν ἀγανακτήσας ὁ Ζεὺς προσέταξεν Ἑρμῇ, λαβόντα τὸν Ἡρακλέα πωλῆσαι. Καὶ πωλεῖται τριῶν ταλάντων εἰς Λυδίαν ἀχθεὶς Ὀμφάλῃ (Σχόλ. Ὀδυσσ. Φ, 23). Ἐνδέχεται μέντοι ἀντὶ τοῦ Ξένων, γεγράφθαι πάλαι, Τέκνων, εἰς Ἡρακλέα καὶ τοῦτο αἰνιχθὲν, κτείναντα τὰ ἴδια τέκνα. — 6. Οὐ σφαγὰς μητέρων.) Τὰ κατὰ τὸν Ὀρέστην, τὸν διαχρησάμενον Κλυταιμνήστραν τὴν μητέρα. — 7. Καὶ μίξεις καὶ παιδοποιΐας.) Αὖθις τὰ κατὰ τὸν Οἰδίποδα, τὸν γήμαντα τὴν ἰδίαν μητέρα, καὶ παιδοποιησάμενον ἐξ αὐτῆς. — 8. Οὐ παίδων βρῶσιν κ. τ. λ.) Τῶν τοῦ Θυέστου παίδων, οὓς ὁ ἀδελφὸς αὐτοῦ Ἀτρεὺς, συγκόψας καὶ ἑψήσας, παρέθηκεν αὐτῷ. — 9. Καταποντισμούς.) Τὰ περὶ Δανάην ἴσως λέγει, ἣν ὁ πατὴρ Ἀκρίσιος μετὰ τοῦ παιδὸς εἰς λάρνακα βαλὼν, ἔρριψεν εἰς θάλασσαν. — 10. Τυφλώσεις) Τὰ κατὰ Φινέα λέγει, ὃς ἐτύφλωσε τοὺς ἰδίους παῖδας διαβολῇ μητρυιᾶς πεισθείς. — 11. Καθ' ἕκαστον ἐνιαυτόν.) Ἐν τῷ ἐμῷ μετὰ τοῦ ἄρθρου, Καθ' ἕκαστον τὸν ἐνιαυτόν. — 12. Εἰσφέρειν εἰς τὸ θέατρον.) Τραγῳδίας ποιεῖν ἐκ τῶν πάλλαι γενομένων συμφορῶν. Τούτων δὲ τῶν τραγῳδιῶν εἰσὶν, ὁ Φινεὺς Αἰσχύλου καὶ ὁ Σοφοκλέους, ὁ Θυέστης Σοφοκλέους, καὶ Εὐριπίδου, Ἀτρεὺς ἑκατέρου. Δανάη ἑκατέρου, Οἰδίπους Αἰσχύλου, ἕτερος Εὐριπίδου, Λάϊος Αἰσχύλου, Κλυταιμνήστρα Σοφοκλέους· ὧν οὐ σώζεται πλὴν μικρόν τι τῆς Εὐριπίδου Δανάης λείψανον. Ἐ.

§ 47. Ταῦτα δὲ διῆλθον, οὐκ ἐκείνους λοιδορῆσαι βουλόμενος, ἀλλ' ἐπιδεῖξαι παρὰ τοῖς ἡμετέροις οὐ μόνον οὐδὲν τοιοῦτο γεγενημένον (τοῦτο μὲν γὰρ ἂν σημεῖον ἦν οὐκ ἀρετῆς, ἀλλ' ὡς οὐχ ὅμοιοι[2] τὰς φύσεις ἦσαν τοῖς ἀνοσιωτάτοις γεγενημένοις· δεῖ δὲ τοὺς ἐπιχειροῦντας καθ' ὑπερβολήν τινας ἐπαινεῖν, μὴ τοῦτο μόνον ἐπιδεικνύναι, μὴ πονηροὺς ὄντας αὐτούς), ἀλλ' ὡς ἁπάσαις ταῖς ἀρεταῖς καὶ τῶν τότε καὶ τῶν νῦν διήνεγκαν· ἅπερ ἔχοι τις ἂν καὶ περὶ τῶν προγόνων τῶν ἡμετέρων εἰπεῖν.

§ 48. Οὕτω γὰρ ὁσίως καὶ καλῶς, καὶ τὰ περὶ τὴν πόλιν, καὶ τὰ περὶ σφᾶς αὐτούς, διῴκησαν, ὥσπερ προσῆκον ἦν τοὺς ἀπὸ θεῶν μὲν γεγονότας, πρώτους δὲ καὶ πόλιν οἰκήσαντας,[2] καὶ νόμοις χρησαμένους, πάντα δὲ τὸν χρόνον ἠσκηκότας εὐσέβειαν μὲν περὶ τοὺς θεούς, δικαιοσύνην δὲ περὶ τοὺς ἀνθρώπους, ὄντας δὲ μήτε μιγάδας, μήτ' ἐπήλυδας, ἀλλὰ μόνους αὐτόχθονας τῶν Ἑλλήνων, καὶ ταύτην ἔχοντας τὴν χώραν τροφόν, ἐξ ἧσπερ ἔφυσαν, καὶ στέργοντας αὐτὴν ὁμοίως, ὥσπερ οἱ βέλτιστοι τοὺς πατέρας καὶ τὰς μητέρας τὰς αὐτῶν, πρὸς δὲ τούτοις οὕτω θεοφιλεῖς ὄντας, ὥστε, ὃ δοκεῖ χαλεπώτατον εἶναι καὶ σπανιώτατον, εὑρεῖν τινας τῶν οἴκων τῶν τυραννικῶν καὶ βασιλικῶν, ἐπὶ τέτταρας ἢ πέντε γενεὰς διαμείναντας, καὶ τοῦτο συμβαίνειν[3] μόνοις ἐκείνοις. Ἐριχθόνιος μὲν γάρ, ὁ φὺς ἐξ Ἡφαίστου καὶ Γῆς, παρὰ Κέκροπος[4] ἄπαιδος ὄντος ἀρρένων παίδων, τὸν οἶκον, καὶ τὴν βασιλείαν παρέλαβεν· ἐντεῦθεν δ' ἀρξάμενοι[5] πάντες οἱ γενόμενοι μετ' ἐκεῖνον, ὄντες οὐκ ὀλίγοι, τὰς κτήσεις τὰς αὐτῶν, καὶ τὰς δυναστείας, τοῖς αὐτῶν παισὶ παρέδοσαν μέχρι Θησέως.

---

δὲ τῶν σωζομένων εἰσὶν ὁ Σοφοκλέους Οἰδίπους, ὁ Εὐριπίδου Ὀρέστης, καὶ ἄλλαι ἄλλοις ὀνόμασι τὰ αὐτὰ παριστᾶσαι πάθη.

§ 47. Ἀλλ' ὡς οὐχ ὅμοιοι.) Κακῶς ἐν τοῖς ἀντιγράφοις φέρεται, Ἀλλ' οὐχ ὡς ὅμοιοι. Συγκέχυται δέπως ὧδε ἡ τοῦ λόγου συνάρτησις.

§ 48. 2. Πρώτους δὲ καὶ πόλιν οἰκήσαντας.) Τὸ παρ' ἅπασι Πρώτως ἔτρεψα μηδὲν μελλήσας εἰς τὸ Πρώτους· δι' ἣν δ' αἰτίαν, ἐν τοῖς πρόσθεν (σελ. 21) ἡμῖν δεδήλωται. Ἔπιθι καὶ τὸν Πανηγυρικὸν (§ 3 καὶ 4.) Καὶ τό, Οἰκήσαντας, δὲ ἴσως τρεπτέον εἰς τό, Οἰκίσαντας. — 3. Συμβαίνειν.) Οὕτως ὁ Λάγγιος ἐκ διορθώσεως (ἴσως οὐκ ἀναγκαίας) Οὐολφίου, καὶ τοῦ παρ' αὐτῷ ἀντιγράφου, ἀντὶ τοῦ, Συμβαίνει. — 4. Παρὰ Κέκροπος.) Ἕτεροι δὲ ἑτέρους δύο βασιλεῖς ἀριθμοῦσι μεταξὺ Κέκροπος καὶ Ἐριχθονίου· περὶ ὧν ἔπιθι τὸν Μεύρσιον (Βασιλ. Ἀττικ. Α, γ')· καὶ μάλιστα τὸν ὑπομνηματίσαντα Γαλλιστὶ τὰ Ἀπολλοδώρου (Βιβλ. Γ, Τόμ. Β, σελ. 472, 483, 484) Κλαυέριον. — 5. Ἐντεῦθεν δ' ἀρξάμενοι.) Παρ' ἅπασι γράφεται, ὥσπερ καὶ ἐν τῷ ἐμῷ ἀντιγράφῳ, Ἐντεῦθεν δραξάμενοι· ὅπερ Οὐόλφιος εἴκαζε πιθανῶς μέν, οὐκ ἀληθῶς δέ, τρεπτέον εἶναι εἰς τό, Ἐντεῦθεν διαδεξάμενοι. Ἡ δὲ ἡμετέρα διόρθωσις, πρὸς τῷ μηδὲν ἔχειν περίεργον, καὶ τὴν πρὸς τόν, Μέν, ἀνταπόδοσιν ἀπεκατέστησε προαγαγοῦσα τὸν τέως λανθάνοντα, Δέ. Ἔστι δ' αὐτὴν πιστώσασθαι καὶ ἐκ τοῦ παραπλησίως εἰρημένου τῷ Πλάτωνι ἐν τῷ Πρώτῳ Ἀλκιβιάδῃ (σελ. 121), « Ἀλλὰ τὰ μὲν τούτων (γένη), ἀπ' αὐτῶν ἀρξάμενα, βασιλεῖς εἰσιν ἐκ βασιλέων κ. τ. λ. »

§ 49. Περὶ οὗ πρὸ πολλοῦ ἂν ἐποιησάμην μὴ διειλέχθαι πρότερον, καὶ τῆς ἀρετῆς,[2] καὶ τῶν πεπραγμένων αὐτῷ. Πολὺ γὰρ ἂν μᾶλλον ἥρμοσεν ἐν τῷ λόγῳ τῷ περὶ τῆς πόλεως διελθεῖν περὶ αὐτῶν. Ἀλλὰ γὰρ χαλεπὸν ἦν, μᾶλλον δ' ἀδύνατον, τὰ κατ' ἐκεῖνον ἐπελθόντα τὸν χρόνον εἰς τοῦτον ἀποθέσθαι τὸν καιρὸν, [ὃν] οὐδὲ προϊδεῖν [ἦν] ἐσόμενον.[3] Ἐκεῖνα μὲν οὖν ἐάσομεν, ἐπειδὴ πρὸς τὸ παρὸν αὐτοῖς κατεχρησάμην· μιᾶς δὲ μόνον μνησθήσομαι πράξεως, ἣ συμβέβηκε μήτ' εἰρῆσθαι πρότερον, μήτε πεπράχθαι μηδ' ὑφ' ἑνὸς ἄλλου, πλὴν ὑπὸ Θησέως, σημεῖόν τ' εἶναι μέγιστον τῆς ἀρετῆς τῆς ἐκείνου, καὶ φρονήσεως.

§ 50. Ἔχων γὰρ τὴν βασιλείαν ἀσφαλεστάτην καὶ μεγίστην, ἐν ᾗ πολλὰ καὶ καλὰ διαπεπραγμένος ἦν, καὶ κατὰ πόλεμον, καὶ κατὰ διοίκησιν τῆς πόλεως, ἅπαντα ταῦθ' ὑπερεῖδε, καὶ μᾶλλον εἵλετο τὴν δόξαν, τὴν ἀπὸ τῶν πόνων καὶ τῶν ἀγώνων εἰς ἅπαντα τὸν χρόνον μνημονευθησομένην, ἢ τὴν ῥαθυμίαν καὶ τὴν εὐδαιμονίαν, τὴν διὰ τὴν βασιλείαν ἐν τῷ παρόντι γιγνομένην. Καὶ ταῦτ' ἔπραξεν, οὐκ ἐπειδὴ, πρεσβύτερος γενόμενος, ἀπολελαυκὼς ἦν τῶν παρόντων ἀγαθῶν· ἀλλ' ἀκμάζων, ὡς λέγεται, τὴν μὲν πόλιν διοικεῖν τῷ πλήθει παρέδωκεν, αὐτὸς δὲ ὑπὲρ ταύτης τε καὶ τῶν ἄλλων Ἑλλήνων διετέλει κινδυνεύων.

§ 51. Περὶ μὲν οὖν τῆς Θησέως ἀρετῆς, νῦν μὲν ὡς οἷόν τ' ἦν ἀνεμνήσαμεν· πρότερον δὲ ἁπάσας αὐτοῦ τὰς πράξεις, οὐκ ἀμελῶς διήλθομεν.[2] Περὶ δὲ τῶν παραλαβόντων τὴν τῆς πόλεως διοίκησιν, ἣν ἐκεῖνος παρέδωκεν, οὐκ ἔχω τίνας ἐπαίνους εἰπὼν, ἀξίως[3] ἂν εἴην εἰρηκὼς τῆς ἐκείνων διανοίας. Οἵτινες, ἄπειροι πολιτειῶν ὄντες, οὐ διήμαρτον αἱρούμενοι τῆς ὑπὸ πάντων ἂν ὁμολογηθείσης,[4] οὐ μόνον εἶναι κοινοτάτης καὶ δικαιοτάτης, ἀλλὰ καὶ συμφορωτάτης

---

§ 49. 2. Καὶ τῆς ἀρετῆς.) Ἐκ διορθώσεως Οὐολφίου, καὶ ἑνὸς τῶν ἀντιγράφων, ἣν παρειλήφασι καί τινες τῶν πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἡ τῆς ἀρετῆς, τῶν λοιπῶν ἀντιγράφων, οἷς συνᾴδει καὶ τὸ ἐμόν. — 3. Τὸν καιρὸν, ὃν οὐδὲ προϊδεῖν ἦν ἐσόμενον.) Ἀποχρώντως οἶμαι παρεμυθησάμην τοῦ χωρίου τὸ ἀσυνάρτητον τῇ προσθήκῃ τοῦ, Ὃν, καὶ τοῦ, Ἦν, ὧν τὸ μὲν εἰκὸς ἐκρυῆναι διὰ τὴν πρὸς τὴν τελευταίαν τοῦ, Καιρὸν, ὁμοιότητα, τὸ δὲ, διὰ τὴν πρὸς τὴν τελευταίαν τοῦ Προϊδεῖν συνήχησιν.

§ 51. 2. Πρότερον . . . διήλθομεν.) Ἐκ τῷ τῆς Ἑλένης ἐγκωμίῳ. — 3. Ἀξίως.) Ἐκ διορθώσεως τοῦ Οὐολφίου, ἀντὶ τοῦ Ἀξίους. — 4. Τῆς ὑπὸ πάντων ἂν ὁμολογηθείσης.) Παρ' ἅπασιν αἱ δύο τελευταῖαι λέξεις, εἰς μίαν συνηρημέναι, γράφονται, Ἀνομολογηθείσης, ὅπερ οὐδὲν ἂν ὧδε σημήνειεν ὅλως, ἢ οὐδὲν ἕτερον ἂν, ἢ ὅτι ἡ δημοκρατία, ἢ γοῦν ἡ ἰσονομουμένη πολιτεία, ὑπὸ πάντων ὡμολογήθη δικαιοτάτη καὶ συμφορωτάτη εἶναι. Ἔστι δ' οὐ τοῦθ' ὃ βούλεται λέγειν ἐπὶ τοῦ παρόντος Ἰσοκράτης, ἄλλως τε καὶ ψευδὲς ὂν οὕτως ἁπλῶς ἐκφερόμενον· οὔτε γὰρ ἂν βασιλεῖς ἐπαινέσειαν δημοκρατίαν, καὶ πολλοὶ τῶν ἰδιωτῶν βασιλεύεσθαι μᾶλλον ἕλοιντο, ἢ δημοκρατεῖσθαι. Ἔστιν οὖν τὸ, Τῆς ὑπὸ πάντων ἂν ὁμολογηθείσης, ταὐτὸν τῷ, Ἡ ὑπὸ πάντων ἂν ὁμολογηθείη, τουτέστιν, Ἣν χρὴ πάντας ὁμολογῆσαι

ἅπασι τοῖς χρωμένοις, καὶ ἡδίστης. Κατεστήσαντο γὰρ δημοκρατίαν, οὐ τὴν εἰκῇ πολιτευομένην, καὶ νομίζουσαν τὴν μὲν ἀκολασίαν, ἐλευθερίαν, τὴν δ' ἐξουσίαν τοῦ, ὅ,τι βούλεται[5] τις ποιεῖν, εὐδαιμονίαν, ἀλλὰ τὴν τοῖς τοιούτοις μὲν ἐπιτιμῶσαν, ἀριστοκρατίᾳ δὲ χρωμένην, ἣν οἱ μὲν πολλοί, χρησίμην οὖσαν, ὥσπερ τὴν ἀπὸ τιμημάτων ἐν ταῖς πολιτείαις ἀριθμοῦσιν,[6] οὐ δι' ἀμαθίαν ἀγνοοῦντες, ἀλλὰ διὰ τὸ μηδὲν πώποτ' αὐτοῖς μελῆσαι τῶν τοιούτων.

---

κ. τ. λ. — 5. Τὴν δ' ἐξουσίαν τοῦ, ὅ,τι βούλεται.) Ἐν τῷ ἐμῷ (ἐκ διορθώσεως ὀψιαιτέρας), καὶ ἑτέρῳ ἑνὶ τῶν πρὸ ἐμοῦ ἀντιγράφων, φέρεται (ὡς ἔγραψα) μετὰ τοῦ ἄρθρου, Τοῦ ὅ,τι βούλεται· οὐκ ἀλόγως. Οὕτω γὰρ καὶ ἀλλαχοῦ (Ἀρειοπαγιτ. σελ. 141) εἴρηκε, «Τὴν »δὲ ἐξουσίαν τοῦ πάντα ποιεῖν, εὐδαι»μονίαν.» — 6. Ἣν οἱ μὲν πολλοὶ . . . ἐν ταῖς πολιτείαις ἀριθμοῦσιν.) Ἡ γραφὴ ἀπαραλλάκτως παρ' ἅπασιν ἡ αὐτή, περὶ ἧς Οὐόλφιος ταῦτά φησιν Ἑλληνιστί, οἷα τὰ πολλὰ φιλεῖ. «Αἱ μὲν λέξεις »πρόδηλοι, ὁ δὲ νοῦς, ἀσαφὴς ὤν, σφάλ»ματος ὑπόνοιαν ἐμποιεῖ.» Τὸ σφάλμα δὲ τοῦτο, εἴ γε ὅλως ἡμάρτηται ἡ γραφή, οὐδὲν ἂν ἕτερον εἴη, ἢ παράλειψις ἀρνήσεως, γράψαντος ἴσως Ἰσοκράτους, Οὐκ ἀριθμοῦσιν, ἵνα τὸ Ἣν, ἀναφέρηται πρὸς τὸ Δημοκρατίαν ἀριστοκρατίᾳ χρωμένην, τουτέστι, Πολιτείαν ἐκ δημοκρατίας καὶ ἀριστοκρατίας συγκειμένην, ἣν τοῖς μὴ ἀριθμοῦσιν ἐν ταῖς πολιτείαις ἐπιτιμᾷ, ὡς ἠμεληκόσι τῆς τῶν τοιούτων ἐρεύνης τε καὶ θεωρίας. Ἔστι μέντοι, κατὰ χώραν ἐῶντας τὴν γραφήν, καὶ τό, Ἣν, πρὸς τὸ προσεχές, Ἀριστοκρατίᾳ, ἀναφέροντας, οὕτως ἑρμηνεῦσαι τὸ χωρίον, Ἥνπερ ἀριστοκρατίαν οἱ πολλοὶ ἀριθμοῦσιν ἐν ταῖς πολιτείαις, διὰ τὸ χρησίμην εἶναι, καίπερ οὐκ ὄντος ἑτέρου πολιτείας εἴδους παρὰ τὰ ῥηθησόμενα τρία. Οὐκ ἄκαιρον δέ, τοῦ σαφοῦς ἕνεκα, τὴν κατ' Ἀριστοτέλην (Πολιτικ. Γ, έ), καὶ Πλάτωνα (Διογ. Λαερτ. ἐν βίῳ Πλάτων.), τῶν πολιτειῶν διαίρεσιν παραθεῖναι πρότερον. Ἔστιν οὖν κατὰ μὲν τὸν Σταγειρίτην, τὸ κύριον τῶν πόλεων, ἢ εἷς, ἢ ὀλίγοι, ἢ οἱ πολλοί. Τούτων δ' ἕκαστοι, ὅταν μὲν πρὸς τὸ κοινὸν συμφέρον ἄρχωσιν, ἀποτελοῦσιν, ὁ μὲν εἰς τὴν καλουμένην Βασιλείαν, οἱ δ' ὀλίγοι τὴν Ἀριστοκρατίαν, οἱ πολλοὶ δὲ τὴν εἰδικῶς οὕτω λεγομένην Πολιτείαν· ὅταν δὲ πρὸς τὸ ἴδιον, κατὰ τὸν αὐτὸν λόγον ἀναβλαστάνει ἐκ τοῦ ἑνὸς μὲν ἡ Τυραννίς, ἐκ δὲ τῶν ὀλίγων ἡ Ὀλιγαρχία, ἢ Τιμοκρατία, ἢ καὶ Ἀπὸ τιμημάτων ἀρχὴ καλουμένη (ὅταν δηλονότι εἰς τοὺς εὐπόρους μόνους περιστῇ τὰ τῆς κυβερνήσεως), ἐκ δὲ τῶν πολλῶν, ἡ Δημοκρατία, ὅταν οἱ ἄποροι ἄρχωσι.

| | | | |
|---|---|---|---|
| ΑΡΧΗ | Ἑνὸς | πρὸς τὸ κοινὸν συμφέρον, | ΒΑΣΙΛΕΙΑ. |
| | | πρὸς τὸ ἴδιον . . . . . . . | ΤΥΡΑΝΝΙΣ. |
| | Ὀλίγων | πρὸς τὸ κοινὸν συμφέρον, | ΑΡΙΣΤΟΚΡΑΤΙΑ. |
| | | πρὸς τὸ ἴδιον . . . . . | ΟΛΙΓΑΡΧΙΑ, ἢ ΤΙΜΟΚΡΑΤΙΑ. |
| | Τῶν πολλῶν | πρὸς τὸ κοινὸν συμφέρον, | ΠΟΛΙΤΕΙΑ εἰδικῶς καλουμένη. |
| | | πρὸς τὸ ἴδιον . . . . . . . | ΔΗΜΟΚΡΑΤΙΑ. |

Πλάτων δὲ εἰς πέντε διαιρεῖν αὐτὰς ἤρεσκε, Δημοκρατίαν δηλονότι, ἐν αἷς

§ 52. Ἐγὼ δὲ φημὶ, τὰς μὲν ἰδέας τῶν πολιτειῶν τρεῖς εἶναι μόνας, ὀλιγαρχίαν, δημοκρατίαν, μοναρχίαν· τῶν δ' ἐν ταύταις οἰκούντων, ὅσοι μὲν εἰώθασιν ἐπὶ τὰς ἀρχὰς καθιστάναι, καὶ τὰς ἄλλας πράξεις, τοὺς ἱκανωτάτους τῶν πολιτῶν, καὶ τοὺς μέλλοντας ἄριστα καὶ δικαιότατα τῶν πραγμάτων ἐπιστατήσειν, τούτους μὲν ἐν ἁπάσαις ταῖς πολιτείαις καλῶς οἰκήσειν, καὶ πρὸς σφᾶς αὐτοὺς, καὶ πρὸς τοὺς ἄλλους· τοὺς δὲ τοῖς πονηροτάτοις καὶ θρασυτάτοις ἐπὶ ταῦτα χρωμένους, καὶ τῶν μὲν τῇ πόλει συμφερόντων μηδὲν φροντίζουσιν, ὑπὲρ δὲ τῆς αὑτῶν πλεονεξίας ἑτοίμοις οὖσιν ὁτιοῦν πάσχειν, τὰς δὲ τούτων πόλεις ὁμοίως οἰκήσεσθαι ταῖς τῶν προεστώτων πονηρίαις *θέλοντας, τούτους αὖ τοὐναντίον κακίστους ἑαυτοῖς τε καὶ τοῖς πολίταις εἶναι νομίζω*·2

---

πόλεσι κρατεῖ τὸ πλῆθος, καὶ τὰς ἀρχὰς δι' ἑαυτοῦ αἱρεῖται· Ἀριστοκρατίαν, ἐν αἷς μήθ' οἱ πλούσιοι, μήθ' οἱ πένητες, μήθ' οἱ ἔνδοξοι, ἀλλ' οἱ ἄριστοι ἄρχουσιν· Ὀλιγαρχίαν, ὅταν ἀπὸ τιμημάτων αἱ ἀρχαὶ αἱρῶνται, τουτέστιν ὅταν οἱ πλούσιοι προστατῶσι τῆς πόλεως· Βασιλείαν, ὅταν κατὰ νόμον, ἢ κατὰ γένος, οἷς ἐστιν ὁ ἄρχων· καὶ Τυραννίδα, ὅταν ἀπάτῃ ἢ βίᾳ τις τῶν λοιπῶν κρατῇ. Τούτων οὕτως ἐκτεθέντων, φαίνεται Ἰσοκράτης ἀπαρεσκόμενος ταῖς λεπτολόγοις ταύταις διαιρέσεσι, καὶ τρία μόνα πολιτείας εἴδη ὑποτιθείς, ἢ δῆλον ἔκ τε τῶν ἑξῆς ῥηθησομένων, καὶ ὧν ἐν τῷ Νικοκλεῖ (§ 5.), εἴρηκεν, Ὀλιγαρχίαν, δηλονότι, Δημοκρατίαν, καὶ Μοναρχίαν, οὐκ ἰδίοις ὀνόμασιν, ἀλλὰ τῷ χρηστῷ τε καὶ μὴ, τῆς ἀρχῆς (ὑποδιαιρῶν ἑκάστην·) καὶ τῶν Δημοκρατιῶν ἐκείνην δοκιμάζων, ἥτις ἀριστοκρατίᾳ κέχρηται, οὐ τέταρτον εἶδος τὴν Ἀριστοκρατίαν νοῶν, ἀλλ' Ὀλιγαρχίᾳ σύγκρατόν τινα Δημοκρατίαν ὥστε ὀλιγίστους μὲν εἶναι τοὺς ἄρχοντας, ὑπευθύνους μέντοι τῷ δήμῳ, καθάπερ αὐτὸς ἀλλαχοῦ (σελ. 143) ἐξηγήσατο, «Καίτοι πῶς »ἄν τις ταύτης ἢ βεβαιοτέραν, ἢ δικαιο»τέραν δημοκρατίαν εὕροι, τῆς τοὺς »μὲν δυνατωτάτους ἐπὶ τὰς πράξεις κα»θιστάσης, αὐτῶν δὲ τούτων τὸν δῆμον »κύριον ποιούσης;» δυνατωτάτους λέγων, οὓς μικρὸν ἀνωτέρω (σελ. 142) «Τοὺς σχολὴν ἄγειν δυναμένους, καὶ »βίον ἱκανὸν κεκτημένους» εἴρηκε. Ταύτην οὖν τῆς πολιτείας τὴν ἰδέαν Ἰσοκράτης ἐπαινῶν ὡς χρησίμην, καθάπτεται τῶν ἕτερον παρὰ ταύτην εἶδος, τὴν Ἀριστοκρατίαν, ἐν ταῖς πολιτείαις ἀριθμησάντων, χρησίμην μὲν οὖσαν, οὐ μὴν ἱκανὴν προστατῆσαι καθ' ἑαυτὴν τῶν πραγμάτων, εἴγε οὐκ ἀρετῆς μόνον χρήζουσιν οἱ καλῶς ἄρξοντες (ὅπερ ἦν ἡ κατὰ Πλάτωνα καὶ Ἀριστοτέλην Ἀριστοκρατία), ἀλλὰ καὶ βίου ἱκανοῦ (ὅπερ ἦν κατὰ μὲν Πλάτωνα ἡ Ὀλιγαρχία ἁπλῶς οὕτω καλουμένη, κατὰ δὲ Ἀριστοτέλην, τὸ δεύτερον τῆς τῶν Ὀλίγων ἀρχῆς εἶδος), ὅπως ἂν ἀπὸ τῶν ἄλλων σχολάζειν δύναιντο.

§ 52. 2. Τοὺς δὲ τοῖς πονηροτάτοις καὶ θρασυτάτοις ἐπὶ ταῦτα χρωμένους, καὶ τῶν μὲν τῇ πόλει συμφερόντων μηδὲν φροντίζουσιν, ὑπὲρ δὲ τῆς αὑτῶν πλεονεξίας ἑτοίμοις οὖσιν ὁτιοῦν πάσχειν, τὰς ΔΕ ΤΟΥΤΩΝ πόλεις ὁμοίως ΟΙΚΗΣΕΣΘΑΙ ταῖς τῶν προεστώτων πονηρίαις, *ΘΕΛΟΝΤΑΣ, τούτους αὖ τοὐναντίον κακίστους ἑαυτοῖς τε καὶ τοῖς πολίταις εἶναι νομίζω.*) Πολλὰ πράγματα παρέσχε τοῦτο τὸ χωρίον τοῖς ἐξηγηταῖς, παρ' ἅπασιν οὕτω φερόμενον, πλὴν ἐν τῷ ἐμῷ ἀντιγράφῳ, ἐν ᾧ αἱ δυοκαίδεκα τελευταῖαι λέξεις αἱ δυσὶν ἀστερίσκοις διειλημμέναι, λείπουσαι τὴν ἀρχὴν, προσεγράφησαν ἔξωθεν, ὡς διόρθωσις, ὑπ' ὀψιαιτέρας χειρὸς, πλὴν τοῦ ἄρθρου, Τοῖς. Καὶ ὁ μὲν Οὔολφιος τὸ ΤΟΥΤΩΝ ἀντὶ τοῦ, Ἑαυτῶν, ἐκληπτέον εἶναι εἴκασεν, ὃ καὶ κατέγραψεν ὁ Αὐγῆρος εἰς τὸ κείμενον· Ὁ δὲ Στέφανος παρῄνει ἀντὶ τοῦ, ΟΙΚΗΣΕΣΘΑΙ· γράφειν, Οἰκεῖσθαι, καὶ τῷ Στεφάνῳ πεισθεὶς ἔγραψεν ὡσαύτως ὁ Αὐγῆρος, τρέψας παρὰ ταῦτα, καὶ τὸ ΘΕΛΟΝΤΑΣ εἰς τὴν δοτικὴν ΘΕΛΟΥΣΙ. Λάγγιος δὲ, τὰς σημειωθείσας δυοκαίδεκα λέξεις μετατοπίζων, οὕτω γράφειν οἴεται δεῖν τὴν ὅλην περίοδον . . . »Πάσχειν, θέλοντας »τούτους αὖ τοὐναντίον κακίστους ἑαυ-

τεὺς δὲ μήθ' οὕτως, μήθ' ὡς πρότερον εἶπον, ἀλλ' ὅταν μὲν θαρρῶσι, τούτους μάλιστα τιμῶντας, τοὺς πρὸς χάριν λέγοντας, ὅταν δὲ δείσωσιν, ἐπὶ τοὺς βελτίστους καὶ φρονιμωτάτους καταφεύγοντας, τοὺς δὲ τοιούτους[3] ἐναλλὰξ τοτὲ μὲν χεῖρον, τοτὲ δὲ βέλτιον πράξειν.

§ 53. Αἱ μὲν οὖν φύσεις καὶ δυνάμεις τῶν πολιτειῶν οὕτως ἔχουσιν. Ἡγοῦμαι δὲ ταῦτα μὲν ἑτέροις πολὺ πλείους λόγους παρέξειν τῶν νῦν εἰρημένων, ἐμοὶ δ' οὐκ ἔτι περὶ πασῶν αὐτῶν εἶναι διαλεκτέον, ἀλλὰ περὶ μόνης τῆς τῶν προγόνων· ταύτην γὰρ ὑπεσχόμην ἐπιδείξειν σπουδαιοτέραν, καὶ πλειόνων ἀγαθῶν αἰτίαν οὖσαν, ἢ τὴν ἐν τῇ Σπάρτῃ καθεστηκυῖαν.

§ 54. Ἔσται δ' ὁ λόγος τοῖς μὲν ἡδέως ἂν ἀκούσασι πολιτείαν χρηστὴν ἐμοῦ διεξιόντος, οὔτ' ὀχληρὸς οὔτ' ἄκαιρος, ἀλλὰ σύμμετρος, καὶ προσήκων τοῖς ἔμπροσθεν εἰρημένοις, τοῖς δὲ μὴ χαίρουσι τοῖς μετὰ πολλῆς σπουδῆς εἰρημένοις, ἀλλὰ τοῖς ἐν ταῖς πανηγύρεσι μάλιστα μὲν λοιδορουμένοις, ἣν δ' ἀπόσχωνται τῆς μανίας ταύτης, ἐγκωμιάζουσι τὰ φαυλότατα τῶν ὄντων,[2] ἢ τοὺς παρανομωτάτους τῶν γεγενημένων,[3] τούτοις δ' αὐτὸν οἶμαι δόξειν πολὺ μακρότερον εἶναι τοῦ δέοντος. Ἐμοὶ δὲ[4] τῶν μὲν τοιούτων ἀκροατῶν οὐδὲν πώποτ' ἐμέλησεν, οὐδὲ τῶν ἄλλων τοῖς εὖ φρονοῦσιν·[5] ἐκείνων δὲ, τῶν, ἅ τε προεῖπον, πρὸ παντὸς λόγου μνημονευσόντων, τῷ τε πλήθει τῶν λεγομένων οὐκ ἐπιτιμησόντων, οὐδ' ἂν μυ-

»τοῖς τε καὶ τοῖς πολίταις εἶναι, τὰς δὲ »τούτων πόλεις ὁμοίως οἰκήσεσθαι ταῖς »τῶν προεστώτων πονηρίαις νομίζω.» Ἄμεινον δὲ περιγράφειν τὰς δυοκαίδεκα λέξεις, ὡς οὐδὲν δέον προστεθείσας, διά τε τὸ Θέλοντας, ἀσυνάρτητον ὅλως ὑπάρχον τοῖς λοιποῖς, καὶ ὅτι ὠβελισμένων αὐτῶν, ἄριστα προχωρεῖ ἡ ὅλη τοῦ λόγου συνέπεια, ὡς ἀντιτίθεσθαι (ὅπερ μάλιστα φιλεῖ Ἰσοκράτης) Τοὺς μὲν πονηροτάτοις χρωμένους ἄρχουσι, τοῖς τοὺς ἱκανωτάτους ἐπὶ τὰς ἀρχὰς καθιστᾶσι, Τοὺς δὲ τῶν τῇ πόλει συμφερόντων μηδὲν φροντίζοντας, τοῖς μέλλουσιν ἄριστα καὶ δικαιότατα τῶν πραγμάτων ἐπιστατήσειν, κ. τ. λ. — 3. Τοὺς δὲ τοιούτους.) Ἔτρεψαν τὸν, Δὴ, εἰς τὸν, Δὲ, ἀπαιτούσης τὴν ἐπανάληψιν τοῦ Δὲ (τοῦ ἐν τῷ Τοὺς δὲ μήθ' οὕτως) τῆς Ἰσοκρατείου μάλιστα χρήσεως, διὰ τὸ μῆκος τῆς περιόδου, κατὰ τὰ εἰρημένα μοι ἐν τοῖς πρόσθεν (σελ. 58), οἷς προστέθητι τό, τε ἀνωτέρω παράδειγμα, «Τοὺς δὲ τοῖς πονηροτά»τοις . . . τὰς δὲ τούτων πόλεις,» καὶ τὸ μετὰ μικρὸν (§ 54.) «Τοῖς δὲ μὴ »χαίρουσι . . . τούτοις δ' αὐτόν.»

§ 54. 2. Ἐγκωμιάζουσι τὰ φαυλότατα τῶν ὄντων.) Οἷον τοὺς βομβυλιοὺς καὶ τοὺς ἅλας, περὶ ὧν εἴρηκεν ἐν Ἑλένης ἐγκωμίῳ (§ 6.). — 3. Τοὺς παρανομωτάτους τῶν γεγενημένων.) Οἷον τὸν Βούσιριν ὁ Πολυκράτης, πρὸς ὃν συνέγραψεν Ἰσοκράτης τὸ Βουσίριδος ἐγκώμιον, οὐκ ἐγκωμιάσαι Βούσιριν αὐτὸς θέλων, ἀλλὰ Πολυκράτει δεῖξαι βουλόμενος, ὅπως γε δεῖ γράφειν τὸν ὑπὲρ τῶν παρανομωτάτων ἀπολογεῖσθαι προαιρούμενον. — 4. Ἐμοὶ δέ.) Ἐκ διορθώσεως Οὐολφίου, καὶ τοῦ Λαγγιανοῦ ἀντιγράφου, ἡ γραφή, ἣν παρειλήφασι καὶ οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Ἐμοὶ γὰρ, τῶν ἀρχαιοτέρων ἐκδόσεων, αἷς συνᾴδει καὶ δύο τῶν Αὐγήρου ἀντιγράφων, καὶ τρίτον τοὐμόν· πλὴν ὅτι ἐν τῷ ἐμῷ ὑπ' ὀψιαιτέρας χειρὸς προσετέθη τὸ, Γὰρ, οὐχ ὑπάρχον πρότερον. — 5. Οὐδὲ τῶν ἄλλων τοῖς εὖ φρονοῦσιν.) Ὥσπερ οὐδὲ τοῖς ἄλλοις φρονίμοις ἀνδράσι μέλει τῶν τοιούτων. —

ρίων ἐπῶν[6] ἢ τὸ μῆκος, ἀλλ᾽ ἐφ᾽ αὑτοῖς εἶναι νομιζόντων τοσοῦτον ἀναγνῶναι μέρος καὶ διελθεῖν, ὁπόσον ἂν αὐτοὶ βούλωνται, πάντων δὲ μάλιστα τῶν οὐδενὸς ἂν ἥδιον ἀκουόντων, ἢ λόγου διεξιόντος ἀνδρῶν ἀρετάς, καὶ πόλεως τρόπον καλῶς οἰκουμένης. Ἅπερ εἰ μιμήσασθαί τινες βουληθεῖεν καὶ δυνηθεῖεν, αὐτοί τ᾽ ἂν ἐν μεγάλῃ δόξῃ τὸν βίον διαγάγοιεν, καὶ τὰς πόλεις τὰς αὑτῶν εὐδαίμονας ποιήσειεν. Οἵους μὲν οὖν εὐξαίμην ἂν εἶναι τοὺς ἀκουσομένους τῶν ἐμῶν, εἴρηκα, δέδοικα δὲ μή, τοιούτων γενομένων, πολὺ καταδεέστερον εἴπω τῶν πραγμάτων, περὶ ὧν μέλλω ποιεῖσθαι τοὺς λόγους. Ὅμως δ᾽ οὕτως, ὁποίως[7] ἂν οἷός τ᾽ ὦ, πειράσομαι διαλεχθῆναι περὶ αὐτῶν.

§ 55. Τοῦ μὲν οὖν διαφερόντως τῶν ἄλλων οἰκεῖσθαι τὴν πόλιν ἡμῶν κατ᾽ ἐκεῖνον τὸν χρόνον, δικαίως ἂν ἐπενέγκαιμεν τὴν αἰτίαν τοῖς βασιλεύσασιν αὐτῆς, περὶ ὧν ὀλίγῳ πρότερον διελέχθην.[2] Ἐκεῖνοι[3] γὰρ ἦσαν οἱ παιδεύσαντες τὸ πλῆθος ἐν ἀρετῇ, καὶ δικαιοσύνῃ, καὶ πολλῇ σωφροσύνῃ, καὶ διδάξαντες ἐξ ὧν διῴκουν (ἅπερ[4] ἐγὼ φανείην [ἂν[5]] ὕστερον εἰρηκώς, ἢ κεῖνοι[6] πράξαντες), ὅτι πᾶσα πολιτεία ψυχὴ πόλεώς ἐστι, τοσαύτην ἔχουσα δύναμιν, ὅσηνπερ ἐν σώματι φρόνησις. Αὕτη γάρ ἐστιν ἡ βουλευομένη περὶ ἁπάντων, καὶ τὰ μὲν ἀγαθὰ διαφυλάττουσα, τὰς δὲ συμφορὰς διαφεύγουσα, καὶ πάντων αἰτία τῶν ταῖς πόλεσι συμβαινόντων ἀγαθῶν.

§ 56. Ἧς ὁ δῆμος οὐκ ἐπελάθετο διὰ τὴν μεταβολήν. Ἀλλὰ μᾶλλον τούτῳ προσεῖχεν, ἢ τοῖς ἄλλοις, ὅπως λήψεται τοὺς ἡγεμόνας, δημοκρατίας μὲν ἐπιθυμοῦντας, τὸ δ᾽ ἦθος τοιοῦτον ἔχοντας,

6. Μυρίων ἐπῶν.) Πολλῶν τῷ πλήθει λέξεων. Οὕτω γὰρ ἐνταῦθα ἐκληπτέον τὸ, Ἐπῶν, καὶ οὐχ ὡς οἱ μεταγενέστεροι, ἐπὶ τῶν ἐμμέτρων στίχων. — 7. Ὁποίως.) Ἐν ταῖς ἀρχαίαις τῶν ἐκδόσεων, καὶ τισι τῶν ἀντιγράφων, ἐν οἷς καὶ τοὐμὸν, φέρεται, Ὁποῖος Καὶ αὕτη μὲν προδήλως ἡμάρτηται ἡ γραφή· ἐνδέχεται δὲ μηδὲ τὸ, Ὁποίως, ὀρθῶς ἔχειν, δέον φάναι, Ὅπως, καθάπερ ἐν ἀρχῇ τοῦ Πλαταϊκοῦ (§ 3) εἴρηκε, «Πειρατέον οὕτως, ὅπως ἂν δυνώμεθα, φανερὰν καταστῆσαι τὴν τούτων παρανομίαν.» — Αὐτῆς.) Οὕτω καὶ τὸ ἐμὸν, ἀντὶ τοῦ ἐν ταῖς ἀρχαίαις ἐκδόσεσιν, Αὐτῶν, ἢ, Αὐτοῖς.

§ 55. 2. Διελέχθην.) Οὕτως ὀρθῶς ὁ Οὔολφιος, καὶ συμφώνως τῷ ἐμῷ ἀντιγράφῳ, ἀντὶ τοῦ παρὰ τοῖς ἄλλοις, Διειλέχθην· ἐν γὰρ τοῖς τοιούτοις οἱ παρακείμενοι μόνοι καὶ οἱ ὑπερσυντελικοὶ τὴν αὔξησιν ἔχουσι διὰ διφθόγγου. — 3. Ἐκεῖνοι.) Ὅ,τε Θησεὺς, καὶ οἱ μετ᾽ ἐκεῖνον διοικήσαντες τὴν πόλιν μέχρι τῶν Περσικῶν, περὶ ὧν καὶ ἐν τοῖς πρόσθεν (σελ. 51 καὶ 259) διελέχθη. — 4. Διδάξαντες . . . ἅπερ κ. τ. λ.) Ἴσως, Ὅπερ, ἀντὶ τοῦ, Ἅπερ. Ὁ δὲ νοῦς, διδάξαντες διὰ τῆς αὐτῶν ὀρθῆς διοικήσεως τοῦθ᾽ ὅπερ (ἢ Ταῦθ᾽ ἅπερ) ἐγὼ εἴρηκα ὕστερον ἢ ἐκεῖνοι ἔπραξαν. Τί δ᾽ ἐστι τοῦτο; ὅτι πᾶσα πολιτεία κ. τ. λ. ὃ ταῖς αὐταῖς σχεδὸν λέξεσι καὶ ἀλλαχοῦ (§ 5.) εἴρηκε. — 5. Φανείην ἄν.) Προσέθηκα τὸν δυνητικὸν, καθὰ καὶ ἐν τοῖς ἑξῆς (§ 71.) εὕρηται γεγραμμένος. — 6. Ἢ κεῖνοι.) Οὕτω καὶ τὸ ἐμὸν ἀντίγραφον, ἀντὶ τοῦ Ἢ ἐκεῖνοι· οὐκ οἶδα εἰ ὀρθῶς.

οἷόν περ οἱ πρότερον ἐπιστατοῦντες αὐτῶν, καὶ μὴ λήσουσι σφᾶς αὐτοὺς κυρίους ἁπάντων τῶν κοινῶν καταστήσαντες, οἷς οὐδεὶς [ἂν] οὐδὲν[2] τῶν ἰδίων ἐπιτρέψειε, μηδὲ περιόψονται πρὸς τὰ τῆς πόλεως προσιόντας, τοὺς ὁμολογουμένως[3] ὄντας πονηρούς, μηδ' ἀνέξονται φωνὴν τῶν τὰ μὲν σώματα τὰ σφέτερ' αὐτῶν ἐπονειδίστως διατιθεμένων,[4] συμβουλεύειν δὲ τοῖς ἄλλοις ἀξιούντων, ὃν τρόπον τὴν πόλιν διοικήσουσι, καὶ ὅπως σωφρονεῖεν ἂν καὶ βέλτιον πράττοιεν, μηδὲ τῶν, ἃ μὲν παρὰ τῶν πατέρων παρέλαβον, εἰς αἰσχρὰς ἡδονὰς ἀναλωκότων,[5] ἐκ δὲ τῶν κοινῶν ταῖς ἰδίαις ἀπορίαις βοηθεῖν ζητούντων, μηδὲ τῶν πρὸς χάριν μὲν ἀεὶ λέγειν γλιχομένων, εἰς πολλὰς δ' ἀηδίας καὶ λύπας τοὺς πειθομένους ἐμβαλλόντων· ἀλλὰ τούς γε τοιούτους ἅπαντας ἀπείργειν ἀπὸ τοῦ συμβουλεύειν ἕκαστος οἰήσεται δεῖν, καὶ πρὸς τούτοις ἐκείνους, τοὺς τὰ μὲν τῶν ἄλλων κτήματα τῆς πόλεως εἶναι φάσκοντας, τὰ δὲ ταύτης ἴδια κλέπτειν καὶ διαρπάζειν τολμῶντας, καὶ φιλεῖν μὲν τὸν δῆμον προσποιουμένους,[6] ὑπὸ δὲ τῶν ἄλλων ἁπάντων αὐτὸν μισεῖσθαι ποιοῦντας, καὶ λόγῳ μὲν δεδιότας ὑπὲρ τῶν Ἑλλήνων, ἔργῳ δὲ λυμαινομένους, καὶ συκοφαντοῦντας,[7] καὶ διατιθέντας οὕτω πρὸς ἡμᾶς, ὥστε τῶν πόλεων τὰς εἰς τὸν πόλεμον καθισταμένας, ἥδιον ἂν καὶ θᾶττον ἐνίας εἰσδέξασθαι τοὺς πολιορκοῦντας, ἢ τὴν παρ' ἡμῶν

§ 56. 2. Οἷς οὐδεὶς ἂν οὐδὲν κ. τ. λ.) Ἐθεράπευσα τὸν σολοικισμὸν τῇ προσθήκῃ τοῦ, Ἄν· ἔτρεψα δὲ καὶ τὸ, Οὐδὲ, εἰς τὸ, Οὐδὲν, περιγράψας τὸ ἑπόμενον, Τι, οὐ φερόμενον τὴν ἀρχὴν ἐν τῷ ἐμῷ ἀντιγράφῳ, προστεθὲν δὲ ὀψιαίτερον ὑφ' ἑτέρας χειρός. Δῆλον δὲ καὶ ἐξ ὧν εἴρηκεν ἀλλαχοῦ (σελ, 169) ταὐτὰ ταῦτα ἐπιτιμῶν τοῖς Ἀθηναίοις, «Οἷς οὐδεὶς »ἂν τῶν ἰδίων οὐδὲν ἐπιτρέψειεν,» καὶ παρακατιὼν (Αὐτ.) «Οἷς δ' οὐδεὶς ἂν »οὔτε περὶ τῶν ἰδίων, οὔτε περὶ τῶν »κοινῶν, συμβουλεύσαιτο.» Οἱ δὲ Κωμικοὶ σφοδροτέραν ἔτι τὴν κατὰ τῆς Ἀθηναίων ἀνοίας, ἢ μᾶλλον εἰπεῖν μανίας, ἐπιτίμησιν ταύτην, ἕνεκα τοῦ γελοίου, ἐξήνεγκαν, Ἀριστοφάνης μὲν (Νεφ. 732), εἰπὼν,

. . . . . Οἷσιν ἡ πόλις πρὸ τοῦ,
Οὐδὲ φαρμακοῖσιν εἰκῆ ῥᾳδίως ἐχρήσατ' ἄν.

Εὔπολις δὲ πρὸ αὐτοῦ (παρὰ Ἀθήν. σελ. 425),

Οὓς δ' οὐκ ἂν εἵλεσθ' οὐδ' ἂν οἰνόπτας πρὸ τοῦ,
Νυνὶ στρατηγοὺς λεύσσομεν. Ὦ πόλις, πόλις,
Ὡς εὐτυχὴς εἶ μᾶλλον, ἢ καλῶς φρονεῖς.

ἐν οἷς ὅρα καὶ πάλιν τὸν δυνητικὸν ἐξ ἀνάγκης παραλαμβανόμενον. — 3. Ὁμολογουμένως.) Οὕτως ἐπιῤῥηματικῶς καὶ τὸ ἐμὸν, καθὰ καὶ ὁ Λάγγιος, ἐξ ἑτέρου ἀντιγράφου παρειληφὼς κἀκεῖνος, ἀντὶ τοῦ παρὰ τοῖς ἄλλοις, Ὁμολογουμένους. — 4. Τὰ μὲν σώματα . . . ἐπονειδίστως διατιθεμένων.) Τουτέστι πωλούντων· λέγει δὲ τοὺς ἑταιροῦντας, οἷς ἦν Τίμαρχος, καθ' οὗ ἔγραψεν Αἰσχίνης τὸν Κατὰ Τιμάρχου ἐπιγραφόμενον λόγον, καὶ ἕτεροι. Ὁ δὲ Κωμικὸς, καὶ δριμύτερον καθάπτεται, διὰ τοὺς τοιούτους, τῶν Ἀθηναίων (Ἀριστοφ. Νεφ. 1089-1104), αἰσχροῖς μὲν, ἀληθέσι δ' ὡς οὐκ ὤφελε, χρώμενος τοῖς ῥήμασι. — 5. Ἀναλωκότων.) Εἰς τοῦτ' ἔτρεψα τὸ, Ἀνηλωκότων, διὰ τὴν Ἀττικὴν χρῆσιν. — 6. Φιλεῖν μὲν τὸν δῆμον προσποιουμένους.) Ἔπιθι τὰ ἐν τοῖς πρόσθεν (σελ. 141), σημειωθέντα μοι ἐκ τοῦ Κωμικοῦ. — 7. Καὶ συκοφαντοῦντας.) Ἐσυκοφάντουν γὰρ οἱ δημαγωγοὶ τῶν Ἀθηναίων τοὺς συμμάχους, ἵνα δωροδοκεῖν ἔχοιεν· περὶ ὧν ἔπιθι ἅπερ ἐν τοῖς πρόσθεν (σελ. 143) παρεθέμεθα ἐκ τοῦ Κωμικοῦ.

βοήθειαν. Ἄπειποι δ' ἄν τις γράφων, εἰ πάσας τὰς κακοηθείας, καὶ πονηρίας ἐξαριθμεῖν ἐπιχειρήσειεν.

§ 57. Ἃς ἐκεῖνοι μισήσαντες, καὶ τοὺς ἔχοντας αὐτὰς, ἐποιοῦντο συμβούλους καὶ προστάτας οὐ τοὺς τυχόντας, ἀλλὰ τοὺς φρονιμωτάτους καὶ βελτίστους, καὶ κάλλιστα βεβιωκότας, καὶ τοὺς αὐτοὺς τούτους στρατηγοὺς ᾑροῦντο, καὶ πρέσβεις, εἴποτε δεήσειεν, ἔπεμπον, καὶ πάσας τὰς ἡγεμονίας τὰς τῆς πόλεως αὐτῆς παρεδίδοσαν, νομίζοντες, τοὺς ἐπὶ τοῦ βήματος βουλομένους[2] καὶ δυναμένους τὰ βέλτιστα συμβουλεύειν, τούτους καὶ[3] καθ' ἑαυτοὺς γενομένους, ἐν πᾶσι τοῖς τόποις, καὶ περὶ ἁπάσας τὰς πράξεις, τὴν αὐτὴν γνώμην ἕξειν· ὅπερ αὐτοῖς καὶ συνέβαινεν.

§ 58. Διὰ γὰρ τὸ ταῦτα γιγνώσκειν, ἐν ὀλίγαις ἡμέραις ἑώρων τούς τε νόμους ἀναγεγραμμένους,[2] οὐχ ὁμοίως[3] τοῖς νῦν κειμένοις, οὐδὲ τοσαύτης ταραχῆς, καὶ τοσούτων ἐναντιώσεων μεστοὺς, ὥστε μηδέν' ἂν [συνιδεῖν] δυνηθῆναι[4] μήτε τοὺς χρησίμους, μήτε

---

§ 57. 2. Βουλομένους.) Τὸ ἐμὸν ἀντίγραφον, καθὰ καὶ τὰ πλεῖστα τῶν πρὸ ἐμοῦ, καὶ αἱ πρὸ τοῦ Οὐόλφιου ἐκδόσεις, Βουλευομένους. — 3. Τούτους καί.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ἀντὶ τοῦ παρὰ τοῖς ἄλλοις, Τούτους δὲ καί. Ὅτι δὲ περιττὸς ὁ, Δὲ, δηλοῖ καὶ τὸ ἐν τῷ Συμμαχικῷ (σελ. 169) παραπλήσιον χωρίον.

§ 58. 2. Ἐν ὀλίγαις ἡμέραις ἑώρων τούς τε νόμους ἀναγεγραμμένους.) Τῆς Ἀθήνησι πολιτείας ἀεὶ καὶ μᾶλλον ἐπὶ τὸ χεῖρον ἐπιδιδούσης, διὰ τὸ πλῆθος τῶν νόμων, καὶ τὴν ἐπισυμβαίνουσαν ἐκ τοῦ πλήθους ἐναντίωσιν αὐτῶν καὶ ταραχὴν, οἱ Ἀθηναῖοι εἰς ἀνάγκην πολλάκις καθίσταντο ἀναγραφὴν ποιεῖσθαι τῶν νόμων. Τοῦτο δ' ἦν ἄνδρας αἱρεῖσθαι, οἵτινες ἐξετάσαντες τοὺς νόμους, τοὺς μὲν ἀχρήστους ἀκύρους ἐποίουν, τῶν δὲ περὶ τοῦ αὐτοῦ πράγματος ἐναντίων κειμένων δύο νόμων ἕνα κύριον ἀπεδείκνυον, καταλυομένου θατέρου. Καὶ δὴ τοιαύτης ἀναγραφῆς παράδειγμα εὕρηται παρὰ τῷ Λυσίᾳ (κατὰ Νικομάχ. σελ. 837), ὃς Νικομάχου τινὸς, νόμων ἀναγραφέως ἀποδειχθέντος, κατηγορῶν λέγει, «Προσταχθὲν γὰρ αὐτῷ »τεσσάρων μηνῶν ἀναγράψαι τοὺς νό»μους τοῦ Σόλωνος, ἀντὶ μὲν Σόλωνος, »αὐτὸν νομοθέτην κατέστησεν, ἀντὶ δὲ »τεττάρων μηνῶν ΕΞΑΕΤΗ τὴν ἀρχὴν »ἐποιήσατο· καθ' ἑκάστην δ' ἡμέραν »ἀργύριον λαμβάνων, τοὺς μὲν ἐνέγρα»φε, τοὺς δὲ ἐξήλειφεν· εἰς τοῦτο δὲ »κατέστημεν, ὥστε ἐκ τῆς τούτου χει»ρὸς τεταμιεύμεθα τοὺς νόμους, καὶ οἱ »ἀντίδικοι ἐπὶ τοῖς δικαστηρίοις ἐναν»τίους παρείχοντο (ἴσ. παρέχονται), ἀμ»φότεροι παρὰ Νικομάχου φάσκοντες »εἰληφέναι.» Παραπλήσιον δὲ τούτοις καὶ τὸ παρὰ τῷ Δημοσθένει (πρὸς Λεπτίν. σελ. 484) «Τοσοῦτοι μὲν οἱ »ἐναντίοι σφίσιν αὐτοῖς εἰσὶ νόμοι, ὥστε »χειροτονεῖτε ὑμεῖς τοὺς διαλέξοντας »τοὺς ἐναντίους ἐπὶ ΠΑΜΠΟΛΥΝ ἤδη »ΧΡΟΝΟΝ καὶ τὸ πρᾶγμα οὐδὲν μᾶλλον »δύναται πέρας σχεῖν.» Οὐκ ὤκνησα διὰ μακροτέρων ἐκθεῖναι τὰ τοῦ Λυσίου καὶ Δημοσθένους περὶ τῆς τῶν νόμων ἀναγραφῆς καὶ διαλέξεως, διὰ τὸ ἑρμηνεύειν τὸ προκείμενον Ἰσοκράτους χωρίον, καὶ ἐν μέρει ἑρμηνεύεσθαι ἐκ τούτου. — 3. Οὐχ ὁμοίως.) Ἴσως γραπτέον, Οὐχ ὁμοίους. — 4. Μηδέν' ἂν συνιδεῖν δυνηθῆναι κ. τ. λ.) Παρ' ἅπασι φέρεται, »Μηδὲν ἂν δυνηθῆναι.» ὅπερ διώρθωκα τῇ τροπῇ τοῦ, Μηδὲν, εἰς τὸ, Μηδέν' (ταυτέστι, Μηδένα), καὶ τῇ προσθήκῃ τοῦ, Συνιδεῖν. Ὅτι μὲν οὖν οὐκ ἔῤῥωτο τὸ χωρίον συνῆκε καὶ Οὔλφιος, ὃς παρῄνει καὶ τὸ, Μηδὲν, εἰς τὸ, Μηδένα, τρέπειν, καὶ προστιθέναι μετὰ τὸ ἐπαγόμενον, Αὐτῶν, ἀπαρέμφατόν τι ῥῆμα, τῶν γνωστικῶν καλουμένων, οἷον τὸ, Διαγινώσκειν. Ὅτι δὲ ἁπλουστέρα πολὺ ἡ ἡμετέρα διόρθωσις, δῆλον μὲν καὶ ἐκ τῆς τῶν στοιχείων ὁμοιότητος (ΜΗΔΕΝ ΑΝ ΔΥΝΗΘΗΝΑΙ, καὶ ΜΗΔΕΝ' ΑΝ ΣΥΝΙΔΕΙΝ ΔΥΝΗΘΗΝΑΙ), δῆλον δὲ καὶ

τοὺς ἀχρήστους αὐτῶν· ἀλλὰ πρῶτον μὲν ὀλίγους, ἱκανοὺς δὲ τοῖς χρῆσθαι μέλλουσι, καὶ ῥᾳδίους συνιδεῖν·[5] ἔπειτα δικαίους καὶ συμφέροντας, καὶ σφίσιν αὐτοῖς ὁμολογουμένους, καὶ μᾶλλον ἐσπουδασμένους τοὺς περὶ τῶν κοινῶν ἐπιτηδευμάτων, ἢ τοὺς περὶ τῶν ἰδίων συμβολαίων, οἵουςπερ εἶναι χρὴ παρὰ τοῖς καλῶς πολιτευομένοις. Περὶ δὲ τοὺς αὐτοὺς χρόνους καθίστασιν ἐπὶ τὰς ἀρχὰς τοὺς προκριθέντας ὑπὸ τῶν συμφυλετῶν, καὶ τῶν δημοτῶν,[6] οὐ περιμαχήτους αὐτὰς ποιήσαντες, οὐδ᾽ ἐπιθυμίας ἀξίας, ἀλλὰ πολὺ μᾶλλον λειτουργίαις ὁμοίας ταῖς ἐνοχλούσαις μὲν οἷς ἂν προσταχθῶσι, τιμὴν δέ τινα προστιθείσαις αὐτοῖς· ἔδει γὰρ τοὺς ἄρχειν αἱρεθέντων, τῶν τε κτημάτων τῶν ἰδίων ἀμελεῖν, καὶ τῶν λημμάτων[7] τῶν εἰθισμένων δίδοσθαι ταῖς ἀρχαῖς ἀπέχεσθαι μηδὲν ἧττον, ἢ τῶν ἱερῶν· ἃ τίς ἂν ἐν τοῖς νῦν καθεστῶσιν ὑπομείνειε; Καὶ τοὺς μὲν ἀκριβεῖς περὶ ταῦτα[8] γιγνομένους[9] μετρίως ἐπαινεθέντας, ἐφ᾽ ἑτέραν[10] ἐπιμέλειαν[11] τάττεσθαι τοιαύτην, τοὺς δὲ καὶ μικρὸν παραβάντας ταῖς ἐσχάταις αἰσχύναις καὶ μεγίσταις ζημίαις περι-

---

ἐκ τοῦ ἐπαγομένου μετ᾽ ὀλίγα αὐτοῦ τούτου Συνιδεῖν.) — 5. Ῥᾳδίους συνιδεῖν.) Ἐκ διορθώσεως Οὐολφίου τὸ, Ῥᾳδίους, ἣν ἀπεδέξαντο καὶ οἱ μετ᾽ αὐτὸν, πλὴν Λαγγίου, ὃς προείλετο τὴν ἡμαρτημένην γραφὴν, Ῥᾳδίως. — 6. Ὑπὸ τῶν συμφυλετῶν καὶ τῶν δημοτῶν.) Ὤφειλε εἰπεῖν, Φυλετῶν, ὡς Δημοτῶν, καθὰ λέγειν φιλοῦσιν οἱ Ἀττικοί· ἐν γὰρ τῷ, Πολίτης, Δημότης, Φυλέτης, Ἡλικιώτης, ἡ μὲν πλείων χρῆσις τῶν δοκίμων ἀποστρέφεται τὴν πρόθεσιν, ἐνίοτε δὲ καὶ μετὰ προθέσεως εὕρηται, οἷόν ἐστι τὸ, Ξυμπολῖται, παρ᾽ Εὐριπίδῃ (Ἡρακλειδ. 826). Οἱ μεταγενέστεροι μέντοι τὰ σύνθετα προείλοντο· ἢ δῆλον καὶ ἐκ τῶν ἐπιστολῶν Παύλου τοῦ Ἀποστόλου, ἐν αἷς εὕρηται καὶ ὁ Συμφυλέτης, καὶ ὁ Συνηλικιώτης καὶ ὁ Συμπολίτης, ὧν τὰ τελευταῖα δύο ἐτώσε καὶ ἡ συνήθεια. Ἡ αὐτὴ δὲ συνήθεια καὶ Συμπατριώτην καὶ Συντοπίτην συνωνύμως καλεῖ τὸν Συμπολίτην· ὧν τῷ μὲν Ἄρχιππος ἐχρήσατο ὁ Κωμικὸς, ὥς φησι Πολυδεύκης· τὸ δὲ Συντοπίτης, παρὰ τὸ, Τόπος, συντέθειται, ὅπερ ἀπ᾽ αὐτῶν ἤδη τῶν Πτολεμαϊκῶν χρόνων, ὡς ἐν τοῖς πρόσθεν (σελ. 79) εἰρήκαμεν, τὴν πόλιν ἢ τὴν πατρίδα σημαίνειν ἐξενίκησεν, ἢ δῆλον ἐκ τοῦ, «Ἵνα ἀπέλθω »εἰς τὸν τόπον μου καὶ εἰς τὴν γῆν »μου» τῶν Ἑβδομήκοντα (Γενεσ. Λ, 25). — 7. Λημμάτων.) Δώρων, ὥς φησιν Ἡσύχιος. Παρ᾽ ἅπασιν ἀδιανοήτως φέρεται Πλημμελημάτων, πλὴν ἑνὸς ἀντιγράφου τοῦ παρὰ τῷ Οὐολφίῳ, ἐν ᾧ γράφεται, Λημμάτων, ὃ καλῶς ποιῶν παρέλαβε καὶ ὁ Λάγγιος, πιστούμενος ἄλλως, καὶ ἐκ παραπλησίου χωρίου τοῦἐν τῷ Ἀρειοπαγιτικῷ (§ 9). Ὁ Αὔγηρος ἔγραψε, Πλεονεκτημάτων, ἐξ εἰκασίας τοῦ Οὐολφίου. — 8. Περὶ ταῦτα.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ᾧ συνᾴδει καὶ τὸ τοῦ Λαγγίου, ἀντὶ τοῦ, Περὶ ταύτας. — 9. Γιγνομένους.) Ἴσως, Γενομένους, διὰ τὸ ἐπαγόμενον, Παραβάντας. — 10. Ἐφ᾽ ἑτέραν.) Οὕτως ὁ Λάγγιος ἐκ διορθώσεως Οὐολφίου, ἀντὶ τοῦ παρὰ τοῖς λοιποῖς ἡμαρτημένου, Ὑφ᾽ ἑτέραν. — 11. Ἐπιμέλειαν.) Συνωνύμως τῷ, Ἀρχὴν, ἐνταῦθα. Κατὰ δὲ τὸ ἀκριβὲς, διαφέρει ἡ Ἐπιμέλεια τῆς Ἀρχῆς τῷ τὴν μὲν ἀρχὴν χειροτονητὴν εἶναι ὑπὸ τοῦ δήμου ἐν ταῖς ἀρχαιρεσίαις, τὴν δὲ ἐπιμέλειαν, διακονίαν πρὸς βραχύν τινα χρόνον προστεταγμένην κατὰ ψήφισμα, καθὰ καὶ παρὰ τοῖς Γάλλοις διαφέρει ἡ καλουμένη Charge, ἀρχή τις οὖσα, τῆς λεγομένης Commission, τουτέστιν ἐπιμελείας. Ταύτην δὲ τὴν διαφορὰν καὶ Αἰσχίνης διώρισεν ἐν τῷ κατὰ Κτησιφῶντος (σελ. 398-403), ὅπου καὶ ταῦτά φησιν, «Ὅσα τις αἱρετὸς ὢν »πράττει κατὰ ψήφισμα, οὐκ ἔστι ταῦτα »ἀρχὴ, ἀλλ᾽ ἐπιμέλειά τις καὶ διακονία.» Εἴρηται δὲ ταῦτα διὰ μακροτέρων, ἵνα διορθοῦν ἔχοιμεν ἐν παρόδῳ καὶ τὸν Πολύαινον (Στρατηγημ. ς, θ´, 3) ἐν οἷς

πίπτειν· ὥστε μηδένα τῶν πολιτῶν, ὥσπερ νῦν, διακεῖσθαι πρὸς τὰς ἀρχὰς, ἀλλὰ μᾶλλον τὸ ταύτας φεύγειν ἡδὺ ἢ διώκειν [εἶναι[12]], καὶ πάντας νομίζειν μηδέποτ' ἂν γενέσθαι δημοκρατίαν ἀληθεστέραν, μηδὲ μᾶλλον τῷ πλήθει συμφέρουσαν, τῆς τῶν μὲν τοιούτων πραγματειῶν ἀτέλειαν τῷ δήμῳ διδούσης, τοῦ δὲ τὰς ἀρχὰς καταστῆσαι, καὶ δίκην λαβεῖν παρὰ τῶν ἐξαμαρτανόντων κύριον ποιούσης· ἅπερ ὑπάρχει καὶ τῶν τυράννων τοῖς εὐδαιμονεστάτοις.

§ 59. Σημεῖον δὲ μέγιστον, ὅτι ταῦτ' ἠγάπων μᾶλλον, ἃ ἐγὼ λέγω· φαίνεται γὰρ ὁ δῆμος, ταῖς μὲν ἄλλαις πολιτείαις ταῖς οὐκ ἀρεσκούσαις[2] μαχόμενος, καὶ καταλύων, καὶ τοὺς προεστῶτας αὐτῶν ἀποκτείνων, ταύτῃ δὲ χρώμενος οὐκ ἔλαττον χιλίων ἐτῶν,[3] ἀλλ' ἐμμείνας, ἀφ' οὗ παρέλαβε, μέχρι τῆς Σόλωνος μὲν ἡλικίας, Πεισιστράτου δὲ δυναστείας, ὃς δημαγωγὸς γενόμενος, καὶ πολλὰ τὴν πόλιν λυμηνάμενος, καὶ τοὺς βελτίστους τῶν πολιτῶν, ὡς ὀλιγαρχικοὺς ὄντας, ἐκβαλὼν, τελευτῶν τόν τε δῆμον κατέλυσε, καὶ τύραννον ἑαυτὸν κατέστησε.

§ 60. Τάχ' οὖν ἄν τινες ἄτοπον εἶναί με φήσειαν (οὐδὲν γὰρ κωλύει διαβαλεῖν τὸν λόγον), ὅτι τολμῶ λέγειν, ὡς ἀκριβῶς εἰδὼς, περὶ πραγμάτων, οἷς οὐ παρῆν πραττομένοις. Ἐγὼ δὲ οὐδὲν τούτων ἄλογον οἶμαι ποιεῖν. Εἰ γὰρ μόνος ἐπίστευον τοῖς τε λεγομένοις περὶ τῶν παλαιῶν, καὶ τοῖς γράμμασι τοῖς ἐξ ἐκείνου τοῦ χρόνου παραδεδομένοις ἡμῖν, εἰκότως ἂν ἐπιτιμῴμην· νῦν δὲ πολλοὶ καὶ νοῦν ἔχοντες ταὐτὸν ἐμοὶ φανεῖεν ἂν πάσχοντες. Χωρὶς δὲ τούτων, εἰ κατασταίην εἰς ἔλεγχον, δυνηθείην ἂν ἐπιδεῖξαι πάντας ἀνθρώπους πλείους ἐπιστήμονας ἔχοντας διὰ τῆς ἀκοῆς ἢ τῆς ὄψεως, καὶ μείζους πράξεις καὶ καλλίους εἰδότας, ἃς παρ' ἑτέρων ἀκηκόασιν, ἢ κείνας, αἷς[2] αὐτοὶ παραγιγνόμενοι τυγχάνουσιν. Ἀλλὰ γὰρ

περὶ Λεύκωνος φησὶ, «Τοῖς δὲ οἰκείοις »τῶν ὑπόπτων ἀρχὰς καὶ ΕΠΙΓΕΛΕΙΑΣ »ἐνεχείριζε κωμῶν ὡς δὴ φιλοφρόνως »ἔχων πρὸς αὐτοὺς,» γράφοντες, ΕΠΙΜΕΛΕΙΑΣ. — 12. Φεύγειν ἡδὺ ἢ διώκειν εἶναι.) Προσέθηκα τὸ, Εἶναι, εἰς ἀπαρτισμὸν τῆς φράσεως λεῖπον παρ' ἅπασιν. Ὁ δ' Αὐγῆρος τὸ αὐτὸ τοῦτο ἀπαρέμφατον προσυπακουστέον εἶναί φησι κατ' ἔλλειψιν, ἢ γοῦν τὸ Δοκεῖν. Ἄμεινον μέντοι τὸ ἀνελλιπές. Ἔστι δὲ καὶ οὕτως διορθοῦν· Φεύγειν ΗΔΥ ΔΟΚΕΙΝ Η ΔΙΩΚΕΙΝ, κατὰ παρήχησίν τινα ῥηματικήν.

§ 59. 2. Ταῖς μὲν ἄλλαις πολιτείαις ταῖς οὐκ ἀρεσκούσαις κ. τ. λ.) Λείπει τὸ δεύτερον ἄρθρον ἐν τῇ Ἀλδείᾳ ἐκδόσει, ἐν τῷ τοῦ Ἄγγλου ἐκδότου ἀντιγράφῳ, ἐν ἑνὶ τῶν τοῦ Αὐγήρου, καὶ ἐν τῷ ἐμῷ. — 3. Οὐκ ἔλαττον χιλίων ἐτῶν.) Οὐκ ἀπιθάνως ὁ Μεύρσιος (Τύχ. Ἀθήν. κεφ. 10) Ἑξακοσίων, γραπτέον εἶναί φησιν ἀντὶ τοῦ, Χιλίων· καὶ γὰρ τοσαῦτα μάλιστα ἀριθμοῦνται ἔτη ἀπὸ Θησέως μέχρι Πεισιστράτου. Τὸ δὲ γραφικὸν ἁμάρτημα (εἰ μή τις μᾶλλον Ἰσοκράτην οὕτω γράψαι διὰ μνήμης ἁμαρτίαν ὑπολάβοι) εἰκὸς ἐκ τοῦ ἀρχικοῦ στοιχείου Χ γεννηθῆναι· τούτῳ γὰρ τοῦ πρώτου γράψαντος τὸν Ἑξακόσια ἀριθμὸν βουληθέντος δηλῶσαι, ἐπελθὼν ἕτερος, εἰς τὴν λέξιν Χίλια μετεποίησεν αὐτό.

§ 60. 2. Ἢ κείνας, αἷς.) Οὕτω τὸ ἐμὸν ἀντίγραφον, ὡς ἔγραψε καὶ ὁ Λάγγιος ἐκ διορθώσεως Οὐολφίου, ἀντὶ τοῦ, Ἢ κείναις, αἷς, τοῦ τε Στεφάνου καὶ

οὔτ' ἀμελεῖν καλῶς ἔχει τῶν τοιούτων ὑπολήψεων[3] (τυχὸν γὰρ μηδενὸς ἀντειπόντος λυμήναιντ' ἂν τὴν ἀλήθειαν), οὔτ' αὖ πολὺν χρόνον ἀντιλέγοντας διατρίβειν ἐν αὐταῖς, ἀλλ' ὅσον ὑποδείξαντας μόνον τοῖς ἄλλοις, ἐξ ὧν ληροῦντας αὐτοὺς ἂν ἐπιδείξαιεν, πάλιν ἐπανελθόντας λέγειν, καὶ περαίνειν[4] ὅθεν ἀπέλιπον· ὅπερ ἐγὼ ποιήσω.

§ 61. Τὸ μὲν οὖν σύνταγμα τῆς τότε πολιτείας, καὶ τὸν χρόνον ὅσον αὐτῇ χρώμενοι διετελέσαμεν, ἐξαρκούντως δεδήλωται.[2] Λοιπὸν δὲ ἡμῖν τὰς πράξεις, τὰς ἐκ τοῦ πολιτεύεσθαι καλῶς γεγενημένας, διελθεῖν. Ἐκ τούτων γὰρ μᾶλλον ἔσται καταμαθεῖν, ὅτι καὶ τὴν πολιτείαν εἶχον ἡμῶν οἱ πρόγονοι βελτίω τῶν ἄλλων, καὶ σωφρονεστέραν, καὶ προστάταις καὶ συμβούλοις ἐχρῶντο τοιούτοις, οἵοις[3] χρὴ τοὺς εὖ φρονοῦντας.

§ 62. Οὐ μὴν οὐδὲ ταῦτά μοι πρότερον λεκτέον ἐστὶ, πρὶν ἂν μικρὰ προείπω περὶ αὐτῶν. Ἢν γὰρ, ὑπεριδὼν τὰς ἐπιτιμήσεις τὰς τῶν οὐδὲν ἄλλο ποιεῖν ἢ τοῦτο δυναμένων, ἐφεξῆς διηγῶμαι, περί τε τῶν ἄλλων τῶν πεπραγμένων, καὶ τῶν ἐπιτηδευμάτων τῶν περὶ τὸν πόλεμον, οἷς οἱ πρόγονοι χρώμενοι, τῶν τε βαρβάρων περιεγένοντο, καὶ παρὰ τοῖς Ἕλλησιν εὐδοκίμησαν, οὐκ ἔστιν ὅπως οὐ φήσουσί τινές με διεξιέναι τοὺς νόμους, οὓς Λυκοῦργος μὲν ἔθηκε, Σπαρτιᾶται δ' αὐτοῖς χρώμενοι τυγχάνουσιν.

§ 63. Ἐγὼ δ' ὁμολογῶ μὲν ἐρεῖν πολλὰ τῶν καθεστώτων ἐκεῖ, οὐχ ὡς Λυκούργου τι τούτων εὑρόντος, ἢ διανοηθέντος, ἀλλ' ὡς μιμησαμένου τὴν διοίκησιν ὡς δυνατὸν ἄριστα τὴν τῶν προγόνων τῶν ἡμετέρων, καὶ τήν τε δημοκρατίαν καταστήσαντος παρ' αὐτοῖς, τὴν ἀριστοκρατίᾳ μεμιγμένην, ἥπερ ἦν παρ' ἡμῖν· καὶ τὰς ἀρχὰς οὐ κληρωτὰς, ἀλλ' αἱρετὰς ποιήσαντος· καὶ τὴν

---

τοῦ Αὐγήρου, ἢ, Ἢ κείναις, οἷς τῶν ἀρχαίων ἐκδόσεων. — 3 Ὑπολήψεων.) Ἀντιλογιῶν, ἀντιῤῥήσεων. — 4. Περαίνειν.) Κακῶς ἐν τῷ ἐμῷ, καθὰ καὶ ἐν τοῖς πρὸ ἐμοῦ ἀντιγράφοις, πλὴν ἑνὸς, γράφεται, Παραινεῖν.

§ 61. 2. Τὸν χρόνον ὅσον . . . δεδήλωται.) Δέον εἰπεῖν, Δεδήλωκα, διὰ τὴν αἰτιατικὴν, ἢ ταύτην μεταβαλόντα, Ὁ χρόνος, ὅσον . . . δεδήλωται, ὁ δὲ καινοπρεπῶς ἐσχημάτισε τὸ λεγόμενον, οὗ τὸ ἑξῆς, «Δεδήλωται ὅσον χρό»νον αὐτῇ χρώμενοι διετελέσαμεν·» ὅμοιον τῷ ἐν τῷ πρὸς Νικοκλέα, «Τῶν »ἐπιτηδευμάτων, ὧν χρὴ στοχάζεσθαι » . . . ἐγὼ πειράσομαι διελθεῖν» περὶ οὗ ἀρκούντως εἰρήκαμεν ἐν τοῖς πρόσθεν (σελ. 14). — 3. Οἵοις.) Παρ' ἅπασιν, ὡς καὶ ἐν τῷ ἐμῷ ἀντιγράφῳ, Οἵους, κατ' αἰτιατικὴν, πλὴν τῆς μικρᾶς Οὐολφίου ἐκδόσεως, ἐν ᾗ φέρεται, Οἵοις. Ταύτην δὲ τὴν γραφὴν ἡμαρτημένην εἶναι φάσκοντι τῷ Λαγγίῳ πείθεσθαί με κωλύει τὸ ἀπὸ κοινοῦ ἐπαναλαμβανόμενον ῥῆμα· ἔστι γὰρ ὁ νοῦς, Συμβούλοις ἐχρῶντο τοιούτοις, οἵοις χρῆσθαι προσήκει τοὺς εὖ φρονοῦντας. Ἔστι δὲ τοῦτο παραπλήσιον τῷ εἰρημένῳ ἐν τῷ Ἀρχιδάμῳ (σελ. 133), «Τοιαύταις βλα»σφημίαις χρωμένων, οἵαισπερ εἰκὸς »τοὺς κ. τ. λ.»· ἐπίσης γὰρ ἂν σόλοικον ἦν ἐκεῖ τὸ, Οἵαισπερ, ὡς ἐν τῷ προκειμένῳ χωρίῳ τὸ Οἵους. Καὶ τί δεῖ πλείω λέγειν περὶ τῶν ἐξ ἀνάγκης τοιούτων συντάξεων; ὅπου γε, καὶ ἐν αἷς οὐδεμία ἀνάγκη, οἱ Ἀττικοὶ φιλοῦσι τὰ ἀναφορικὰ μόρια ὁμοιοπτώτως ταῖς πρὸς ἃ ἀναφέρονται ἐκφέρειν, κἂν εἰ ἐπιφέροιτο ῥῆμα ἑτέραν ἀπαιτοῦν πτῶσιν, οἷόν ἐστι τὸ ἐν τῷ Εὐαγόρᾳ (σελ. 198) «Ἂν μή τις αὐτὰς διοικῇ τοιούτοις »ἤθεσιν, οἵοις Εὐαγόρας μὲν εἶχεν κτλ.»

τῶν γερόντων αἵρεσιν,[2] τῶν ἐπιστατούντων ἅπασι τοῖς πράγμασι, μετὰ τοσαύτης σπουδῆς ποιεῖσθαι νομοθετήσαντος, μεθ' ὅσης περ φασὶ καὶ τοὺς ἡμετέρους περὶ τῶν εἰς Ἄρειον πάγον[3] ἀναβήσεσθαι μελλόντων· ἔτι δὲ καὶ τὴν δύναμιν αὐτοῖς περιθέντος τὴν αὐτὴν, ἥνπερ ᾔδει καὶ τὴν βουλὴν ἔχουσαν τὴν παρ' ἡμῖν.

§ 64. Ὅτι μὲν οὖν τὸν αὐτὸν τρόπον τἀκεῖ καθέστηκεν, ὥσπερ εἶχε τὸ παλαιὸν καὶ τὰ παρ' ἡμῖν, παρὰ πολλῶν ἐστι[2] πυθέσθαι τοῖς εἰδέναι βουλομένοις· ὡς δὲ καὶ τὴν ἐμπειρίαν τὴν περὶ τὸν πόλεμον, οὐ πρότερον ἤσκησαν, οὐδ' ἄμεινον ἐχρήσαντο Σπαρτιᾶται τῶν ἡμετέρων, ἐκ τῶν ἀγώνων, καὶ τῶν πολέμων, καὶ τῶν ὁμολογημένων γενέσθαι κατ' ἐκεῖνον τὸν χρόνον, οὕτως οἶμαι σαφῶς ἐπιδείξειν, ὥστε μηδὲ τοὺς ἀνοήτως λακωνίζοντας ἀντειπεῖν δυνήσεσθαι τοῖς ῥηθεῖσι, μήτε τοὺς ἅμα τε θαυμάζοντας, καὶ βασκαίνοντας, καὶ μιμεῖσθαι γλιχομένους.

§ 65. Ποιήσομαι δὲ τὴν ἀρχὴν τῶν λεχθησομένων, ἀκοῦσαι μὲν ἴσως τισὶν ἀηδῆ, ῥηθῆναι δ' οὐκ ἀσύμφορον. Εἰ γάρ τις φαίη τὼ πόλεε ταύτα πλείστων ἀγαθῶν αἰτίας γεγενῆσθαι τοῖς Ἕλλησι, καὶ μεγίστων κακῶν, μετὰ τὴν Ξέρξου στρατείαν, οὐκ ἔστιν ὅπως οὐκ ἀληθῆ δόξειεν ἂν λέγειν τοῖς εἰδόσι τι[2] περὶ τῶν τότε γεγενημένων. Ἠγωνίσαντό τε γὰρ ὡς δυνατὸν ἄριστα πρὸς τὴν ἐκείνου δύναμιν, ταῦτά τε πράξασαι, προσῆκον αὐταῖς καὶ περὶ τῶν ἐχομένων[3] βουλεύσασθαι καλῶς, εἰς τοῦτ' ἦλθον οὐκ ἀνοίας, ἀλλὰ μανίας, ὥστε πρὸς μὲν τὸν ἐπιστρατεύσαντα καὶ βουληθέντα τὼ μὲν πόλεε τούτω[4] παντάπασιν ἀνελεῖν, τοὺς δὲ ἄλλους Ἕλληνας καταδουλώσασθαι, πρὸς μὲν τὸν τοιοῦτον,[5] κρατήσασαι ῥᾳδίως ἂν αὐτοῦ, καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, εἰρήνην εἰς ἅπαντα τὸν χρόνον συνεγράψαντο, ὥσπερ πρὸς εὐεργέτην γεγενημένον· φθονήσασαι δὲ ταῖς ἀρεταῖς ταῖς ἑαυτῶν,[6] εἰς πόλεμον καταστᾶσαι πρὸς ἀλλήλας, καὶ φιλονεικίαν,

---

§ 63. 2. Τὴν τῶν γερόντων αἵρεσιν.) Περὶ ὧν ἔπιθι τὰ ἀλλαχοῦ (Πρόδρ. Ἑλλ. Βιβλιοθ. σελ. 377) σημειωθέντα μοι· οἷς προστίθητι καὶ ἃ φησι Δημοσθένης (Πρὸς Λεπτίν. σελ. 489) περὶ τῆς παρὰ Λακεδαιμονίοις Γερουσίας. — 3. Περὶ τῶν εἰς Ἄρειον πάγον κ. τ. λ.) Περὶ ὧν καὶ ἀλλαχοῦ (Ἀρειοπαγιτ. § 15) ἐμνημόνευσεν ὁ Ῥήτωρ.

§ 64. 2. Παρὰ πολλῶν ἐστι.) Ἐν τῷ ἐμῷ ἀντιγράφῳ, Παρὰ πολλῶν ἔσται.

§ 65. 2. Τοῖς εἰδόσι τι.) Ἐκ διορθώσεως Οὐολφίου παρέλαβον οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Τοῖς εἰδόσι τισί· ἄμεινον δὲ γράφειν, Τοῖς εἰδόσι, μόνον, περιαιροῦντας ὅλως τὴν τρίτην λέξιν. — 3. Καὶ περὶ τῶν ἐχομένων.) Παρέλιπε τὸν σύνδεσμον ὁ Λάγγιος, τυπογράφων ἴσως ἀβλεψίᾳ. — 4. Τὼ μὲν πόλεε τούτω.) Ἀττικοί, ἀντὶ τοῦ, Τὰ μὲν πόλεε ταῦτα, ὡς εἴρηκε μικρὸν ἀνωτέρω καὶ ἴσως κἀκεῖνο τρέπειν ἐχρῆν εἰς τὸν παράλογον τοῦτον τῶν Ἀττικῶν σχηματισμόν. — 5. Πρὸς μὲν τὸν τοιοῦτον.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου ἡ προσθήκη τοῦ ἄρθρου, ὃ καὶ δίχα τῆς ἐξ ἀντιγράφων πίστεως οὐκ ἂν ὤκνησα προσθεῖναι. — 6. Ταῖς ἑαυτῶν.) Ταῖς ἀλλήλων· περὶ ὧν ἔπιθι τὰ ἀλλαχοῦ (Ἡλιοδώρ.

οὐ πρότερον ἐπαύσαντο σφᾶς αὐτάς[7] ἀπολλύουσαι, καὶ τοὺς ἄλλους Ἕλληνας, πρὶν κύριον ἐποιήσαντο τὸν κοινὸν ἐχθρὸν τοῦ τήν τε πόλιν[8] τὴν ἡμετέραν εἰς τοὺς ἐσχάτους καταστῆσαι κινδύνους, διὰ τῆς δυνάμεως τῆς Λακεδαιμονίων, καὶ πάλιν τὴν ἐκείνων διὰ τῆς πόλεως τῆς ἡμετέρας. Καὶ, τοσοῦτον ἀπολειφθέντες τῆς τοῦ Βαρβάρου φρονήσεως, οὔτ' ἐν ἐκείνοις τοῖς χρόνοις ἤλγησαν ἀξίως ὧν ἔπαθον, οὐδ' ὡς προσῆκεν αὐτοὺς, οὔτε νῦν αἱ μέγισται τῶν Ἑλληνίδων πόλεων αἰσχύνονται διακολακευόμεναι πρὸς τὸν ἐκείνου πλοῦτον·[9] ἀλλ' ἡ μὲν Ἀργείων καὶ Θηβαίων Αἴγυπτον αὐτῷ συγκατεπολέμησεν, ἵν' ὡς μεγίστην ἔχων δύναμιν ἐπιβουλεύοι τοῖς Ἕλλησιν, ἡμεῖς δὲ καὶ Σπαρτιᾶται, συμμαχίας ἡμῖν ὑπαρχούσης, ἀλλοτριώτερον ἔχομεν πρὸς ἡμᾶς αὐτοὺς, ἢ πρὸς οὓς ἑκάτεροι πολεμοῦντες τυγχάνομεν. Σημεῖον δὲ οὐ μικρόν· κοινῇ γὰρ οὐδὲ περὶ ἑνὸς πράγματος βουλευόμεθα, χωρὶς δ' ἑκάτεροι πρέσβεις πέμπομεν ὡς ἐκεῖνον, ἐλπίζοντες, ὁποτέροις ἂν οἰκειότερον διατεθείη,[10] κυρίους τούτους[11] γενήσεσθαι τῆς ἐν τοῖς Ἕλλησι πλεονεξίας· κακῶς εἰδότες, ὡς[12] τοὺς μὲν θεραπεύοντας αὐτὸν, ὑβρίζειν εἴθισται, πρὸς δὲ τοὺς ἀντιταττομένους,[13] καὶ καταφρονοῦντας

Β', σελ. 7) σημειωθέντα μοι. — 7. Σφᾶς αὐτάς) Ἐκ διορθώσεως Οὐολφίου παρειλήφασιν οἱ πρὸ ἐμοῦ, πλὴν Λαγγίου, ὃς προείλετο τὸ τῶν ἀντιγράφων, Σφᾶς αὐτούς. — 8. Κύριον ἐποιήσαντο τὸν κοινὸν ἐχθρὸν τοῦ τήν τε πόλιν κ. τ. λ.) Ἐκ διορθώσεως Οὐολφίου προσέθηκαν οἱ πρὸ ἐμοῦ τὸ, Τοῦ, ἄρθρον. Ἴσως δὲ καὶ τὸ, Ἐποιήσαντο, τρεπτέον εἰς τὸ, Ἐποίησαν· οὐ γὰρ πάνυ τι χρηστὴ ἐνταῦθα ἡ μέση διάθεσις. Ἐρεῖ δὲ καὶ μετ' ὀλίγα (§ 99), Κυρίους ποιησάτης. — 9. Διακολακευόμεναι πρὸς τὸν ἐκείνου πλοῦτον.) Ἀμιλλώμεναι πρὸς ἀλλήλας, ἥτις πλέον κολακεύσει τὸν τοῦ βαρβάρου πλοῦτον· ὡς ἐξηγήσατο ὁ Οὐόλφιος. Ἔχει [illegible] ἄν τις καὶ οὕτω πως ἑρμηνεῦσαι τὸ χωρίον ἁπλούστερον, Ἀμιλλώμεναι τῇ κολακείᾳ πρὸς τὸν ἐκείνου πλοῦτον, τουτέστι [illegible] τοσούτῳ πλέον κολακεύοντες τὸν βάρβαρον [illegible] ἐπαίνοις τε καὶ τῇ ἄλλῃ θεραπείᾳ, ὅσον ἐκεῖνος ἐκολάκευεν ἐκείνας τῷ πλούτῳ, ἤγουν τὸ πλουτίζειν. Ὁποτέρως δ' ἂν ἑρμηνεύσῃς, σημειοῦ τὴν πρόθεσιν σημαίνουσαν τὴν ἅμιλλαν, οἷον ἐστὶ καὶ τὸ Διακοντίζομαι πρός τινα, καὶ τὸ Διατοξεύομαι, τουτέστιν, ἀκοντίῳ ἢ τόξῳ ἁμιλλῶμαι πρός τινα. Μὴ λανθανέτω δέ σε μηθ' ἡ μέση διάθεσις ἐν τοῖς τοιούτοις, παραλαμβανομένη διὰ τὴν ἀλληλοπάθειαν· ἔστι γὰρ τὸ Διακολακεύομαι, Κολακεύων κολακεύομαι, καὶ τὸ Διακοντίζομαι, Ἀκοντίζων ἀκοντίζομαι, καὶ τὸ Διατοξεύομαι, Τοξεύων τοξεύομαι· χωρὶς εἰ μὴ οὐδέτερον εἴη τὸ τῇ προθέσει συναπτόμενον ῥῆμα, οἷον Διατρέχω, ἢ Διαθέω πρός τινα, οὐ Διατρέχομαι, οὐδὲ Διαθέομαι, ὅτι οὔτε Τρέχομαι, οὔτε Θέομαι, ἐξαιρουμένου τοῦ, Διαδραμοῦμαι, καὶ Διαθεύσομαι, διὰ τοὺς Ἀττικοὺς μέλλοντας, Δραμοῦμαι, καὶ Θεύσομαι. Ἡ δὲ συνήθεια ἀγνοεῖ τὰ ἁμίλλης σημαντικὰ ταῦτα ῥήματα, πολὺ ἔχοντα τὸ ἐκ τῆς βραχυλογίας χρήσιμον, πλὴν ἑνὸς τοῦ, Παρατρέχω (οὐ δὲ τούτου καταχωρισθέντος πω ἐν τοῖς κοινοῖς λεξικοῖς), ὅπερ οὐδὲν διαφέρει τοῦ, Διατρέχω, εἰ μὴ τῇ προθέσει. — 10. Διατεθείη.) Ἴσως γραπτέον, Διατεθῇ. — 11. Κυρίους τούτους.) Οὕτω καὶ τοὐμὸν ἀντίγραφον, ἀντὶ τῆς ἔν τισι τῶν ἀρχαίων ἐκδόσεων ἡμαρτημένης γραφῆς, Κυρίους τότε. — 12. Κακῶς εἰδότες, ὡς) Ἀγνοοῦντες ὅτι· καθὰ καὶ ἐν ἄλλοις ὁ Ἰσοκράτης. Ἀντὶ δὲ τοῦ, Ὡς, ἐν ταῖς ἀρχαίαις ἐκδόσεσι καί τισι τῶν ἀντιγράφων φέρεται, Ὅς· ἐν δὲ τῷ ἐμῷ ἐπιγέγραπται τῷ, Ὡς, ὡς διόρθωσις τὸ ἡμαρτημένον, Ὅς. — 13. Ἀντιταττομένους.) Ἀντιπολεμοῦντας, ἐναντιουμένους αὐτῷ. Εἰς τὸ Ἀντιταττομέ-

τῆς ἐκείνου δυνάμεως, ἐκ παντὸς τρόπου διαλύεσθαι πειρᾶται τὰς διαφοράς.[14]

§ 66. Ταῦτα δὲ διῆλθον, οὐκ ἀγνοῶν, ὅτι λέγειν τινὲς τολμήσουσιν, ὡς ἔξω τῆς ὑποθέσεως τοῖς λόγοις τούτοις ἐχρησάμην. Ἐγὼ δὲ οὐδέποτ᾽ ἂν οἶμαι τοῖς προειρημένοις οἰκειοτέρους ἂν λόγους ῥηθῆναι τούτων, οὐδ᾽ ἐξ ὧν ἄν τις σαφέστερον ἐπιδείξειε τοὺς προγόνους ἡμῶν φρονιμωτέρους ὄντας, περὶ τὰ μέγιστα, τῶν τήν τε πόλιν τὴν ἡμετέραν, καὶ τὴν Σπαρτιατῶν, μετὰ τὸν πόλεμον τὸν πρὸς Ξέρξην διοικησάντων. Αὗται μὲν γὰρ ἂν φανεῖεν, ἐν ἐκείνοις[2] τε τοῖς χρόνοις, πρὸς μὲν τοὺς Βαρβάρους εἰρήνην ποιησάμεναι, σφᾶς δ᾽ αὐτάς[3] καὶ τὰς ἄλλας πόλεις ἀπολλύουσαι, νῦν τε τῶν Ἑλλήνων ἄρχειν ἀξιοῦσαι, πρὸς δὲ τὸν βασιλέα πρέσβεις πέμπουσαι περὶ φιλίας καὶ συμμαχίας. Οἱ δὲ τότε τὴν πόλιν οἰκοῦντες οὐδὲν τούτων ἔπραττον, ἀλλὰ τοὐναντίον· τῶν μὲν γὰρ Ἑλληνίδων πόλεων οὕτως αὐτοῖς ἀπέχεσθαι σφόδρα δεδογμένον ἦν, ὥσπερ τοῖς εὐσεβέσι τῶν ἐν τοῖς ἱεροῖς ἀνακειμένων· τῶν δὲ πολέμων[4] ὑπελάμβανον ἀναγκαιότατον μὲν καὶ δικαιότατον τὸν μετὰ πάντων ἀνθρώπων, πρὸς τὴν ἀγριότητα τὴν τῶν θηρίων γιγνόμενον,[5] δεύτερον δέ, τὸν μετὰ τῶν Ἑλλήνων πρὸς τοὺς Βαρβάρους, τοὺς καὶ φύσει πολεμίους ὄντας, καὶ πάντα τὸν χρόνον ἐπιβουλεύοντας ἡμῖν. Τοῦτον δ᾽ εἴρηκα τὸν λόγον οὐκ αὐτὸς εὑρών, ἀλλ᾽ ἐκ τῶν ἐκείνοις πεπραγμένων συλλογισάμενος.

§ 67. Ὁρῶντες γὰρ τὰς μὲν ἄλλας πόλεις ἐν πολλοῖς κακοῖς καὶ πολέμοις καὶ ταραχαῖς οὔσας, τὴν δ᾽ αὑτῶν μόνην καλῶς οἰκουμένην, οὐχ ἡγήσαντο δεῖν τοὺς ἄμεινον[2] τῶν ἄλλων φρονοῦν-

νους δεῖν ἔγνων τρέψαι τὸ παρ᾽ ἅπασι κακῶς γραφόμενον, Ἀντιπραττομένους· τὸ γὰρ Ἀντιτάττομαί τινι, ἢ πρός τινα, πολὺ παρὰ τῷ Ἰσοκράτει (Ἰδ. ἀνωτέρ. § 13 καὶ 33, καὶ ἀλλαχοῦ), καὶ τοῖς λοιποῖς ῥήτορσι· τὸ δὲ Ἀντιπραττομένους, σόλοικον, διὰ τὴν μέσην διάθεσιν (ὤφειλε γὰρ εἶναι, Ἀντιπράττοντας), χωρὶς εἰ μή τις εἰς τό, Ἀντιπαρατατταμένους, προέλοιτο τρέπειν αὐτό. Σημειωτέον δὲ ὅτι τὸ Ἀντιπράττομαι ὁ Στέφανος ἐκ τοῦ μοναδικοῦ τούτου χωρίου Ἰσοκράτους, οὐ συνιδὼν τὸ τῆς γραφῆς ἁμάρτημα, κατεχώρισεν ἐν τῷ Θησαυρῷ. — 14. Τὰς διαφοράς.) Ὡς καὶ ἐν τῇ συνηθείᾳ ἡ λέξις, περὶ ἧς ἔπιθι τὰ ἀλλαχοῦ (Προδρ. Ἑλλ. Βιβλ. σελ. 293.) σημειωθέντα.

§ 66. 2. Ἐν ἐκείνοις.) Λείπει κακῶς ἡ πρόθεσις καὶ ἐν τῷ ἐμῷ ἀντιγράφῳ, προστεθεῖσα ὑπὸ Οὐολφίου, ᾧ συνᾴδει καὶ τὸ τοῦ Λαγγίου ἀντίγραφον. — 3. Σφᾶς δ᾽ αὐτάς.) Παρειλήφασι τὴν γραφὴν ταύτην οἱ πρὸ ἐμοῦ, πλὴν Λαγγίου, ἐκ διορθώσεως Οὐολφίου, ἀντὶ τοῦ, Σφᾶς δ᾽ αὐτούς, τῶν παλαιῶν ἐκδόσεων, αἷς συνᾴδει καὶ τὸ ἐμὸν ἀντίγραφον. — 4 Τῶν δὲ πολέμων.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ᾧ συνᾴδει καὶ Λάγγιος, ἐκ τοῦ ἰδίου κἀκεῖνος παρειληφὼς ἀντιγράφου, ἀντὶ τοῦ παρὰ τοῖς λοιποῖς, Τὸν δὲ πόλεμον. — 5. Γιγνόμενον.) Ἀπεσκοράκισα τὸ σόλοικον, Γενόμενον, ὅπερ συνῆκε μέν, οὐκ ἐθάῤῥησε δὲ διορθῶσαι καὶ ὁ Αὐγῆρος· ὁ δὲ Στέφανος καλῶς ᾠήθη γραπτέον εἶναι, Γενησόμενον· οὔτε γὰρ μέλλοντος, οὔτ᾽ ἀορίστου χρεία ὧδε, ἀλλ᾽ ἐνεστῶτος.

§ 67. 2. Τοὺς ἄμεινον.) Οὕτω καὶ τοὐμὸν ἀντίγραφον, μετὰ τοῦ ἄρθρου,

τας καὶ πράττοντας ἀμελεῖν, οὐδὲ περιορᾶν, τὰς τῆς αὐτῆς συγγενείας μετεχούσας ἀπολλυμένας, ἀλλὰ σκεπτέον εἶναι, καὶ πρακτέον, ὅπως ἁπάσας ἀπαλλάξουσι τῶν κακῶν τῶν παρόντων. Ταῦτα δὲ διανοηθέντες, τῶν μὲν ἧττον νοσουσῶν[3] πρεσβείαις καὶ λόγοις ἐξαιρεῖν ἐπειρῶντο τὰς διαφοράς, εἰς δὲ τὰς μᾶλλον στασιαζούσας ἐξέπεμπον τῶν πολιτῶν τοὺς μεγίστην παρ' αὐτοῖς δόξαν ἔχοντας, οἱ περί τε τῶν παρόντων παρ' αὐταῖς πραγμάτων συνεβούλευον, καὶ συγγιγνόμενοι[4] τοῖς τε μὴ δυναμένοις[5] ἐν ταῖς αὐτῶν ζῆν πατρίσι, καὶ τοῖς χεῖρον γεγονόσιν ὧν οἱ νόμοι προστάττουσιν (οἵπερ ὡς ἐπὶ τὸ πολὺ λυμαίνονται τὰς πόλεις), ἔπειθον μεθ' αὐτῶν στρατεύεσθαι, καὶ βίον ζητεῖν βελτίω τοῦ νῦν παρόντος. Πολλῶν δὲ γιγνομένων τῶν ταῦτα βουλομένων καὶ πειθομένων, στρατόπεδα συνιστάντες ἐξ αὐτῶν, τούς τε τὰς νήσους κατέχοντας τῶν βαρβάρων, καὶ τοὺς ἐφ' ἑκατέρας τῆς ἠπείρου[6] τὴν παραλίαν κατοικοῦντας καταστρεφόμενοι, καὶ πάντας ἐκβάλλοντες, τοὺς μάλιστα βίου δεομένους τῶν Ἑλλήνων κατῴκιζον. Καὶ ταῦτα πράττοντες, καὶ τοῖς ἄλλοις ὑποδεικνύοντες[7] διετέλουν, ἕως ἤκουσαν Σπαρτιάτας τὰς πόλεις τὰς ἐν Πελοποννήσῳ κατῳκισμένας, ὥσπερ εἶπον, ὑφ' αὐτοὺς πεποιημένους· μετὰ δὲ ταῦτα, τοῖς ἰδίοις ἠναγκάζοντο προσέχειν τὸν νοῦν.

§ 68. Τί οὖν ἐστι τὸ συμβεβηκὸς ἀγαθὸν ἐκ τοῦ πολέμου τοῦ περὶ τὰς ἀποικίας καὶ πραγματείας; τοῦτο γὰρ οἶμαι μάλιστα ποθεῖν ἀκοῦσαι τοὺς πολλούς. Τοῖς μὲν Ἕλλησιν εὐπορωτέροις[2] γενέσθαι τὰ περὶ τὸν βίον, καὶ μᾶλλον ὁμονοεῖν, τοσούτων τὸ πλῆθος καὶ τοιούτων ἀνθρώπων ἀπαλλαγεῖσι· τοῖς δὲ βαρ-

ὅπερ λείπει ἐν τῇ Οὐολφιανῇ καὶ ἄλλαις τισὶν ἐκδόσεσι. — 3. Ἧττον νοσουσῶν.) Ἐκ διορθώσεως Οὐολφίου παρέλαβον οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ ἐν ταῖς ἀρχαίαις ἐκδόσεσι καὶ τοῖς ἀντιγράφοις (οἷς συνᾴδει καὶ τοὐμόν), Ἡττόνων οὐσῶν. — 4. Συγγιγνόμενοι.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ἀντὶ τοῦ παρ' ἅπασι τοῖς λοιποῖς, Συγγενόμενοι — 5. Τοῖς τε μὴ δυναμένοις.) Οὕτω καὶ τὸ ἐμὸν ἀντίγραφον συμφώνως τῷ τοῦ Λαγγίου, τῷ τοῦ Ἄγγλου ἐκδότου, καὶ ταῖς ἀρχαίαις τῶν ἐκδόσεων, ἀντὶ τοῦ, Τοῖς τε δι' ἀπορίαν μὴ δυναμένοις, ὅπερ διορθώσαντος Οὐολφίου παρέλαβον οἱ μετ' αὐτὸν πλὴν Λαγγίου. — 6. Ἐφ' ἑκατέρας τῆς ἠπείρου) Τῆς τε Ἀσίας καὶ τῆς Εὐρώπης. Ἐν δὲ τῷ Πανηγυρικῷ (§9), Ἐφ' ἑκάτερα τῆς ἠπείρου εἴρηκα· περὶ οὗ ἔπιθι τὰ ἐκεῖ σημειωθέντα μοι (§ 9) — 7. Ὑποδεικνύοντες) Παρὰ τὸ, Ὑποδεικνύω. Ὤφειλε δ' εἰπεῖν, Ὑποδεικνύντες, παρὰ τὸ, Ὑποδείκνυμι, εἰ χρὴ πιστεύειν τοῖς Αττικισταῖς, καθάπερ καὶ μετ' ὀλίγα (§74) ἐρεῖ, Ἐπιδεικνύντες. Ἀλλ' ἐν τούτοις τε καὶ τοῖς τοιούτοις, τοσοῦτον διαπεφωνήκασιν οἱ ἀντιγραφεῖς οὐ μόνον ἐν τῷ Ἰσοκράτει, ἀλλ' ἐν ἅπασιν, ὡς εἰπεῖν, τοῖς δοκίμοις τῶν συγγραφέων, ὥστε δυσχερὲς εἶναι διαγνῶναι, πότερον τοὺς γραφέας αἰτιᾶσθαι χρὴ τῆς τοιαύτης περὶ τὴν γραφὴν ποικιλίας, ἢ αὐτοὺς τοὺς συγγραφέας ὑπολαμβάνειν ἄλλοτε ἄλλως σχηματίσαι τὰς λέξεις, εὐστομίας φροντίζοντας.

§ 68. 2. Εὐπορωτέροις.) Εἰς τοῦτο ἔτρεψα τὸ, Εὐπορωτέρους, ἴσως οὐδὲν δέον.

θάροις ἐκπίπτειν ἐκ τῆς αὐτῶν, καὶ φρονεῖν ἔλαττον ἢ πρότερον· τοῖς δὲ αἰτίοις τούτων γεγενημένοις, εὐδοκιμεῖν, καὶ διπλασίαν πεποιηκέναι τὴν Ἑλλάδα τῆς ἐξ ἀρχῆς συστάσεως.

§ 69. Μεῖζον μὲν οὖν εὐεργέτημα καὶ κοινότερον τοῖς Ἕλλησι γεγενημένον παρὰ τῶν προγόνων τῶν ἡμετέρων οὐκ ἂν δυναίμην ἐξευρεῖν· οἰκειότερον δὲ τῇ περὶ τὸν πόλεμον ἐπιμελείᾳ, καὶ δόξης οὐκ ἐλάττονος ἄξιον, καὶ πᾶσι φανερὸν, ἴσως ἕξομεν εἰπεῖν.

§ 70. Τίς γὰρ οὐκ οἶδεν, ἢ τίς οὐκ ἀκήκοε, τῶν τραγῳδοδιδασκάλων[2] ἐν Διονυσίοις, τὰς Ἀδράστῳ γενομένας ἐν Θήβαις συμφορὰς, ὅτι κατάγειν βουληθεὶς τὸν Οἰδίπου μὲν υἱὸν, αὐτοῦ δὲ κηδεστὴν, παμπληθεῖς μὲν Ἀργείων ἀπώλεσεν, ἅπαντας δὲ τοὺς λοχαγοὺς ἐπεῖδε διαφθαρέντας, αὐτὸς δ᾽ ἐπονειδίστως σωθεὶς, ἐπειδὴ σπονδῶν οὐχ οἷός τ᾽ ἦν τυχεῖν, οὐδ᾽ ἀνελέσθαι τοὺς τετελευτηκότας, ἱκέτης γενόμενος τῆς πόλεως, ἔτι Θησέως αὐτὴν διοικοῦντος, ἐδεῖτο μὴ περιιδεῖν τοιούτους ἄνδρας ἀτάφους γενομένους, μηδὲ παλαιὸν ἔθος καὶ πάτριον νόμον καταλυόμενον, ᾧ πάντες ἄνθρωποι χρώμενοι διατελοῦσιν, οὐχ ὡς ὑπ᾽ ἀνθρωπίνης κειμένῳ φύσεως, ἀλλ᾽ ὡς ὑπὸ δαιμονίας προστεταγμένῳ δυνάμεως. Ὧν ἀκούσας, οὐδένα χρόνον ἐπισχὼν, ἔπεμψε πρεσβείαν εἰς Θήβας, περί τε τῆς ἀναιρέσεως συμβουλεύσοντας[3] αὐτοῖς ὁσιώτερον βουλεύσασθαι, καὶ τὴν ἀπόκρισιν νομιμωτέραν ποιήσασθαι τῆς πρότερον γεγενημένης, κἀκεῖνο ὑποδείξοντας,[4] ὡς ἡ πόλις αὐτοῖς οὐκ ἐπιτρέψει παραβαίνουσι τὸν νόμον τὸν κοινὸν ἁπάντων Ἑλλήνων. Ἀκούσαντες δ᾽ οἱ τότε κύριοι Θηβαίων ὄντες, οὐχ ὁμοίως ἔγνωσαν, οὔτε ταῖς δόξαις, αἷς ἔχουσί τινες περὶ αὐτῶν, οὔθ᾽ οἷς βουλεύσαντο πρότερον, ἀλλὰ μετρίως περὶ αὐτῶν[5] τε διαλεχθέντες, καὶ τῶν ἐπιστρατευσάντων κατηγορήσαντες, ἔδοσαν τῇ πόλει τὴν ἀναίρεσιν.

§ 71. Καὶ μηδεὶς οἰέσθω με ἀγνοεῖν, ὅτι τἀναντία λέγων[2] τυγχάνω, οἷς ἐν τῷ Πανηγυρικῷ λόγῳ φανείην ἂν περὶ τῶν αὐτῶν τούτων γεγραφώς· ἀλλὰ γὰρ οὐδένα νομίζω τῶν ταῦτα συνιδεῖν ἂν δυνηθέντων τοσαύτης ἀμαθίας εἶναι καὶ φθόνου μεστὸν, ὅστις οὐκ ἂν ἐπαινέσειεν ἐμὲ καὶ σωφρονεῖν ἡγήσαιτο, τότε μὲν

---

§ 70 2. Τραγῳδοδιδασκάλων.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου· ἣν γραφὴν παρείληφεν ἐκ τοῦ ἰδίου καὶ ὁ Λάγγιος, καὶ ὑπονενόηκεν ὁ Αὐγῆρος, ἀντὶ τοῦ, Τραγῳδιδασκάλων. — 3. Συμβουλεύσοντας.) Ἐν τῷ ἐμῷ ἀντιγράφῳ κακῶς, Συμβουλεύσαντας· παρὰ δὲ τῷ Λαγγίῳ, (τυπογράφων ἁμαρτίᾳ) Συμβουλεύοντας. — 4. Ὑποδείξοντας) Ἐν ἄλλοις, Ἀποδείξοντας. Ἴσως γραπτέον Ἐπιδείξοντας, τουτέστι, Καὶ πρὸς τούτοις δείξοντας. — 5. Περὶ αὐτῶν) Ἐδάσυνα τὴν ἀντωνυμίαν, ἵν᾽ ᾖ, Περὶ ἑαυτῶν.

§ 71. 2. Τἀναντία λέγων.) Ἐπιθε τὸν Πανηγυρικὸν λόγον (§15), ἐν ᾧ δια-

ἐκείνως, νῦν δ' οὕτως διαλεχθέντα περὶ αὐτῶν·[3] Περὶ μὲν οὖν τούτων, οἶδ' ὅτι καλῶς γέγραφα, καὶ συμφερόντως. Ὅσον δ' ἡμῶν ἡ πόλις διέφερε τὰ περὶ τὸν πόλεμον κατ' ἐκεῖνον τὸν χρόνον (τοῦτο γὰρ ἀποδεῖξαι βουλόμενος, διῆλθον τὰ γενόμενα Θήβησιν), ἡγοῦμαι τὴν πρᾶξιν ἐκείνην ἅπασι σαφῶς δηλοῦν, τὴν τὸν μὲν βασιλέα τῶν Ἀργείων ἀναγκάσασαν ἱκέτην γενέσθαι τῆς πόλεως τῆς ἡμετέρας, τοὺς δὲ κυρίους ὄντας Θηβῶν οὕτω διαθεῖσαν, ὥστε ἑλέσθαι μᾶλλον αὐτοὺς ἐμμεῖναι τοῖς λόγοις τοῖς ὑπὸ τῆς πόλεως ἐκπεμφθεῖσιν, ἢ τοῖς νόμοις τοῖς ὑπὸ τοῦ δαιμονίου κατασταθεῖσιν· ὧν οὐδὲν ἂν οἷά τε ἐγένετο διοικῆσαι κατὰ τρόπον ἡ πόλις ἡμῶν, εἰ μὴ καὶ τῇ δόξῃ, καὶ τῇ δυνάμει, πολὺ διήνεγκε,[4] τῶν ἄλλων.

§ 72. Ἔχων δὲ πολλὰς καὶ καλὰς πράξεις καὶ περὶ τῶν προγόνων εἰπεῖν,[2] σκοποῦμαι, τίνα τρόπον διαλεχθῶ περὶ αὐτῶν· μέλει γάρ μοι τούτων μᾶλλον, ἢ τῶν ἄλλων. Τυγχάνω γὰρ ὢν περὶ τὴν ὑπόθεσιν, ἣν ἐποιησάμην τὸ τελευταῖον, ἐν ᾗ προεῖπον, ὡς ἐπιδείξω τοὺς προγόνους ἡμῶν ἐν τοῖς πολέμοις καὶ ταῖς μάχαις πλέον διενεγκόντας Σπαρτιατῶν, ἢ τοῖς ἄλλοις ἅπασιν. Ἔσται δ' ὁ λόγος παράδοξος μὲν τοῖς πολλοῖς, ὁμοίως[3] δ' ἀληθὴς τοῖς ἄλλοις. Ἄρτι μὲν οὖν ἠπόρουν, πότερον διεξίω πρότερον τοὺς κινδύνους, καὶ τὰς μάχας τὰς τῶν Σπαρτιατῶν, ἢ τὰς τῶν ἡμετέρων· νῦν δὲ προαιροῦμαι λέγειν τὰς ἐκείνων, ἵν' ἐν ταῖς καλλίοσι καὶ δικαιοτέραις καταλύω[4] τὸν λόγον τὸν περὶ τούτων.

§ 73. Ἐπειδὴ γὰρ Δωριέων οἱ στρατεύσαντες εἰς Πελοπόννησον, τριχῇ διείλοντο τὰς πόλεις,[2] καὶ τὰς χώρας ἀφείλοντο τοὺς δικαίως κεκτημένους, οἱ μὲν Ἄργος λαχόντες καὶ Μεσσήνην παρα-

φόρως ἱστόρηκε τὰ περὶ Θηβαίων. — 3. Τότε μὲν ἐκείνως, νῦν δ' οὕτως διαλεχθέντα περὶ αὐτῶν.) Τὴν δ' αἰτίαν οὐκ ἐβουλήθη δηλῶσαι ἡμῖν ὁ χρηστὸς Ἰσοκράτης, δι' ἣν τότε μὲν ἐκείνως, νῦν δ' οὕτως ἱστόρηκε τὰ περὶ Θηβαίων, καὶ ταῦτα τῆς ἱστορίας οὐκ ἄλλοτε ἄλλως, ἀλλ' ἀεὶ ὡσαύτως ἔχειν ὀφειλούσης, εἰ μέλλοι ἀληθὴς εἶναι. Οὐόλφιος ὑπολαμβάνει τὸν Ἰσοκράτην μετριώτερον ἐνταῦθα διειλέχθαι περὶ Θηβαίων, ὡς συμμάχων Ἀθηναίοις τὸ τηνικαῦτα ὄντων, ἢ ὅσον οὔπω γενήσεσθαι προσδοκωμένων, ἐν τῷ κατὰ Χαιρώνειαν πολέμῳ. — 4. Διήνεγκε.) Σημειοῦ τὸ, Διήνεγκε, κατὰ παρατατικὸν ὧδε ἀντὶ τοῦ, Διέφερε, παρὰ τὸν ἐνεστῶτα, Ἐνέγκω.

§ 72. 2. Ἔχων δὲ πολλὰς καὶ καλὰς πράξεις καὶ περὶ τῶν προγόνων εἰπεῖν.) Ἔχει τι ἡ λέξις ὑπόσαθρον. Ἴσως τρεπτέον τὸν δεύτερον, Καὶ, εἰς τὸ, Ἔτι, ἢ τὸ, Ἑτέρας. — 3. Ὁμοίως.) Οὕτω καὶ τὸ ἐμὸν ἀντίγραφον, καθὰ καὶ τὸ τοῦ Λαγγίου, καὶ αἱ πλεῖσται τῶν παλαιῶν ἐκδόσεων· Στέφανος δὲ καὶ Αὐγῆρος γράφουσιν, Ὅμως. Καὶ ἔσται ὁ νοῦς τῆς μὲν πρώτης γραφῆς, Ἀληθὴς ὁμοίως τοῖς ἄλλοις λόγοις· τῆς ἑτέρας δὲ, Ὅμως δ' ἀληθὴς τοῖς ἄλλοις ἀνθρώποις. — 4. Καταλύω.) Ἴσως Καταλύσω.

§ 73. 2. Τριχῇ διείλοντο τὰς πόλεις.) Τριχῇ τὸ στράτευμα διανείμαντες, τρεῖς πόλεις κατῴκησαν, ὥς φησι Πλάτων ἐν τῷ τρίτῳ τῶν νόμων (σελ. 683)· καὶ βασιλεὺς μὲν Ἄργους Τήμενος ἐγένετο· Μεσσήνης δὲ, Κρεσφόντης, Λακεδαίμονος δὲ, Πατροκλῆς καὶ Εὐρυ-

πλησίως διῴκουν τὰ σφέτερ' αὐτῶν τοῖς ἄλλοις Ἕλλησι· τὸ δὲ τρίτον μέρος αὐτῶν, οὓς καλοῦμεν νῦν Λακεδαιμονίους, στασιάσαι μέν φασιν αὐτοὺς οἱ τὰ ἐκείνων ἀκριβοῦντες, ὡς οὐδένας ἄλλους τῶν Ἑλλήνων. Περιγενομένους δὲ τοὺς μεῖζον τοῦ πλήθους φρονοῦντας, οὐδὲν τῶν αὐτῶν[3] βουλεύσασθαι περὶ τῶν συμβεβηκότων τοῖς τοιαῦτα διαπεπραγμένοις· τοὺς μὲν γὰρ ἄλλους,[4] συνοίκους ἔχειν τῇ πόλει τοὺς στασιάσαντας, καὶ κοινωνοὺς, ὥσθ' ἁπάντων, πλὴν τῶν ἀρχῶν,[5] καὶ τῶν τιμῶν, μετέχειν αὐτούς· οὓς οὐκ ἂν φρονεῖν[6] ἡγεῖσθαι Σπαρτιατῶν[7] τοὺς νοῦν ἔχοντας, εἰ νομίζουσιν ἀσφαλῶς πολιτεύεσθαι[8] μετὰ τούτων οἰκοῦντες, περὶ οὓς τὰ μέγιστα τυγχάνουσιν ἐξημαρτηκότες· αὐτοὺς δ' οὐδὲν τούτων ποιεῖν, ἀλλὰ παρὰ σφίσι μὲν αὐτοῖς ἰσονομίαν καταστῆσαι, καὶ δημοκρατίαν τοιαύτην, οἵανπερ χρὴ τοὺς μέλλοντας ἅπαντα τὸν χρόνον ὁμονοήσειν· τὸν δὲ δῆμον περιοίκους ποιήσασθαι, καταδουλωσαμένους[9] αὐτῶν τὰς ψυχὰς οὐδὲν ἧττον ἢ τὰς τῶν οἰκετῶν· ταῦτα δὲ πράξαντας, τῆς χώρας, ἧς προσῆκεν ἴσον ἔχειν ἕκαστον, αὐτοὺς μὲν λαβεῖν, ὀλίγους ὄντας, οὐ μόνον τὴν ἀρίστην, ἀλλὰ καὶ τοσαύτην, ὅσην οὐδένες τῶν Ἑλλήνων ἔχουσι, τῷ δὲ πλήθει, τηλικοῦτον ἀπονεῖμαι μέρος τῆς χειρίστης, ὥστ' ἐπιπόνως ἐργαζομένους, μόλις ἔχειν τὸ καθ' ἡμέραν. Μετὰ δὲ ταῦτα διελόντας τὸ πλῆθος αὐτῶν, ὡς οἷόν τ' ἦν εἰς ἐλάχιστον τόπον κατοικίσαι,[10]

σθένης. — 3. Οὐδὲν τῶν αὐτῶν.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ᾧ συνᾴδουσι καὶ τέσσαρα τῶν προεμοῦ, οἷς ἠκολουθήκασιν ὅ, τε Αὐγῆρος καὶ ὁ Λάγγιος, χαίρειν φράσαντες τῇ παρὰ τοῖς λοιποῖς γραφῇ, Οὐδὲν περὶ τῶν αὐτῶν. — 5. Τοὺς μὲν γὰρ ἄλλους.) Τοὺς τοιαῦτα διαπεπραγμένους. — 5. Ἀρχῶν.) Καὶ τὸ ἐμὸν κακῶς, Ἀρχόντων· ἡ διόρθωσις τοῦ Οὐολφίου. — 6. Μετέχειν αὐτούς· οὓς οὐκ ἂν φρονεῖν κ. τ. λ.) Προσέθηκα τὸ, Οὓς, ἐκ διορθώσεως Λαγγίου, οὐ πάνυ τι ἀποδεχόμενος τὴν διόρθωσιν, ἀλλ' οὐκ ἔχων ὅπως ἄλλως ἐν τῷ παρόντι διορθώσω τὸ δεινῶς ἡμαρτημένον ταυτὶ χωρίον. Ἀναφέροιτο δ' ἂν τὸ Οὓς, πρὸς τὸ Ἄλλους, τοὺς τοιαῦτα διαπεπραγμένους· οὓς οἱ νοῦν ἔχοντες τῶν Σπαρτιατῶν οὐχ ἡγοῦντο φρονεῖν, καὶ ἐνόμιζον κ. τ. λ. Καὶ τὸ, Μετέχειν, δὲ, λεῖπον τὴν ἀρχὴν ἐν τῷ ἐμῷ ἀντιγράφῳ, προσετέθη ὑπὸ χειρὸς ὀψιαιτέρας. — 7. Ἡγεῖσθαι Σπαρτιατῶν.) Τινὰ τῶν ἀντιγράφων φέρει, Ἡγεῖσθαι «εἰκὸς ἐκρίθη Σπαρτιατῶν», ἕτερα δὲ (ἐν οἷς καὶ τὸ ἐμὸν ἐκ διορθώσεως μεταγενεστέρας) οὐδὲν μᾶλλον σαφῶς, «Ἡγεῖσθαι εἰ μὴ ἐκρίθη Σπαρτιατῶν.» Ἡ διόρθωσις Οὐολφίου, ἥν, ἀμείνονος σπάνει, παρείληφα. Ὅλον γὰρ, ὡς ἔφθην εἰπὼν, τοῦτο τὸ χωρίον δεινῶς ὑπὸ τῶν ἀντιγραφέων διετέθη. Ἴσως οὕτως ἐπανορθωτέον αὐτὸ, «Τοὺς μὲν γὰρ »ἄλλους, συνοίκους ἔχοντας τῇ πόλει τοὺς »στασιάσαντας, καὶ κοινωνοὺς ἁπάντων »πλὴν τῶν ἀρχῶν καὶ τῶν τιμῶν, οὐκ »ἂν φρονεῖν ἡγεῖσθαι Σπαρτιατῶν τοὺς »νοῦν ἔχοντας, εἰ νομίζουσιν κ. τ. λ.» ἵν' ᾖ ὁ νοῦς, Οἱ νοῦν ἔχοντες τῶν Σπαρτιατῶν, οὐχ ἡγοῦντο φρονεῖν τοὺς ἄλλους, οἳ συνοικεῖν αὐτοῖς εἴασαν τοὺς στασιάσαντας, καὶ πάντων αὐτοῖς μετέδωκαν, πλὴν τῶν ἀρχῶν καὶ τῶν τιμῶν, εἰ νομίζουσιν κ. τ. λ. Τοιαύτη δέ ἐστι καὶ ἣν Οὐόλφιος εἴκασε διόρθωσιν. — 8. Πολιτεύεσθαι.) Ἄμεινον γράφειν, Πολιτεύσεσθαι, καθὰ ἔγραψαν οἱ μετὰ τὸν Οὐόλφιον, πλὴν Λαγγίου· — 9. Καταδουλωσαμένους.) Ἐκ διορθώσεως Οὐολφίου οἱ μετ' αὐτὸν, ἀντὶ τοῦ ἐν τοῖς ἀντιγράφοις (οἷς συνᾴδει καὶ τοὐμὸν), Καταδουλωσαμένων. — 10. Κατοικίσαι.) Καὶ τοῦτο ἐκ διορθώσεως Οὐολφίου, ἀποδεξαμένων καὶ

μικροὺς καὶ πολλοὺς, ὀνόμασι μὲν προσαγορευομένους, ὡς πόλεις οἰκοῦντας, τὴν δὲ δύναμιν ἔχοντας ἐλάττω τῶν δήμων τῶν παρ' ἡμῖν. Ἁπάντων δ' ἀποστερήσαντας αὐτοὺς, ὧν προσῆκεν μετέχειν τοὺς ἐλευθέρους, τοὺς πλείστους ἐπιθεῖναι τῶν κινδύνων αὐτοῖς· ἐν γὰρ ταῖς στρατείαις, αἷς ἡγεῖτο βασιλεὺς, κατ' ἄνδρα ἠνάγκαζον συμπαρατάττεσθαι σφίσιν αὐτοῖς·[11] ἐνίους δὲ καὶ τῆς πρώτης φάλαγγος ᾑροῦντο προτάττειν. Ἐάν τέ, ποι δέησαν αὐτοὺς ἐκπέμψαι βοήθειαν, φοβηθῶσιν, ἢ τοὺς πόνους,[12] ἢ τοὺς κινδύνους, ἢ τὸ πλῆθος τοῦ χρόνου, τούτους ἀποστέλλειν ἤθελον, προκινδυνεύσοντας τῶν ἄλλων. Καὶ τί δεῖ μακρολογεῖν, πάσας διεξιόντα τὰς ὕβρεις, τὰς περὶ τὸ πλῆθος γιγνομένας, ἀλλὰ μὴ τὸ μέγιστον εἰπόντα τῶν κακῶν, ἀπαλλαγῆναι τῶν ἄλλων; τῶν γὰρ οὕτω μὲν ἐξ ἀρχῆς δεινὰ πεπονθότων, ἐν δὲ τοῖς παροῦσι καιροῖς χρησίμων ὄντων, ἔξεστι τοῖς Ἐφόροις ἀκρίτως ἀποκτεῖναι τοσούτους, ὅσους ἂν βουληθῶσιν· ἃ τοῖς Ἕλλησι τοῖς ἄλλοις, οὐδὲ τοὺς πονηροτάτους τῶν οἰκετῶν, ὅσιόν ἐστι μιαιφονεῖν.

§ 74. Τούτου δ' ἕνεκα περὶ τῆς οἰκειότητος, καὶ τῶν ἡμαρτημένων εἰς αὐτοὺς,[2] διὰ πλειόνων διῆλθον, ἵν' ἔρωμαι τοὺς

---

τῶν μετ' αὐτὸν ἀντὶ τοῦ, Κατοικεῖσθαι. — 11. Κατ' ἄνδρα ἠνάγκαζον συμπαρατάττεσθαι σφίσιν αὐτοῖς) Καθ' ἕκαστον Λακεδαιμόνιον στρατιώτην συμπαρατάττεσθαι ἕνα τῶν περιοίκων ἐν ὑπηρέτου μέρει, οἷοί εἰσιν οἱ τοῖς Γαλάταις καλούμενοι Goujats. — 12. Ἐάν τέ, ποι δέησαν αὐτοὺς ἐκπέμψαι βοήθειαν, φοβηθῶσιν, ἢ τοὺς πόνους κ. τ. λ) Γράφεται παρ' ἅπασι . . . »βοήθειαν, ἵνα βοηθῶσιν, ἢ τοὺς πό»νους« ἀδιανοήτως. Περιῄρηκα τὸν, Ἵνα, σύνδεσμον, λείποντα καὶ ἐν τῷ ἐμῷ ἀντιγράφῳ, προστεθέντα δὲ κακῶς ὀψιαίτερον· ἔτρεψα δὲ καὶ τὸ, Βοηθῶσιν, εἰς τὸ, Φοβηθῶσιν, εἰκάσαντος τοῦτο οὐκ ἀπιθάνως τοῦ Λαγγίου. Ὤφειλον καὶ τὸ, Που, τρέπειν εἰς τὸ, Ποι. Ὁ νοῦς, Ἐάν τε, ὁπόταν ποι δεήσῃ βοήθειαν ἐκπέμψαι, φοβηθῶσιν αὐτοὶ ἰέναι, διὰ τοὺς πόνους, ἢ διὰ τοὺς κινδύνους, ἢ διὰ τὸ πλῆθος τοῦ χρόνου, ἀπέστελλον τοὺς περιοίκους. Τούτων δὲ τῶν Περιοίκων ἐξαίρετοι ἦσαν οἱ καλούμενοι Σκιρῖται, ἢ Σκειρῖται, ἢ Σκιρίτης λόχος, ἀπὸ Σκίρου, πόλεως Ἀρκαδικῆς, οἷς ἐχρῶντο Λακεδαιμόνιοι, »οὐδὲν φειδόμενοι αὐτῶν, οὔτ' ἐν πό»νοις, οὔτ' ἐν κινδύνοις» ὥς φησιν ὁ Ξενοφῶν (Κύρ. παιδ. Δ. β', 1).

§ 74. 2. Τούτου δ' ἕνεκα περὶ τῆς οἰκειότητος, καὶ τῶν ἡμαρτημένων εἰς αὐτοὺς κ. τ. λ.) Πρὸ τοῦ κεφαλαίου τούτου ὑπολαμβάνει Αὐγῆρος πολλὰ ἕτερα παραλελεῖφθαι τοῖς ἀντιγράφασιν, ἔκ τε τῆς δοκούσης πρὸς τὰ προηγούμενα ἀσυναρτησίας, καὶ ἐξ ὧν ἱστορήκασιν Οὐϊκτόριος ἐν τοῖς εἰς τὴν Ἀριστοτέλους Ῥητορικὴν ὑπομνήμασι, Σκαλιγέρος τε, καὶ Οὐόλφιος, περὶ Σοφιανοῦ τινος, ὃν δεῖξαί φασιν Ἑρρίκῳ Στεφάνῳ Ἰσοκράτους ἀρχαιότατον ἀντίγραφον, ἐν ᾧ ὁ Παναθηναϊκὸς ἐξ σελίσι τοῦ ἐν ἅπασι τοῖς ἄλλοις φερομένου ἀντιγράφοις μακρότερος ἦν. Ἔχει δὲ οὐκ ὀλίγην τὴν ἀπορίαν τὰ περὶ τοῦ Σοφιανοῦ ἱστορούμενα ταῦτα. Ἵνα γοῦν ἀπ' αὐτοῦ τοῦ ὀνόματος ἄρξωμαι, ὁ μὲν Οὐϊκτόριος, Μιχαὴλ Σοφιανὸν, τὸν ἄνδρα καλεῖ, ὁ Σκαλιγέρος δὲ Νικόλαον Σοφιανόν· καὶ ὁ μὲν περὶ τῶν κατὰ τὴν πεντεκαιδεκάτην τε καὶ τὴν ἑξῆς ἑκατονταετηρίδα ἀκμασάντων ἐνδόξων ἐπὶ λόγοις Γραικῶν ἱστορικῶς Ὅδιος ὁ Ἄγγλος (σελ. 309-311) Κερκυραίους γεγονέναι φησὶ τοὺς Σοφιανοὺς ἀμφοτέρους· καὶ τὸν μὲν Νικόλαον, ἐν Ῥώμῃ πρῶτον εἶτα δὲ καὶ Ἑνετίῃσιν, Ἑλληνικῶν λόγων σχολῆς προστῆναι· τὸν δὲ Μιχαὴλ (ὃν εἰκάζων, οὐ διαβεβαιούμενος, υἱὸν ἀποκαλεῖ τοῦ Νικολάου) ἐν Παταβίῳ διδάξαι. Οὐόλφιος δὲ τοῦ κεκτημένου τὸ Ἰσοκράτους ἀντίγραφον Σοφιανοῦ πατρίδα τὴν Χίον λέγει, ὡς γοῦν εἰκάζειν ἔξεστιν ἐξ οὗ

ἀποδεχομένους ἁπάσας τὰς Σπαρτιατῶν πράξεις, εἰ καὶ ταύτας ἀποδέχονται, καὶ τὰς μάχας εἶναι νομίζουσι καλάς, τὰς πρὸς τούτους γεγενημένας; Ἐγὼ μὲν γὰρ ἡγοῦμαι μεγάλας μὲν αὐτὰς γεγενῆσθαι, καὶ δεινάς, καὶ πολλῶν αἰτίας, τοῖς μὲν ἡττηθεῖσι κακῶν, τοῖς δὲ κατορθώσασι λημμάτων (ὧνπερ ἕνεκα πολεμοῦντες ἅπαντα τὸν χρόνον διατελοῦσιν), οὐ μὴν ὁσίας, οὐδὲ καλάς, οὐδὲ πρεπούσας τοῖς ἀρετῆς ἀντιποιουμένοις, μὴ τῆς ἐπὶ τῶν τεχνῶν ὀνομαζομένης, καὶ πολλῶν ἄλλων, ἀλλὰ τῆς τοῖς καλοῖς κἀγαθοῖς τῶν ἀνδρῶν, ἐν ταῖς ψυχαῖς μετ᾽ εὐσεβείας καὶ δικαιοσύνης γιγνομένης, περὶ ἧς ἅπας ὁ λόγος ἐστίν. Ἧς ὀλιγωροῦντές τινες ἐγκωμιάζουσι τοὺς πλείω τῶν ἄλλων ἡμαρτηκότας, καὶ οὐκ αἰσθάνονται τὰς διανοίας ἐπιδεικνύντες τὰς σφετέρας αὐτῶν, ὅτι κἀκείνους ἂν ἐπαινέσειαν, τοὺς πλείω μὲν κεκτημένους τῶν ἱκανῶν, ἀποκτεῖναι δ᾽ ἂν τολμήσαντας τοὺς ἀδελφοὺς τοὺς αὑτῶν, καὶ τοὺς ἑταίρους, καὶ τοὺς κοινωνούς, ὥστε καὶ τἀκείνων λαβεῖν· ὅμοια γὰρ τὰ τοιαῦτα τῶν ἔργων ἐστὶ τοῖς ὑπὸ Σπαρτιατῶν πεπραγμένοις, ἃ τοὺς ἀποδεχομένους ἀναγκαῖόν ἐστι [καὶ] περὶ τῶν εἰρημένων[3] ἄρτι τὴν αὐτὴν γνώμην ἔχειν.

§ 75. Θαυμάζω δ᾽ εἴ τινες τὰς μάχας καὶ τὰς νίκας, τὰς παρὰ τὸ δίκαιον γενομένας,[2] μὴ νομίζουσιν αἰσχίους εἶναι, καὶ πλειόνων ὀνειδῶν μεστάς, ἢ τὰς ἥττας τὰς ἄνευ κακίας συμβαινούσας, καὶ ταῦτ᾽ εἰδότες, ὅτι μεγάλαι δυνάμεις, πονηραὶ δέ, πολλάκις γίγνονται κρείττους ἀνδρῶν σπουδαίων, καὶ κινδυνεύειν ὑπὲρ τῆς πατρίδος προαιρουμένων· οὓς πολὺ δικαιότερον ἂν ἐπαινοίημεν, ἢ τοὺς περὶ τῶν ἀλλοτρίων ἀποθνήσκειν ἑτοίμως ἐθέλοντας, καὶ τοῖς ξενικοῖς στρατεύμασιν ὁμοίους ὄντας. Ταῦτα μὲν γὰρ ἐστιν ἔργα πονηρῶν ἀνθρώπων· τὸ δὲ τοὺς χρηστοὺς ἐνίοτε χεῖρον

---

εἰς αὐτὸν ἐποίησεν ἐπιταφίου τοῦδε (σελ. 805).

Τὸν σοφὸν αἶσα βαρεῖα ὑφείλετο, αἴ! Σοφιανόν,
Ἀνθοῦνθ᾽ ἡλικίῃ, σώματι, φρεσί, τύχῃ.
Πενθείτω δὲ τὸν ἄνδρα Χίος, σύμπασά θ᾽ ἡ Ἑλλάς,
Ἣν πάλιν ἐξ ἀίδου φῶς προέηκεν ἰδεῖν.
Πενθούντων Χάριτες, Μοῦσαι, Κυθέρεια, Ἀπόλλων.
Πενθούντων ἀρετῆς οἷς σοφίης τε μέλλει.
Καὶ σὺ μάλιστα, φίλη Σειρήν, μέγ᾽ ὀδύρεο, τἀνδρὶ
Θ᾽ ἥμισυ τῆς βιοτῆς συγκαταθαπτομένη.

Καὶ ταῦτα μὲν περί τε τῆς πατρίδος καὶ τοῦ ὀνόματος τοῦ Σοφιανοῦ, ἢ τῶν Σοφιανῶν. Τί δ᾽ ἄν τις εἴποι καὶ περὶ τοῦ Στεφάνου, ἀνδρὸς περὶ τὴν Ἑλληνικὴν παιδείαν ἅπαντα τὸν βίον κατατετριφότος, καὶ τῶν Ἑλληνικῶν συγγραφέων οὐδέν ποτε προὐργιαίτερον ποιησαμένου, ὃς οὐ μόνον οὐκ ἐφρόντισε τοῦ μεταγράψαι, αἰτησάμενος παρὰ τοῦ Σοφιανοῦ, τὰ ἐν τῷ Ἰσοκράτει λείποντα, ἀλλ᾽ οὐδὲ μνείαν ὅλως ἐποιήσατο ἐν τῇ Ἰσοκράτους ἐκδόσει, οὔτε τῶν λειπόντων παρὰ τῷ Ῥήτορι, οὔτε τοῦ πολυθρυλλήτου τούτου Σοφιανικοῦ ἀντιγράφου; — 3. Καὶ περὶ τῶν εἰρημένων.) Προσέθηκα τὸν σύνδεσμον, λείποντα παρ᾽ ἅπασι.

§ 75. 2. Γενομένας.) Ἴσως, Γιγνομέ-

ἀγωνίζεσθαι τῶν ἀδικεῖν βουλομένων, θεῶν ἄν τις ἀμέλειαν εἶναι φήσειεν.[3] Ἔχοιμι δ' ἂν τῷ λόγῳ τούτῳ χρῆσθαι, καὶ περὶ τῆς συμφορᾶς τῆς Σπαρτιάταις ἐν Θερμοπύλαις γεγενημένης, ἣν ἅπαντες ὅσοιπερ ἀκηκόασιν, ἐπαινοῦσι καὶ θαυμάζουσι μᾶλλον, ἢ τὰς μάχας καὶ τὰς νίκας τὰς κρατησάσας μὲν τῶν ἐναντίων, πρὸς οὓς δ' οὐκ ἐχρῆν γεγενημένας· ἃς εὐλογεῖν τινες τολμῶσι, κακῶς εἰδότες, ὡς οὐδὲν οὔθ' ὅσιον, οὔτε καλόν ἐστι, τὸ μὴ μετὰ δικαιοσύνης καὶ λεγόμενον καὶ πραττόμενον. Ὧν Σπαρτιάταις μὲν οὐδὲν πώποτ' ἐμέλησε·[4] βλέπουσι γὰρ εἰς οὐδὲν ἄλλο, πλὴν ὅπως πλεῖστα τῶν ἀλλοτρίων κατασχήσουσιν.

§ 76. Οἱ δ' ἡμέτεροι περὶ οὐδὲν οὕτω τῶν ὄντων ἐσπούδαζον, ὡς τὸ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν· ἡγοῦντο γὰρ οὐδεμίαν ἂν γενέσθαι κρίσιν ἀληθεστέραν, οὐδὲ δικαιοτέραν τῆς ὑπὸ παντὸς τοῦ γένους γνωσθείσης.[2] Δῆλοι δ' ἦσαν οὕτως ἔχοντες, ἔν τε τοῖς ἄλλοις, οἷς διῴκουν τὴν πόλιν, καὶ τοῖς περὶ τῶν κοινῶν πραγμάτων·[3] τριῶν γὰρ πολέμων γενομένων, ἄνευ τοῦ Τρωϊκοῦ, τοῖς Ἕλλησι πρὸς τοὺς Βαρβάρους, ἐν ἅπασι τούτοις πρωτεύουσαν αὑτὴν παρέσχον. Ὧν εἷς μὲν ἦν ὁ πρὸς Ξέρξην, ἐν ᾧ πλέον διήνεγκαν Λακεδαιμονίων ἐν ἅπασι τοῖς κινδύνοις, ἢ κεῖνοι τῶν ἄλλων. Δεύτερος δὲ, ὁ περὶ τὴν κτίσιν τῶν ἀποικιῶν, εἰς ὃν Δωριέων μὲν οὐδεὶς ἦλθε συμπολεμήσων, ἡ δὲ πόλις ἡμῶν ἡγεμὼν καταστᾶσα τῶν οὐκ εὐπορούντων, καὶ τῶν ἄλλων τῶν βουλομένων,[4] τοσοῦτον τὰ πράγματα μετέστησεν, ὥστ' εἰθισμένων τῶν Βαρβάρων τὰς μεγίστας πόλεις τῶν Ἑλληνίδων καταλαμβάνειν, ἐποίησε τοὺς Ἕλληνας, ἃ πρότερον ἔπασχον, ταῦτα δύνασθαι ποιεῖν.

§ 77. Περὶ μὲν οὖν τοῖν δυοῖν πολέμοιν, ἐν τοῖς ἔμπροσθεν ἱκανῶς ἡμῖν εἴρηται. Περὶ δὲ τοῦ τρίτου ποιήσομαι τοὺς λόγους, ὃς ἐγένετο, τῶν μὲν Ἑλληνίδων πόλεων ἄρτι κατῳκισμένων, τῆς δὲ ἡμετέρας ἔτι βασιλευομένης. Ἐφ' ὧν καὶ πόλεμοι πλεῖστοι,[2] καὶ κίνδυνοι μέγιστοι συνέβησαν, οὓς ἅπαντας μὲν

---

νας. — 3. Φήσειεν.) Εἰς τοῦτο δεῖν ἔγνων μεταποιῆσαι τὸ παρ' ἅπασι γραφόμενον σολοίκως κατὰ πληθυντικὸν ἀριθμὸν, Φήσαιεν· πλὴν εἰ μή τις προείλετο γράφειν, Φῆσαι, ἢ κατὰ χώραν ἐῶν τὸ, Φήσαιεν, τρέπειν εἰς τὸ, Τινες, τὸ προηγησάμενον, Τίς. — 4. Πώποτ' ἐμέλησε.) Ἐν δὲ τῷ ἐμῷ, ᾧ συνᾴδει καὶ τὸ τοῦ Δαγζίου ἀντίγραφον, φέρεται, Πώποτε μετεμέλησε.

§ 76. 2. Ὑπὸ παντὸς τοῦ γένους γνωσθείσης.) Ὑφ' ἁπάντων τῶν Ἑλλήνων κριθείσης. — 3. Τοῖς περὶ τῶν κοινῶν πραγμάτων.) Ἐκ διορθώσεως τοῦ Στεφάνου παρέλαβον ὅ,τ' Αὐγῆρος καὶ ὁ Δάγζιος τὴν γραφὴν ταύτην, ἀντὶ τῆς παρὰ τοῖς ἄλλοις (οἷς συνᾴδει καὶ τὸ ἐμὸν ἀντίγραφον), Τοῖς τῶν πραγμάτων· ἀνθ' ἧς ἐν ἑνὶ τῶν τοῦ Αὐγήρου ἀντιγράφων φέρεται, Τοῖς τρισὶ τουτοισὶ πραγμάτων. — 4. Τῶν βουλομένων.) Ἐκ διορθώσεως Οὐολφίου παρειλήφασι τὸ ἄρθρον οἱ πρὸ ἐμοῦ, πλὴν τοῦ Στεφάνου, καὶ τοῦ Αὐγήρου.

§ 77. 2. Ἐφ' ὧν καὶ πόλεμοι πλεῖστοι.) Τὸ, Ἐφ' ὧν, προσυπακούουσιν οἱ πρὸ ἐμοῦ τὸ, Χρόνων· ἄμεινον δὲ προσυπακούειν τὸ, Βασιλέων, περιεχόμενον

οὔτ' ἂν εὑρεῖν οὔτ' ἂν εἰπεῖν δυνηθείην. Παραλιπὼν δὲ τὸν πλεῖστον ὄχλον[3] τῶν ἐν ἐκείνῳ μὲν τῷ χρόνῳ πραχθέντων, ῥηθῆναι δὲ νῦν οὐ κατεπειγόντων, ὡς ἂν δύνωμαι συντομώτατα πειράσομαι δηλῶσαι τούς τ' ἐπιστρατεύσαντας τῇ πόλει, καὶ τὰς μάχας τὰς ἀξίας μνημονευθῆναι, καὶ * ῥηθῆναι * τοὺς ἡγεμόνας ἡμῶν,[4] ἔτι δὲ τὰς προφάσεις, ἃς ἔλεγον, καὶ τὴν δύναμιν τῶν γενῶν τῶν συνακολουθησάντων αὐτοῖς. Ἱκανὰ γὰρ ἔσται ταῦτ' εἰπεῖν, πρὸς ἃ περὶ τῶν ἐναντίων εἰρήκαμεν.

§ 78. Θρᾷκες μὲν γὰρ μετ' Εὐμόλπου τοῦ Ποσειδῶνος, ἐνέβαλον εἰς τὴν χώραν ἡμῶν, ὃς ἠμφισβήτησεν Ἐρεχθεῖ τῆς πόλεως, φάσκων Ποσειδῶ[2] πρότερον Ἀθηνᾶς καταλαβεῖν αὐτήν· Σκύθαι δὲ μετ' Ἀμαζόνων, τῶν ἐξ Ἄρεως γενέσθαι λεγομένων, αἳ τὴν στρατείαν ἐπ' Ἀντιώπην τῆς Ἱππολύτης[3] ἐποίησαν,[4] τὴν τούς τε νόμους παραβᾶσαν τοὺς παρ' αὐταῖς κειμένους, ἐρασθεῖσάν τε Θησέως, καὶ συνακολουθήσασαν ἐκεῖθεν, καὶ συνοικήσασαν αὐτῷ· Πελοποννήσιοι δὲ μετ' Εὐρυσθέως, ὃς Ἡρακλεῖ μὲν οὐκ ἔδωκε δίκην, ὧν ἥμαρτεν εἰς αὐτόν, στρατεύσας δ' ἐπὶ τοὺς ἡμετέρους προγόνους, ὡς ἐκληψόμενος τοὺς ἐκείνου παῖδας (παρ' ἡμῖν γὰρ ἦσαν καταπεφευγότες), ἔπαθεν ἃ προσῆκεν αὐτόν· τοσούτου γὰρ ἐδέησε πρᾶξας[5] κύριος γενέσθαι τῶν ἱκετῶν, ὥστε ἡττηθεὶς μάχῃ, καὶ ζωγρηθεὶς ὑπὸ τῶν ἡμετέρων, αὐτὸς ἱκέτης γενόμενος τούτων, οὓς ἐξαιτήσων ἦλθε, τὸν βίον ἐτελεύτησε·

---

δυνάμει ἐν τῷ προηγησαμένῳ, Βασιλευομένης, ὅπερ ἀναλύεται εἰς τὸ, Ὑπὸ Βασιλέων διοικουμένης — 3. Ὄχλον.) Ἐκ διορθώσεως Οὐολφίου παρέλαβον οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Χρόνον, ὃ φέρεται καὶ ἐν τῷ ἐμῷ ἀντιγράφῳ. Ἴσως μέντοι γραπτέον, Τὰ πλεῖστα τῶν ἐν ἐκείνῳ τῷ χρόνῳ, χαίρειν φράσαντας καὶ τῷ Χρόνον, καὶ τῷ Ὄχλον. — 4. Τὰς ἀξίας μνημονευθῆναι, καὶ *ῥηθῆναι* τοὺς ἡγεμόνας ἡμῶν.) Οὕτως ἐν ἅπασι τοῖς ἀντιγράφοις. Διορθοῦν ἔγνωκα τὸ χωρίον τῇ μόνῃ περιαιρέσει τοῦ ψυχροῦ, Ῥηθῆναι. Ὁ δὲ Λάγγιος, ἐκ διορθώσεως τοῦ Αὐγήρου, γέγραφε, Τὰς ἀξίας μνημονευθῆναι, καὶ τοὺς ἡγεμόνας αὐτῶν τοὺς ῥηθῆναι ἀξίους. Ἔστι δὲ καὶ οὕτως διορθοῦν, προστιθέντας δεύτερον σύνδεσμον, Τὰς ἀξίας μνημονευθῆναι καὶ ῥηθῆναι, καὶ τοὺς ἡγεμόνας ἡμῶν.

§ 78. 2. Ποσειδῶ.) Οὕτως ἐγέγραπτο τὴν ἀρχὴν ἐν τῷ ἐμῷ, μεταγραφὲν ἔπειτα εἰς τὸ ἀνάττικον Ποσειδῶνα. — 3. Ἀντιώπην τὴν Ἱππολύτης.) Ἀδελφὴ ἦν Ἀντιώπης ἡ Ἱππολύτη, ὑπὸ Θησέως ἁρπασθεῖσα, ὥς φησιν Ἰουστῖνος (Β, δ', 23)· διὸ ὑπονοεῖ ὁ Οὔολφιος, γραπτέον εἶναι ἀνεστραμμένως, Ἱππολύτην τὴν Ἀντιώπης. Ὁ μέντοι Παυσανίας (Α, Β', καὶ μά) Ἀντιώπην φησίν, οὐχ Ἱππολύτην, ἁρπασθῆναι ὑπὸ Θησέως, καὶ ὅτι δι' αὐτὴν ἐπ' Ἀθηναίους ἐστράτευσαν αἱ Ἀμαζόνες, ἐν αἷς ἦν καὶ Ἱππολύτη ἡ ἀδελφὴ αὐτῆς, ἡ ἀποφυγοῦσα σὺν ὀλίγαις εἰς Μέγαρα, κἀκεῖ ὑπὸ λύπης τῆς διὰ τὴν ἧτταν τελευτήσασα. Αὐγῆρος δ' ὑποτοπάζει μήποτε γραπτέον, Ἀντιώπην τὴν Ἱππολύτου (τουτέστι μητέρα). — 4. Ἐποίησαν.) Ὀρθῶς ὑπενόησεν ὁ μακαρίτης Αὐγῆρος γραπτέον εἶναι κατὰ μέσην διάθεσιν, Ἐποιήσαντο· τοῦτο γὰρ ἐνταῦθα βούλεται ὡς ἐπὶ τὸ πολὺ ἡ τῶν δοκίμων χρῆσις. — 5. Πράξας.) Κατορθώσας τὸν πόλεμον, τουτέστι νικήσας. Οὕτω πάλαι διορθώσας, ἀντὶ τῆς παρ' ἅπασιν ἡμαρτημένης γραφῆς, Γράψας, ἐνέτυχον ἔπειτα καὶ τῷ σοφῷ τοῦ Διοδώρου τοῦ Σικελιώτου (Δ, νζ')

μετὰ δὲ τοῦτον[6] οἱ πεμφθέντες ὑπὸ Δαρείου, τὴν Ἑλλάδα πορθήσοντες, ἀποβάντες ἐπὶ Μαραθῶνι, πλείοσι κακοῖς καὶ μείζοσι συμφοραῖς περιπεσόντες, ὧν ἤλπισαν τὴν πόλιν ἡμῶν ποιήσειν, ᾤχοντο φεύγοντες ἐξ ἁπάσης τῆς Ἑλλάδος.

§ 79. Τούτους δ' ἅπαντας, οὓς διῆλθον, οὐ μετ' ἀλλήλων εἰσβαλόντας, οὐδὲ κατὰ τοὺς αὐτοὺς χρόνους, ἀλλ' ὡς οἵ τε καιροί, καὶ τὸ συμφέρον ἑκάστοις, καὶ τὸ συμβουλεύσασθαι συνέπιπτε, μάχῃ νικήσαντες, καὶ τῆς ὕβρεως παύσαντες, οὐκ ἐξέστησαν αὐτῶν, τηλικαῦτα διαπραξάμενοι τὸ μέγεθος, οὐδ' ἔπαθον ταὐτὸν τοῖς διὰ μὲν τὸ καλῶς καὶ φρονίμως βουλεύσασθαι, καὶ πλούτους μεγάλους καὶ δόξας καλὰς κτησαμένοις, διὰ δὲ τὰς ὑπερβολὰς τὰς τούτων ὑπερηφάνοις γενομένοις, καὶ τὴν φρόνησιν διαφθαρεῖσι, καὶ κατενεχθεῖσιν εἰς χείρω πράγματα καὶ ταπεινότερα τῶν πρότερον αὐτοῖς ὑπαρχόντων. Ἀλλά, ταῦτα πάντα[2] διαφυγόντες, ἐνέμειναν τοῖς ἤθεσιν, οἷς εἶχον, διὰ τὸ πολιτεύεσθαι καλῶς, μείζω φρονοῦντες ἐπὶ τῇ τῆς ψυχῆς ἕξει, καὶ ταῖς διανοίαις ταῖς ἑαυτῶν, ἢ ταῖς μάχαις ταῖς γεγενημέναις, καὶ [τῷ] μᾶλλον ὑπὸ τῶν ἄλλων θαυμάζεσθαι[3] διὰ τὴν καρτερίαν ταύτην καὶ σωφροσύνην, ἢ διὰ τὴν ἀνδρίαν, τὴν ἐν τοῖς κινδύνοις αὐτοῖς παραγενομένην.[4] Ἑώρων γὰρ ἅπαντες τὴν μὲν εὐψυχίαν τὴν πολεμικὴν πολλοὺς ἔχοντας, καὶ τῶν ταῖς κακίαις ὑπερβαλλόντων, τῆς δὲ χρησίμης[5] ἐπὶ πᾶσι, καὶ πάντας δυναμένης ὠφελεῖν, οὐ κοινωνοῦντας τοὺς πονηρούς, ἀλλὰ μόνοις ἐγγιγνομένην[6] τοῖς καλῶς γεγονόσι καὶ τεθραμμένοις, καὶ πεπαιδευμένοις,

---

ἐκδότῃ Οὐεσσελιγγίῳ, τὴν αὐτὴν ἐμοὶ διόρθωσιν εἰκάσαντι, πλὴν ὅτι οὐκ ὀρθῶς ἐκεῖνος ἐμοὶ δοκεῖν ἐξεδέξατο τό, Πρᾶξας, ἀντὶ τοῦ, Σπουδάσας, ἢ Προθυμηθείς. Ὅτι δὲ τό, Πρᾶξας, ὧδε σημαίνει τό, Κατορθώσας, ἢ τυχὼν τοῦ ποθουμένου, δηλοῖ μὲν καὶ Ὅμηρος (Ὀδυσσ. Γ, 60),

Δὸς δ' ἔτι Τηλέμαχον καὶ ἐμὲ πρήξαντα νέεσθαι, Οὕνεκα δεῦρ' ἱκόμεσθα θοῇ σὺν νηῒ μελαίνῃ·

δηλοῖ δὲ καὶ ἡ συνήθεια, τούτου δὴ τοῦ Ὁμηρικοῦ «Πρήξαντα νέεσθαι» τὸ ἀπεναντίον, Ἐγύρισεν ἄπρακτος, λέγουσα. — 6. Μετὰ δὲ τοῦτον.) Μετὰ τὸν Εὐρυσθέα. Οὕτως ὀρθῶς οἱ πρὸ ἐμοῦ, οἷς συνᾴδει καὶ τὸ ἐμὸν ἀντίγραφον, πλὴν τοῦ Ἄγγλου ἐκδότου καὶ τοῦ Λαγγίου, οἳ γράφουσι, Μετὰ δὲ τούτων. Ἐν δὲ ἀρχαίᾳ τινὶ ἐκδόσει (1555) εὕρηται, Μετὰ δὲ τοῦτο.

§ 79. 2. Ταῦτα πάντα.) Ἀνεστραμμένως ἐν τῷ ἐμῷ, Πάντα ταῦτα. — 3. Καὶ τῷ μᾶλλον ὑπὸ τῶν ἄλλων θαυμάζεσθαι.) Προσέθηκα τὸ παρ' ἅπασι λεῖπον κατὰ δοτικὴν ἄρθρον, ἵνα ἔχῃ συνάπτεσθαι πρὸς τὰ ἀνωτέρω, Μείζω φρονοῦντες ἐπὶ τῇ τῆς ψυχῆς ἕξει . . . καὶ ταῖς κ. τ. λ. Οὐόλφιος γράφειν παρῄνει, Ὥστε καὶ μᾶλλον ὑπὸ τῶν ἄλλων θαυμάζεσθαι· οὐδὲ τοῦτο κακῶς, εἰ διέγραφε τόν, Καί. Αὐγῆρος δὲ ἔτρεψε τό, Θαυμάζεσθαι, εἰς τό, Θαυμαζόμενοι. — 4. Τὴν ἐν τοῖς κινδύνοις αὐτοῖς παραγενομένην.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ᾧ συνᾴδει καὶ τὸ τοῦ Λαγγίου, ἀντὶ τοῦ παρὰ τοῖς ἄλλοις, Τὴν ἐν τοῖς πόνοις καὶ κινδύνοις κ. τ. λ. Ἴσως δ' ἄμεινον καὶ ἀντὶ τοῦ, Παραγενομένην, γράφειν κατ' ἐνεστῶτα Παραγιγνομένην. — 5. Τῆς δὲ χρησίμης.) Προσυπακουστέον τὸ Εὐψυχίας, ὡς ὀρθῶς ἔκρινεν ὁ Λάγγιος, οὐ τό, Σωφροσύνης ὡς ὑπειλήφει Οὐόλφιος. — 6. Ἐγγιγνο-

ἅπερ προσῆν τοῖς τότε τὴν πόλιν διοικοῦσι, καὶ τῶν προειρημένων ἀγαθῶν ἁπάντων αἰτίοις καταστᾶσι.

§ 80. Τοὺς μὲν οὖν ἄλλους ὁρῶ περὶ τὰ μέγιστα τῶν ἔργων, καὶ μάλιστα μνημονευθησόμενα[2] τοὺς λόγους καταλύοντας· ἐγὼ δὲ σωφρονεῖν μὲν νομίζω τοὺς ταῦτα γιγνώσκοντας καὶ πράττοντας, οὐ μὴν συμβαίνει[3] μοι ταὐτὸ ποιεῖν ἐκείνοις, ἀλλ᾿ ἔτι λέγειν ἀναγκάζομαι. Τὴν δ᾿ αἰτίαν, δι᾿ ἥν, ὕστερον ἐρῶ,[4] μικρὰ πάνυ περὶ αὐτῶν διαλεχθείς.

§ 81. Ἐπηνώρθουν μὲν γὰρ τὸν λόγον, τὸν μέχρι τῶν ἀναγνωσθέντων γεγραμμένον, μετὰ μειρακίων τριῶν ἢ τεττάρων τῶν εἰθισμένων μοι συνδιατρίβειν.[2] Ἐπειδὴ δὲ διεξιοῦσιν ἡμῖν ἐδόκει καλῶς ἔχειν, καὶ προσδεῖσθαι τελευτῆς μόνον, ἔδοξέ μοι μεταπέμψασθαί τινα τῶν ἐμοὶ μὲν πεπλησιακότων, ἐν ὀλιγαρχίᾳ δὲ πεπολιτευμένων, προῃρημένων δὲ Λακεδαιμονίους ἐπαινεῖν, ἵν᾿, εἴ τι παρέλαθεν ἡμᾶς ψευδῶς εἰρημένον, ἐκεῖνος κατιδὼν δηλώσειεν ἡμῖν. Ἐλθὼν δὲ ὁ κληθείς, καὶ διαναγνοὺς[3] τὸν λόγον (τὰ γὰρ μεταξὺ τί δεῖ λέγοντα διατρίβειν;), ἐδυσχέρανε μὲν οὐδενὶ τῶν γεγραμμένων, ἐπῄνεσε δ᾿ ὡς δυνατὸν μάλιστα, καὶ διελέχθη περὶ ἑκάστου τῶν μερῶν παραπλησίως, οἷς ἡμεῖς ἐγιγνώσκομεν· οὐ μὴν ἀλλὰ φανερὸς ἦν οὐχ ἡδέως ἔχων ἐπὶ τοῖς περὶ Λακεδαιμονίων εἰρημένοις. Ἐδήλωσε δὲ διὰ ταχέων· ἐτόλμησε γὰρ εἰπεῖν, ὡς εἰ καὶ μηδὲν ἄλλο πεποιήκασι τοὺς Ἕλληνας ἀγαθόν, ἀλλ᾿ οὖν ἐκείνου γε[4] δικαίως ἂν αὐτοῖς ἅπαντες

μένην.) Οὕτω καὶ τὸ ἐμὸν ἀντίγραφον, καθὰ ὁ Οὐόλφιος καὶ οἱ μετ᾿ αὐτὸν, πρὸς τὸ Ἑώρων δηλαδή· ἐν ἄλλοις δὲ γράφεται, Ἐγγιγνομένης, πρὸς τὸ, Χρησίμης.

§ 80. 2. Μνημονευθησόμενα.) Ἄξια τοῦ μνημονευθῆναι, ὧν χρὴ, ἢ προσήκει μνείαν ποιεῖσθαι. Καὶ σημειοῦ τὸν μέλλοντα, τοῦ καθήκοντος ὄντα δηλωτικόν, καθὰ καὶ ἐν τῷ, Ὦ κάκιστ᾿ ἀπολούμενε, τουτέστιν Ὦ τοῦ κάκιστ᾿ ἀπολέσθαι ἄξιε. — 3. Συμβαίνει.) Ἁρμόζει. Συνωνυμεῖ σχεδὸν ὧδε τῷ Συμφέρει τὸ Συμβαίνει. Καὶ ἔοικεν ἡ συνήθεια ἐντεῦθεν ὁρμηθεῖσα, τῷ Συμβῶ (Χυδ. Συμπῶ), παρὰ τὸ πρωτότυπον, Βάω, ἐπὶ τῆς τοιαύτης ἐνίοτε τάττειν σημασίας, οἷον, ὅταν φαμὲν, Δὲν τὸν ἐσύμβησε τὸ κλίμα. — 4. Τὴν δ᾿ αἰτίαν, δι᾿ ἥν, ὕστερον ἐρῶ.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ἀντὶ τῆς παρ᾿ ἅπασι βαρβάρου γραφῆς, Τὴν δ᾿ αἰτίαν, δι᾿ ἣν ΠΟΙΩ, ὕστερον ἐρῶ. Ἔοικε δὲ τὸ, Ποιῶ, ὡς ἐπεξήγησις προσγεγράφθαι ὑπό τινος, βουληθέντος μὲν δηλῶσαι ἐλλειπτικὴν εἶναι τὴν φράσιν, οὐκ ἐξισχύσαντος δὲ συνιδεῖν τὴν ἔλλειψιν· οὐ γὰρ τὸ, Ποιῶ, ἀλλὰ τὸ Ἀναγκάζομαι, προσυπακουστέον ἐκ τῶν προηγησαμένων ἀπὸ κοινοῦ. Ἔστι γὰρ ἡ φράσις ὁμοίᾳ θατέρᾳ ταύτῃ τῇ ἐν τῷ τέλει τοῦ πρὸς Φίλιππον λόγου, «Πολλὰ «δὲ βουλόμενος τοιαῦτα λέγειν οὐ δύ«ναμαι· τὴν δ᾿ αἰτίαν, δι᾿ ἣν, πλεονάκις «τοῦ δέοντος εἴρηκα,» προσυπακουστέον γὰρ κἀνταῦθα τὸ, Οὐ δύναμαι.

§ 81. 2. Συνδιατρίβειν.) Ἐκ διορθώσεως Οὐολφίου παρέλαβον οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ ἁπλοῦ, Διατρίβειν, τῶν ἀρχαίων ἐκδόσεων, αἷς συνᾴδει καὶ τὸ ἐμὸν ἀντίγραφον. — 3. Διαναγνούς.) Ἐκ διορθώσεως Οὐολφίου οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ, Διαγνούς, τῶν ἀρχαιοτέρων, οἷς συνᾴδει καὶ τὸ ἐμὸν ἀντίγραφον. — 4. Ἐκείνου γε.) Ἐλλειπτικῶς τοῦ, Ἕνεκα. Οὕτω διώρθωκα, δόξαν τοῦτο

χάριν ἔχοιεν, ὅτι τὰ κάλλιστα τῶν ἐπιτηδευμάτων εὑρόντες, αὐτοί τ' ἐχρῶντο, καὶ τοῖς ἄλλοις κατέδειξαν.

§ 82. Τοῦτο δὲ ῥηθὲν, οὕτω βραχὺ καὶ μικρὸν, αἴτιον ἐγένετο τοῦ μήτε καταλῦσαί με τὸν λόγον ἐφ' ὧν[2] ἠβουλήθην, ὑπολαβεῖν τε, ὡς αἰσχρὸν[3] ποιήσω, καὶ δεινὸν, εἰ παρῶν περιόψομαί τινα τῶν ἐμοὶ πεπλησιακότων, πονηροῖς λόγοις χρώμενον. Ταῦτα δὲ διανοηθεὶς, ἠρόμην αὐτὸν, εἰ μηδὲν φροντίζει τῶν παρόντων, μηδ' αἰσχύνεται λόγον εἰρηκὼς ἀσεβῆ, καὶ ψευδῆ, καὶ πολλῶν ἐναντιώσεων μεστόν; Γνώσῃ[4] δ', ὡς ἔστι τοιοῦτος, ἢν ἐρωτήσῃς τινὰς τῶν εὖ φρονούντων, ὁποῖα τῶν ἐπιτηδευμάτων κάλλιστα νομίζουσιν[5] εἶναι; καὶ μετὰ ταῦτα, πόσος χρόνος ἐστὶν, ἐξ οὗ Σπαρτιᾶται τυγχάνουσιν ἐν Πελοποννήσῳ κατοικοῦντες; Οὐδεὶς γὰρ ὅστις οὐχὶ τῶν ἐπιτηδευμάτων προκρίνει τὴν εὐσέβειαν τὴν περὶ τοὺς θεοὺς, καὶ τὴν δικαιοσύνην τὴν περὶ τοὺς ἀνθρώπους, καὶ τὴν φρόνησιν τὴν περὶ τὰς ἄλλας πράξεις· Σπαρτιάτας δὲ ἐνταῦθα κατοικεῖν οὐ πλείω φήσουσιν ἐτῶν ἑπτακοσίων.[6] Τούτων δὲ οὕτως ἐχόντων, εἰ μὲν σὺ τυγχάνεις ἀληθῆ λέγων, τούτους φάσκων εὑρετὰς γεγενῆσθαι τῶν καλλίστων ἐπιτηδευμάτων, ἀναγκαῖόν ἐστι τοὺς πολλαῖς γενεαῖς πρότερον γεγονότας, πρὶν Σπαρτιάτας ἐνταῦθα κατοικῆσαι, μὴ μετέχειν αὐτῶν, μήτε τοὺς ἐπὶ Τροίαν στρατευσαμένους, μήτε τοὺς περὶ Ἡρακλέα καὶ Θησέα γεγονότας, μήτε Μίνω τὸν Διὸς, μήτε Ῥαδάμανθυν, μήτ' Αἰακὸν, μήτε τῶν ἄλλων μηδένα τῶν νῦν ὑμνουμένων ἐπὶ ταῖς ἀρεταῖς ταύταις, ἀλλὰ ψευδῆ τὴν δόξαν ταύτην ἅπαντας ἔχειν. Εἰ δὲ σὺ μὲν φλυαρῶν τυγχάνεις, προσήκει δὲ τοὺς[7] ἀπὸ θεῶν γεγονότας, καὶ κεχρῆσθαι ταύταις

καὶ Λαγγίῳ, ἀντὶ τοῦ παρ' αὐτῷ τε καὶ τοῖς ἄλλοις ἅπασιν, Ἐκεῖνό γε· ὅπερ οἱ μὲν εἰς τὸ, Ἐκεῖνό γε οὔ, ἕτεροι δὲ εἰς τὸ, Δι' ἐκεῖνό γε, τρέπειν παρῄνουν.

§ 82. 2. Ἐφ' ὧν.) Ἐκ διορθώσεως (ᾗ συνᾴδει τὸ Λαγγιανὸν ἀντίγραφον) Οὐολφίου οἱ πρὸ ἐμοῦ, πλὴν Αὐγήρου ὃς ἔγραψεν, Ἐφ' οἷς, αὐτὸς διορθώσας· ἐν δὲ ταῖς ἀρχαίαις ἐκδόσεσι φέρεται, Ἐφ' ὃν, ὅπερ ἦν καὶ ἐν τῷ ἐμῷ ἀντιγράφῳ, μεταποιηθὲν ὕστερον εἰς τὴν οὐδὲν ἀμείνονα γραφὴν, Ἐφ' ὃ, ἥτις εὕρηται καὶ ἐν ἑνὶ τῶν τοῦ Αὐγήρου. — 3. Αἰσχρόν.) Οὕτως ἅπαντες συμφώνως τῷ ἐμῷ ἀντιγράφῳ, πλὴν τοῦ Ἀγγλου ἐκδότου, ὃς ἔγραψεν, Αἰσχρῶς, πλανηθεὶς ὑπὸ τοῦ παρὰ Οὐολφίῳ τυπογραφικοῦ ἁμαρτήματος Αἰσχρῶν, τοῦ μεταποιηθέντος ἐν ἑτέρᾳ ἐκδόσει εἰς τὸ, Αἰσχρῶς. — 4. Γνώσῃ.) Μεταβαίνει ἀπὸ τοῦ διηγηματικοῦ εἰς τὸ διαλογικὸν ὁ Ῥήτωρ. — 5. Κάλλιστα νομίζουσιν.) Εἰς τοῦτο δεῖν ἔγνων μεταποιῆσαι τὸ παρ' ἅπασι, Κάλλιστ' ἂν νομίζωσιν. — 6. Οὐ πλείω φήσουσιν ἐτῶν ἑπτακοσίων.) Τῷ ἀπηρτισμένῳ Λάγγιος χρήσασθαί φησιν Ἰσοκράτην ἀριθμῷ ἀντὶ τοῦ ἀκριβοῦς, Ἐτῶν ἑπτακοσίων καὶ ἑξήκοντα πρὸς τοῖς τέσσαρσι· τοσαῦτα γὰρ ἀριθμῆσθαι ἀπὸ τῆς τῶν Ἡρακλειδῶν εἰς Πελοπόννησον καθόδου μέχρι τοῦ τλθ' ἔτους πρὸ Χριστοῦ, καθ' ὃ εἰκὸς διαδεδόσθαι τὸν Παναθηναϊκὸν ὑπὸ Ἰσοκράτους, γεγονότος τὸ τηνικαῦτα ἔτη τριῶν δέοντα ἑκατὸν, ὡς αὐτὸς δηλώσει προϊὼν (§104). Ἐνδέχεται μέντοι καὶ ἀντὶ τοῦ Ἑπτακοσίων, γεγράφθαι πάλαι Ὀκτακοσίων· οὕτω γὰρ ἂν ἔγγιον εἴη τοῦ ἀληθοῦς ὁ ὑπολογισμός. — 7. Προσήκει δὲ τούς.) Ἐκ τοῦ

μᾶλλον τῶν ἄλλων, καὶ καταδεῖξαι τοῖς ἐπιγενομένοις,[8] οὐκ ἔστιν ὅπως οὐ μαίνεσθαι δόξεις ἅπασι τοῖς ἀκούουσιν, οὕτως εἰκῆ καὶ παρανόμως, οὓς ἂν τύχῃς, ἐπαινῶν, οἷς δὲ ἐπιτιμᾷν δέον, εὐλογῶν αὐτούς,[9] ὡς μηδὲν ἀκηκοὼς τῶν ἐμῶν.[10] Ἐλήρεις μὲν γὰρ καὶ πρὶν ἄν, οὐ μὴν ἐναντία γε λέγων ἐφαίνου σαυτῷ·[11] νῦν δ' ἐπηνηκότι τὸν ἐμὸν λόγον,[12] τὸν ἐπιδεικνύντα πολλὰ καὶ δεινὰ Λακεδαιμονίους περί τε τοὺς συγγενεῖς τοὺς ἑαυτῶν, καὶ περὶ τοὺς ἄλλους Ἕλληνας, διαπεπραγμένους, πῶς οἷόν τ' ἦν ἔτι σοι[13] λέγειν, τοὺς ἐνόχους ὄντας τούτοις, ὡς τῶν καλλίστων ἐπιτηδευμάτων ἡγεμόνες γεγόνασι;

§ 83. Πρὸς δὲ τούτοις κἀκεῖνο ἐθαύμαζον, εἰ λέληθεν αὐτόν, ὅτι τὰ παραλελειμμένα τῶν ἐπιτηδευμάτων, καὶ τῶν τεχνῶν, καὶ τῶν ἄλλων ἁπάντων, οὐχ οἱ τυχόντες εὑρίσκουσιν, ἀλλ' οἱ τάς τε φύσεις διαφέροντες, καὶ μαθεῖν πλεῖστα τῶν πρότερον εὑρημένων δυνηθέντες, καὶ προσέχειν τὸν νοῦν τῷ ζητεῖν μᾶλλον τῶν ἄλλων ἐθελήσαντες. Ὧν Λακεδαιμόνιοι πλεῖστον ἀπέχουσι τῶν Βαρβάρων·[2] οἱ μὲν γὰρ ἂν φανεῖεν πολλῶν εὑρημάτων καὶ μαθηταὶ καὶ διδάσκαλοι γεγονότες, οὗτοι δὲ τοσοῦτον ἀπολελειμμένοι τῆς κοινῆς παιδείας καὶ φιλοσοφίας εἰσίν, ὥστ' οὐδὲ γράμματα μανθάνουσιν,[3] ἃ τηλικαύτην ἔχει δύναμιν, ὥστε τοὺς ἐπισταμένους αὐτά, καὶ χρωμένους ὀρθῶς αὐτοῖς, μὴ μόνον ἐμπείρους γίγνεσθαι τῶν ἐπὶ τῆς ἡλικίας τῆς αὐτῶν πρα-

παρ' ἅπασι γραφομένου, Προσήκει δὲ καὶ τούς, ὠβέλισα τὸν δεύτερον σύνδεσμον. — 8. Τοῖς ἐπιγενομένοις.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ᾧ συνᾴδει καὶ τις τῶν ἀρχαίων ἐκδόσεων, ἀντὶ τοῦ, Τοῖς ἐπιγινομένοις. — 9. Οἷς δὲ ἐπιτιμᾷν δέον, εὐλογῶν αὐτούς) Τὸ μέν, Οἷς, ἀντὶ τοῦ Οὕς, ἐκ τοῦ Στεφάνου παρέλαβον οἱ πρὸ ἐμοῦ· τὸ δέ, Εὐλογῶν, ἀντὶ τοῦ Εὐλογεῖς, τοῦ Αὐγήρου διορθώσαντος, ἀπεδέξατο καὶ ὁ Λάγγιος. Ἴσως δὲ καὶ τό, Δέον, ἐγράφετο πάλαι, Δέοι. — 10. Ὡς μηδὲν ἀκηκοὼς τῶν ἐμῶν.) Οὐολφίου προσθέντος τό, Ὡς, παρέλαβον καὶ οἱ μετ' αὐτόν, πλὴν τοῦ Στεφάνου. — 11. Σαυτῷ.) Ἐκ διορθώσεως Οὐολφίου, ἣν ἀπεδέξαντο καὶ οἱ μετ' αὐτόν, ἀντὶ τοῦ, Σαυτοῦ. — 12. Ἐπηνηκότι τὸν ἐμὸν λόγον.) Ἐκ διορθώσεως Αὐγήρου, ἀντὶ τοῦ, Ἐπενεγκόντι μοι τὸν ἐμὸν λόγον, ἀνθ' οὗ μειζόνως ἡμαρτημένον φέρεται ἐν τῷ Λαγγίου ἀντιγράφῳ Ἐπενεγκότι κ. τ. λ. Τὸ ἐμὸν ἔφερε μὲν πάλαι, Ἐπηνεκότι μοι τὸν ἐμὸν λόγον (ὃ καλῶς ἂν εἶχεν, εἰ διεγέγραπτο ἡ, Μοι, ἀντωνυμία), διωρθώθη δὲ ὑπὸ χειρὸς ἀσόφου, Ἐπενεγκότι τὸν ἐμόν σοι λόγον. — 13. Ἔτι σοι.) Ἐκ διορθώσεως Οὐολφίου οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ ἐν ταῖς ἀρχαίαις ἐκδόσεσι καὶ τῷ Στεφάνῳ, Ἐπὶ σοί. Φέρει δὲ τὴν ὀρθὴν γραφὴν καὶ ἓν τῶν τοῦ Αὐγήρου ἀντιγράφων, καὶ τὸ ἐμὸν ἐξ ὀψιαιτέρας διορθώσεως.

§ 83. 2. Πλεῖστον ἀπέχουσι τῶν βαρβάρων.) Τὸ Πλεῖστον ὁ Οὐολφίος ἐπὶ τοῦ Πλεῖον ὧδε τετάχθαι φησί. Ἴσως μέντοι ἄμεινον εἰς αὐτὸ τοῦτο τό, Πλεῖον, τρέπειν, ὡς ἔδοξε καὶ τῷ Αὐγήρῳ — 3. Οὐδὲ γράμματα μανθάνουσιν.) Ὁ δὲ Πλάτων (Ἱππ. μείζ. σελ. 285) περὶ Λακεδαιμονίων φησίν, ὅτι «Οὐδ' ἀριθμεῖν ἐκείνων γε, ὡς ἔπος εἰπεῖν, πολλοὶ ἐπίστανται». Καὶ ὑπὲρ ταύτης τῆς Λακωνικῆς ἀμουσίας πολύς ἐστιν ἀπολογούμενος ὁ Κράγιος (περὶ Πολιτ. Λακ. Γ, ή, 1). Ἡμεῖς δ' Ἰσοκράτει πειθόμενοι, καὶ λόγους τιμήσομεν, καὶ μετ' ἐκείνου (Συμμαχ. ιβ΄) λέγειν οὐ παυσόμεθα, ὅτι «Οἱ τῆς ἑαυτῶν διανοίας ὀλιγωροῦντες, λελήθασι σφᾶς αὐτοὺς ἅμα τοῦ τε φρονεῖν ἄμεινον, καὶ τοῦ βέλτιον τῶν ἄλλων πράττειν ὀλιγωροῦντες».

χθέντων, ἀλλὰ καὶ τῶν πώποτε γενομένων. Ἀλλ' ὅμως σὺ καὶ τοὺς τῶν τοιούτων ἀμαθεῖς ὄντας, ἐτόλμησας εἰπεῖν, ὡς εὑρεταὶ τῶν καλλίστων παιδευμάτων[4] γεγόνασι· καὶ ταῦτ' εἰδὼς, ὅτι τοὺς παῖδας τοὺς ἑαυτῶν ἐθίζουσι περὶ τοιαύτας πραγματείας διατρίβειν, ἐξ ὧν ἐλπίζουσιν αὐτοὺς οὐκ εὐεργέτας γενήσεσθαι[5] τῶν ἄλλων, ἀλλὰ κακῶς ποιεῖν μάλιστα δυνήσεσθαι τοὺς Ἕλληνας.

§ 84. Ἃς ἁπάσας[2] μὲν διεξιὼν, πολὺν ὄχλον ἐμαυτῷ τ' ἂν παράσχοιμι, καὶ τοῖς ἀκούουσι· μίαν δὲ μόνον εἰπὼν, ἣν ἀγαπῶσι, καὶ περὶ ἣν μάλιστα σπουδάζουσιν, οἶμαι δηλώσειν ἅπαντα τὸν τρόπον αὐτῶν. Ἐκεῖνοι γὰρ καθ' ἑκάστην ἡμέραν, εὐθὺς ἐξ εὐνῆς προπέμπουσι τοὺς παῖδας, μεθ' ὧν ἂν ἕκαστοι βουληθῶσι, λόγῳ μὲν ἐπὶ θήραν, ἔργῳ δ' ἐπὶ κλοπίαν τῶν ἐν τοῖς ἀγροῖς κατοικούντων· ἐν ᾗ συμβαίνει τοὺς μὲν ληφθέντας ἀργύριον ἀποτίνειν, καὶ πληγὰς λαμβάνειν, τοὺς δὲ πλεῖστα κακουργήσαντας, καὶ λαθεῖν[3] δυνηθέντας, ἔν τε τοῖς παισὶν εὐδοκιμεῖν μᾶλλον τῶν ἄλλων, ἐπειδὰν δ' εἰς ἄνδρας συντελῶσιν, ἣν ἐμμείνωσι τοῖς ἤθεσιν, οἷς παῖδες ὄντες ἐμελέτησαν, ἐγγὺς εἶναι τῶν ἀρχῶν τῶν μεγίστων. Καὶ ταύτης ἥν τις ἐπίδειξῃ παιδείαν μᾶλλον ἀγαπωμένην, ἢ σπουδαιοτέραν παρ' αὐτοῖς εἶναι νομιζομένην, ὁμολογῶ μηδὲν εἰρηκέναι μηδὲ περὶ ἑνὸς πώποτε πράγματος. Καίτοι τί τῶν τοιούτων ἔργων καλόν ἐστιν, ἢ σεμνὸν, ἀλλ' οὐκ αἰσχύνης ἄξιον; πῶς δ' οὐκ ἀνοήτους χρὴ νομίζειν τοὺς ἐπαινοῦντας τοὺς τοσοῦτον τῶν νόμων τῶν κοινῶν ἐξεστηκότας, καὶ μηδὲν τῶν αὐτῶν μήτε τοῖς Ἕλλησι, μήτε τοῖς Βαρβάροις γιγνώσκοντας; οἱ μὲν γὰρ τοὺς κακουργοῦντας, καὶ κλέπτοντας, πονηροτέρους τῶν οἰκετῶν νομίζουσιν, ἐκεῖνοι δὲ τοὺς ἐν τοῖς τοιούτοις τῶν ἔργων πρωτεύοντας,[4] βελτίστους εἶναι τῶν παίδων ὑπολαμβάνουσι, καὶ

— 4. Τῶν καλλίστων παιδευμάτων.) Μεταμέλει μοι μὴ γράψαντι, Ἐπιτηδευμάτων, καίπερ ἐν οὐδενὶ τῶν ἀντιγράφων φερομένης τῆς τοιαύτης γραφῆς· πολλάκις γὰρ ἀνωτέρω (σελ. 276.) εἴρηκε, καὶ ἐν τοῖς ἑξῆς οὐδὲν ἧττον ἐρεῖ, Ἐπιτηδευμάτων, οὐ Παιδευμάτων. — 5. Γενήσεσθαι.) Ἐκ διορθώσεως τοῦ Στεφάνου καλῶς ποιῶν παρέλαβεν ὁ Αὐγῆρος, ἀντὶ τοῦ παρὰ τοῖς πρὸ αὐτοῦ (οἷς συνᾴδει καὶ τὸ ἐμὸν ἀντίγραφον), Γεγενῆσθαι. Τὸ δὲ, Γενῆσθαι, ὁ Λάγγιος παρείληφεν ἐκ τοῦ ἰδίου ἀντιγράφου, οὐδ' Ἑλληνικὸν ὅλως ὂν, τρεπτέον εἰς τὸ, Γενέσθαι· τὸ γὰρ, Ἐλπίζω, μετ' ἀορίστου οὐδὲν ἧττον ἢ μέλλοντος φιλεῖ συνάπτεσθαι.

§ 84. 2. Ἃς ἁπάσας.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ᾧ συνᾴδει καὶ τὸ τοῦ Λαγγίου, ἀντὶ τῆς παρ' ἅπασιν ἡμαρτημένης γραφῆς, Καὶ ἁπάσας. — 3. Λαθεῖν.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ἀντὶ τοῦ παρ' ἅπασιν ἡμαρτημένου, Λαβεῖν. — 4. Τοὺς ἐν τοῖς τοιούτοις τῶν ἔργων πρωτεύοντας.) Ἐν ταῖς ἀρχαίαις ἐκδόσεσι καὶ τῇ τοῦ Στεφάνου γράφεται, Τοὺς τοιούτους τῶν ἔργων πρωτεύοντας, διορθώσαντος δὲ Οὐολφίου, τοὺς τοιούτων τῶν ἔργων πρωτεύοντας· παρέλαβον οἱ μετ' αὐτὸν ἅπαντες τὴν γραφὴν, καίπερ οὖσαν βάρβαρον· ὤφειλε γὰρ εἶναι Τοὺς τῶν τοιούτων ἔργων, μεταθέσει τοῦ ἄρθρου, ἢ, Τοὺς τοιούτων ἔργων, δίχα τοῦ ἄρθρου, καθὰ φέρεται σαφῶς ἐν τῷ

μάλιστα τιμῶσι. Καίτοι τίς ἂν τῶν εὖ φρονούντων οὐκ ἂν ἀποθανεῖν ἕλοιτο μᾶλλον, ἢ διὰ τοιούτων ἐπιτηδευμάτων γνωσθῆναι τὴν ἄσκησιν τῆς ἀρετῆς ποιούμενος;

§ 85. Ταῦτ' ἀκούσας, θρασέως μὲν οὐδὲ πρὸς ἓν[2] ἀντεῖπε τῶν εἰρημένων, οὐδ' αὖ παντάπασιν ἀπεσιώπησεν. Ἀλλ' ἔλεγεν, ὅτι σὺ μὲν πεποίησαι τοὺς λόγους (ἐμὲ λέγων), ὡς ἂν ἅπαντ' ἀποδεχομένου μου τἀκείνων, καὶ καλῶς ἔχειν νομίζοντος· ἐμοὶ δὲ δοκεῖς ὑπὲρ τῆς τῶν παίδων μὲν αὐτονομίας, καὶ περὶ ἄλλων πολλῶν, εἰκότως ἐπιτιμᾶν ἐκείνοις, ἐμοῦ δ' οὐ δικαίως κατηγορεῖν. Ἐγὼ γὰρ ἐλυπήθην μέν, τὸν λόγον ἀναγιγνώσκων, ἐπὶ τοῖς περὶ Λακεδαιμονίων εἰρημένοις, οὐ μὴν οὕτως, ὡς ἐπὶ τῷ μηδὲν ἀντειπεῖν ὑπὲρ αὐτῶν δύνασθαι τοῖς γεγραμμένοις, εἰθισμένος τὸν ἄλλον χρόνον αὐτοὺς ἐπαινεῖν. Εἰς τοιαύτην δ' ἀπορίαν καταστάς, εἶπον ὅπερ ἦν λοιπόν, ὡς, εἰ καὶ μηδὲν δι' ἄλλο,[3] διά γ' ἐκεῖνο δικαίως ἂν αὐτοῖς ἅπαντες χάριν ἔχοιμεν, ὅτι τοῖς καλλίστοις τῶν ἐπιτηδευμάτων χρώμενοι τυγχάνοιεν. Ταῦτα δ' εἶπον, οὐ πρὸς τὴν εὐσέβειαν, οὐδὲ πρὸς τὴν δικαιοσύνην, οὐδὲ πρὸς τὴν φρόνησιν ἀποβλέψας, ἃ σὺ διῆλθες, ἀλλὰ πρὸς τὰ γυμνάσια τἀκεῖ καθεστῶτα, καὶ πρὸς τὴν ἄσκησιν τῆς ἀνδρίας, καὶ πρὸς τὴν ὁμόνοιαν, καὶ τὸ σύνολον τῆς περὶ τὸν πόλεμον ἐπιμελείας,[4] ἅπερ ἅπαντες ἂν ἐπαινοῖεν,[5] καὶ μάλιστα ἂν αὐτοῖς ἐκείνους χρῆσθαι φήσαιεν.

§ 86. Ταῦτα δ' αὐτοῦ μοι διαλεχθέντος, ἀπεδεξάμην μέν, οὐχ ὡς ἀπολυόμενόν τι τῶν κατηγορημένων, ἀλλ' ὡς ἀποκρυπτόμενον

---

μῳ ἀντιγράφῳ. Ἀλλ', οὐδὲ ταύτην τὴν ἐγραφὴν ὀρθῶς ἔχειν δόξαν μοι, ἔτρεψα εἰς τό, Τοὺς ἐν τοῖς τοιούτοις τῶν ἔργων πρωτεύοντας, διὰ τὸ φίλην Ἰσοκράτει εἶναι τὴν φράσιν ταύτην, Πρωτεύειν τινὰ ἔν τινι, τουτέστι, Πρῶτον εἶναι τῶν ἄλλων ἐν ἕξει, ἢ δυνάμει, ἢ τέχνῃ τινί. Αὐτίκα ἐν αὐτῷ τούτῳ τῷ λόγῳ μικρὸν ἀνωτέρω (§ 76) εἴρηκεν, «Ἐν ἅπασι τούτοις πρωτεύουσαν αὐτὴν παρέσχον». Οἷς προστιθέσθω καὶ τὸ ἐκ τοῦ περὶ τῆς Ἀντιδόσεως (§ 18) παράδειγμα τοῦτο «Νομίζοντες τοὺς ἐν τούτοις πρωτεύοντας «πολὺ σοφωτέρους . . . εἶναι τῶν τὰς δίκας εὖ λεγόντων».

§ 85 2. Οὐδὲ πρὸς ἕν.) Ἀντὶ τοῦ κοινοτέρου, Πρὸς οὐδέν. — 3. Μηδὲν δι' ἄλλο.) Καὶ τοῦτο, ἀντὶ τοῦ κοινοτέρου, Διὰ μηδὲν ἄλλο. — 4. Καὶ τὸ σύνολον τῆς περὶ τὸν πόλεμον ἐπιμελείας.) Οὕτως αἱ ἀρχαῖαι ἐκδόσεις, τὸ τοῦ Ἄγγλου ἐκδότου ἀντίγραφον, τὸ τοῦ Λαγγίου, δύο τῶν τοῦ Αὐγήρου, καὶ πέμπτον τὸ ἐμόν. Οὐόλφιος δέ, καὶ οἱ μετ' ἐκεῖνον, γράφουσι Καὶ τὸ σύνολον, τὴν περὶ τὸν πόλεμον ἐπιμέλειαν, στίζοντες μετὰ τό, Σύνολον, ἵν' ἔχῃ ἐπιρρηματικῶς ἐκλαμβάνεσθαι, καὶ συνάπτοντες τό, Τὴν ἐπιμέλειαν τῇ προηγησαμένῃ, Πρός, προθέσει, Ad studium denique rei militaris singulare, ὡς ἑρμηνεύει Οὐόλφιος. Ἐν δὲ τῇ ἡμετέρᾳ γραφῇ, ἣν ἐφύλαξε καὶ ὁ Στέφανος ἐν τῷ Θησαυρῷ (Β, σελ. 1281), τὸ μὲν Τῆς ἐπιμελείας, κτητικῶς ἀναφέρεται πρός, τὸ Σύνολον· αὐτὸ δὲ τοῦτο αἰτιατικῶς πρὸς τὴν πρόθεσιν. Καὶ εἴη ἂν ὁ νοῦς, Καὶ πρὸς τὴν ὅλην περὶ τὸν πόλεμον ἐπιμέλειαν, ὃν ἐκφράσαις ἂν λατινιστί, Et ad universum rei militaris studium. — 5. Ἐπαινοῖεν.) Ἐκ διορθώσεως Οὐολφίου, ἣν καὶ ἡμεῖς πάλαι, πρὸ τοῦ ἐντυχεῖν Οὐολφίῳ, ὑπενοήσαμεν, ἀντὶ τοῦ παρ' ἅπασιν, Εἴποιεν.

τὸ πικρότατον τῶν τότε ῥηθέντων, οὐκ ἀπαιδεύτως, ἀλλὰ νουνεχόντως, καὶ περὶ τῶν ἄλλων ἀπολελογημένον σωφρονέστερον, ἢ τότε παῤῥησιασάμενον.

§ 87. Οὐ μὴν ἀλλ' ἐκεῖνο ἐάσας, περὶ αὐτῶν τούτων ἔφασκον κατηγορίαν ἔχειν πολὺ δεινοτέραν, ἢ περὶ τῆς τῶν παίδων κλοπίας.[2] Ἐκείνοις μὲν γὰρ τοῖς ἐπιτηδεύμασιν ἐλυμαίνοντο τοὺς αὑτῶν παῖδας, οἷς δ' ὀλίγῳ πρότερον σὺ διῆλθες, τοὺς Ἕλληνας ἀπώλεσαν. Ῥᾴδιον δ', ὡς οὕτως εἶχε ταῦτα, συνιδεῖν. Οἶμαι γὰρ [ἂν] ἅπαντας ὁμολογῆσαι,[3] κακίστους ἄνδρας εἶναι καὶ μεγίστης ζημίας ἀξίους, ὅσοι τοῖς πράγμασι τοῖς εὑρημένοις ἐπ' ὠφελείᾳ, τούτοις ἐπὶ βλάβῃ χρώμενοι τυγχάνουσι, μηδὲ πρὸς τοὺς Βαρβάρους, μηδὲ πρὸς τοὺς ἁμαρτάνοντας, μηδὲ πρὸς τοὺς εἰς τὴν αὐτῶν χώραν εἰσβάλλοντας, ἀλλὰ πρὸς τοὺς οἰκειοτάτους, καὶ τῆς αὐτῆς συγγενείας μετέχοντας· ἅπερ ἐποίουν Σπαρτιᾶται. Καίτοι πῶς ὅσιόν ἐστι τούτους φάσκειν καλῶς χρῆσθαι τοῖς περὶ τὸν πόλεμον ἐπιτηδεύμασιν, οἵτινες, οὓς προσῆκε σώζειν, τούτους ἀπολλύντες ἅπαντα τὸν χρόνον διετέλεσαν;

§ 88. Ἀλλὰ γὰρ οὐ σὺ μόνος ἀγνοεῖς τοὺς καλῶς χρωμένους τοῖς πράγμασιν, ἀλλὰ σχεδὸν οἱ πλεῖστοι τῶν Ἑλλήνων. Ἐπειδὰν γάρ τινας ἴδωσιν, ἢ πύθωνται παρά τινων, ἐπιμελῶς διατρίβοντας περί τι τῶν δοκούντων[2] εἶναι καλῶν ἐπιτηδευμάτων, ἐπαινοῦσι, καὶ πολλοὺς λόγους ποιοῦνται περὶ αὐτῶν, οὐκ εἰδότες τὸ συμβησόμενον. Χρὴ δὲ τοὺς ὀρθῶς δοκιμάζειν προαιρουμένους *καὶ* περὶ τῶν τοιούτων,[3] ἐν ἀρχῇ μὲν ἡσυχίαν ἄγειν, καὶ μηδεμίαν δόξαν ἔχειν περὶ αὐτῶν· ἐπειδὰν δ' εἰς τὸν χρόνον ἐκεῖνον ἔλθωσιν, ἐν ᾧ καὶ λέγοντας καὶ πράττοντας αὐτοὺς ὄψονται, καὶ περὶ τῶν ἰδίων, καὶ περὶ τῶν κοινῶν, τότε θεωρεῖν ἀκριβῶς ἕκαστον αὐτῶν, καὶ τοὺς μὲν νομίμως καὶ καλῶς χρωμένους, οἷς *ἂν* ἐ-

---

§ 87. 2. Κλοπίας.) Κλωπίας, ὧδε τὸ ἐμὸν ἀντίγραφον, διὰ τοῦ μεγάλου ω, παρὰ τὸ, Κλώψ· ἣν εἴποις ἂν καὶ διὰ διφθόγγου, Κλωπείαν, παρὰ τὸ, Κλωπεύω. Τὸ δὲ, Κλοπίας, εἰ μὲν διὰ μονοφθόγγου, παρὰ τὸν μέσον τοῦ Κλέπτω παρακείμενον Κέκλοπα· εἰ δὲ διὰ διφθόγγου, Κλοπείας, παρὰ τὸ, Κλοπεύω. Εὕρηται γὰρ καὶ τοῦτο, εἴτε διὰ πλάνην τῶν ἀντιγραφέων, εἴτε καὶ διὰ τὸ τὰ τοιαῦτα πάντα ὀμικρογραφεῖσθαι πρὸ τῆς εὑρέσεως τοῦ ω στοιχείου. — 3 Οἶμαι γὰρ ἂν ἅπαντας ὁμολογῆσαι.) Προσέθηκα τὸν, Ἂν, ἵν' ᾖ ὁ νοῦς, Νομίζω γὰρ ἅπαντας ὁμολογήσειν, ἢ, Νομίζω γὰρ ὅτι ἅπαντες ἂν ὁμολογήσαιεν· τὸ γὰρ ἄνευ τοῦ δυνητικοῦ οὐδὲν ἂν ἄλλο σημήνειεν, ἢ Νομίζω ὅτι ἅπαντες ὡμολόγησαν. Εἰ δὲ δυσχεραίνοις τῇ προσθήκῃ, τρέπε τὸ Ὁμολογῆσαι, εἰς τὸ Ὁμολογήσειν.

§ 88. 2 Περί τι τῶν δοκούντων.) Λείπει κακῶς ἔν τισι, καθὰ καὶ ἐν τῷ ἐμῷ ἀντιγράφῳ, τὸ, Τί. — 3. Δοκιμάζειν, προαιρουμένους περὶ τῶν τοιούτων.) Ἢ ὀβελιστέον τὸν πρὸ τῆς, Περὶ, προθέσεως σύνδεσμον, Καὶ, καθάπερ ἐποίησεν ὁ Αὐγῆρος, ἢ προσθετέον ἀπαρέμφατον ἕτερον (ἴσως τὸ, Κρίνειν), ὅπερ εἰκὸς

μελέτησαν,[4] ἐπαινεῖν καὶ τιμᾶν, τοὺς δὲ πλημμελοῦντας καὶ κακουργοῦντας ψέγειν καὶ μισεῖν, καὶ φυλάττεσθαι τὸν τρόπον αὐτῶν, ἐνθυμουμένους, ὡς οὐχ αἱ φύσεις αἱ τῶν πραγμάτων[5] οὔτ᾽ ὠφελοῦσιν, οὔτε βλάπτουσιν ἡμᾶς, ἀλλ᾽ αἱ τῶν ἀνθρώπων χρήσεις καὶ πράξεις ἁπάντων ἡμῖν αἴτιαι τῶν συμβαινόντων εἰσίν. Γνοίη δ᾽ ἄν τις ἐκεῖθεν· τὰ γὰρ αὐτὰ πανταχῇ, καὶ μηδαμῇ διαφέροντα, τοῖς μὲν ὠφέλιμα, τοῖς δὲ βλαβερὰ γίγνεται. Καίτοι *οὐ* τὸ τὴν μὲν φύσιν ἔχειν ἕκαστον τῶν ὄντων ἐναντίαν αὐτῇ, καὶ μὴ τὴν αὐτὴν, οὐκ εὔλογόν ἐστι· τὸ δὲ μηδὲν τῶν αὐτῶν συμβαίνειν τοῖς ὀρθῶς καὶ δικαίως πράττουσιν, καὶ τοῖς ἀσελγῶς καὶ κακῶς, τίσι τῶν ὀρθῶς λογιζομένων οὐκ ἂν εἰκότως τοῦτο γίγνεσθαι δόξειεν;[6]

§ 89. Ὁ δ᾽ αὐτὸς οὗτος λόγος καὶ περὶ τὰς ὁμονοίας ἂν ἁρμόσειε. Καὶ γὰρ ἐκεῖναι τὴν φύσιν οὐκ ἀνόμοιαι τοῖς εἰρημένοις· ἀλλὰ τὰς μὲν αὐτῶν εὕροιμεν ἂν πλείστων ἀγαθῶν αἰτίας γιγνομένας, τὰς δὲ τῶν μεγίστων κακῶν καὶ συμφορῶν. Ὧν μίαν εἶναί φημι καὶ τὴν Σπαρτιατῶν· εἰρήσεται γὰρ τἀληθὲς, εἰ καί τισι δόξω λίαν παράδοξα λέγειν. Οὗτοι γὰρ ἀφορμῇ τοῦ ταὐτὰ γιγνώσκειν, εἰδότες παρὰ τῶν ἔξω παραγενομένων, ἀλλήλοις στασιάζειν τοὺς Ἕλληνας, ὥσπερ τέχνην ἔχοντες τὸ ἁρπάζειν, οὕτως ἐποίουν,[2] καὶ τὸ χαλεπώτατον ταῖς ἄλλαις πόλεσι τῶν κακῶν γιγνό-

---

παραλελεῖφθαι τοῖς ἀντιγραφεῦσι. — 4. Οἷς *ἂν* ἐμελέτησαν.) Ἀστερίσκοις ἀπεχώρισα τὸν σόλοικον ἐνταῦθα δυνητικόν· ἄλλως τε καὶ ἐπειδὴ ἀνωτέρω (§ 94.) ἄνευ τοῦ δοτικοῦ ἐξήνεγκε τὴν αὐτὴν ταύτην φράσιν. — 5. Αἱ φύσεις αἱ τῶν πραγμάτων.) Ἀπεκατέστησε, καλῶς ποιῶν, ὁ Λάγγιος τὸ δεύτερον ἄρθρον, ἐκ τῶν ἀρχαιοτέρων ἐκδόσεων καὶ τοῦ ἰδίου ἀντιγράφου, ᾧ συνᾴδει καὶ τὸ ἐμόν. Σύνηθες γὰρ καὶ φίλον Ἰσοκράτει ὁ ἐπαναδιπλασιασμὸς τῶν ἄρθρων. Τῇ δὲ φιλοσόφῳ γνώμῃ ταύτῃ ἐχρήσατο καὶ ἐν τῷ Ἀρχιδάμῳ (κϐ′). — 6. Καίτοι *οὐ* τὸ τὴν μὲν φύσιν ἔχειν... τίσι τῶν ὀρθῶς λογιζομένων οὐκ ἂν εἰκότως τοῦτο γίγνεσθαι δόξειεν;) Ὁ μὲν νοῦς οὐκ ἄδηλος· ἡ δὲ σύνταξις οὐ πάνυ τι οἰκεία τῇ φίλῃ Ἰσοκράτει σαφηνείᾳ. Ἡ γραφὴ παρ᾽ ἅπασι, Καίτοι ΟΥ τὸ τὴν μὲν φύσιν ἔχειν... ΤΙΣΙ τῶν ὀρθῶς λογιζομένων οὐκ ΑΠΕΙΚΟΤΩΣ ΤΑΥΤΑ γίγνεσθαι δόξειεν· πλὴν ἐν τῷ ἐμῷ ἀντιγράφῳ, ἐν ᾧ γεγραμμένον, Οὐκ ΑΝ ΕΙΚΟΤΩΣ, διορθώσας ἕτερος ἔτρεψεν εἰς τὸ, Οὐκ ἀπεικότως. Διέγραψα τὴν πρώτην ἄρνησιν, καθὰ καὶ Λάγγιος ἐποίησε, παραινέσαντος Οὐολφίου· ἔτρεψα καὶ τὸ ἀοριστολογικὸν, Τισὶ, εἰς τὸ ἐρωτηματικὸν, Τίσι, ὥσπερ καὶ ὁ Λάγγιος· προειλόμην δὲ καὶ τὴν γραφὴν, Οὐκ ἂν εἰκότως, ἣν ὑπενόησε καὶ Οὐόλφιος· καὶ ἀντὶ τοῦ, Ταῦτα, ἔγραψα, Τοῦτο. Ὁ νοῦς, Καίτοι τὸ μὲν ἕκαστον τῶν ὄντων ἐναντίαν αὐτὸ ἑαυτῷ, καὶ μὴ τὴν αὐτὴν ἔχειν φύσιν, ἄλογον ἅπασι δοκεῖ· τὸ δὲ μὴ ταὐτὰ συμβαίνειν τοῖς ὀρθῶς καὶ τοῖς κακῶς πράττουσι, τουτέστι, τοῖς ὀρθῶς καὶ τοῖς κακῶς χρωμένοις ἑκάστῳ τῶν ὄντων, τίσι τῶν ὀρθῶς λογιζομένων οὐκ ἂν δόξειεν εὐλόγως γίγνεσθαι;

§ 89. 2. Οὗτοι γὰρ ἀφορμῇ... ἐποίουν.) Οὐκ ὀλίγοις ἔοικε τοῖς γραφικοῖς ἁμαρτήμασι νενοθεῦσθαι τὸ προκείμενον χωρίον. Ὁ μὲν γὰρ Οὐόλφιος καὶ οἱ μετ᾽ αὐτὸν ἅπαντες ταύτην ἐκδεδώκασι τὴν γραφὴν, ἣν καὶ ἡμεῖς παρειλήφαμεν, ὀρθοτέρας σπάνει· τρία δὲ τῶν τοῦ Αὐγήρου ἀντιγράφων καὶ τὸ τοῦ Ἄγγλου ἐκδότου, ἀντὶ τοῦ, «Παρὰ τῶν ἔξω παραγενομένων» φέρουσι «Παρὰ τῶν ἔξω «πραγμάτων»· τὸ δὲ Λαγγιανὸν ἀντίγραφον, «Περὶ τῶν ἔξω πραγμάτων», ἐν ᾧ λείπουσι καὶ αἱ πέντε λέξεις αὗται. «Ὥσπερ τέχνην ἔχοντες τὸ ἁρπάζειν». Καὶ τὸ, Ταῦτα, δὲ (ὅπερ οὐκ ἀπεδέξατο

μενον, τοῦθ' αὐτοῖς[3] συμφορώτατον ἁπάντων ἐνόμιζον εἶναι. Τὰς οὖν οὕτω διακειμένας[4] ἐξῆν αὐτοῖς, ὅπως βούλοιντο, διοικεῖν· ὥστ' οὐδεὶς ἂν αὐτοὺς διά γε τὴν ὁμόνοιαν δικαίως ἂν ἐπαινέσειεν, οὐδὲν μᾶλλον ἢ τοὺς καταποντιστάς,[5] καὶ τοὺς περὶ τὰς ἄλλας ἀδικίας ὄντας· καὶ γὰρ ἐκεῖνοι σφίσιν αὐτοῖς ὁμονοοῦντες, τοὺς ἄλλους ἀπολλύουσιν.[6] Εἰ δέ τισι δοκῶ τὴν παραβολὴν ἀπρεπῆ πεποιῆσθαι πρὸς τὴν ἐκείνων δόξαν, ταύτην μὲν ἐῶ, λέγω δὲ Τριβαλλούς, οὓς πάντες φασὶν ὁμονοεῖν μέν, ὡς οὐδένας ἄλλους ἀνθρώπους, ἀπολλύναι δ' οὐ μόνον τοὺς ὁμόρους, καὶ τοὺς πλησίον οἰκοῦντας, ἀλλὰ καὶ τοὺς ἄλλους, ὅσων ἂν ἐφικέσθαι δυνηθῶσιν· οὓς οὐ χρὴ μιμεῖσθαι τοὺς ἀρετῆς ἀντιποιουμένους, ἀλλὰ πολὺ μᾶλλον τῆς σοφίας, καὶ τῆς δικαιοσύνης, καὶ τῶν ἄλλων ἀρετῶν τὴν δύναμιν. Αὗται μὲν γὰρ οὐ τὰς σφετέρας αὐτῶν φύσεις εὐεργετοῦσιν, ἀλλ' οἷς ἂν παραγενόμεναι παραμείνωσιν, εὐδαίμονας καὶ μακαρίους ποιοῦσι· Λακεδαιμόνιοι δὲ τοὐναντίον, οἷς μὲν ἂν πλησιάσωσιν, ἀπολλύουσι, τὰ δὲ τῶν ἄλλων ἀγαθὰ πάντα περὶ σφᾶς αὐτοὺς ποιοῦνται.

§ 90. Ταῦτ' εἰπών, κατέσχον πρὸς ὃν τοὺς λόγους ἐποιούμην, ἄνδρα δεινόν,[2] καὶ πολλῶν ἔμπειρον, καὶ περὶ τὸ λέγειν γεγυμνασμένον οὐδενὸς ἧττον τῶν ἐμοὶ πεπλησιακότων. Οὐ μὴν τὰ μει-

ὁ Ἄγγλος ἐκδότης) ἀντὶ τοῦ, Ταῦτα, τοῦ Οὐολφίου διόρθωσίς ἐστιν· ὃς καὶ μετοχήν, Χρησάμενοι, προστιθέναι δεῖν μετὰ τό, Γιγνώσκειν, καὶ τὸ ἐπιφερόμενον, Ἔξω, περιαιρεῖν ὑπελάμβανε. Τούτων οὕτω προεκτεθέντων, μετιτέον καὶ ἐπὶ τὴν ἐν τῷ ἐμῷ ἀντιγράφῳ φερομένην γραφήν, οὕτως ἔχουσαν, «Οὗτοι γὰρ ΑΦΟΡΜΗ »τοῦ ταῦτα γιγνώσκειν, ΕΙΔΟΤΕΣ περὶ »τῶν ἔξω πραγμάτων ἀλλήλοις στασιά»ζειν τοὺς Ἕλληνας, ὥσπερ τέχνην ἔχον»τες ΤΟ ΑΡΠΑΖΕΙΝ, ΟΥΤΟΣ ἐποίουν». Ἔνθα σημειωτέον, ὅτι αἱ πέντε λέξεις, ἃς τοῖς καλουμένοις κεφαλαίοις γράμμασι κατέγραψα, λείπουσαι ὅλως παρὰ τῷ πρώτῳ γράψαντι, προσετέθησαν ὑπὸ μακρῷ ὀψιαιτέρας χειρός, ὑφ' ἧς καὶ τὸ μετὰ τό, Ἀφορμῇ, ἄρθρον ἐκ τοῦ, Τό, μετεποιήθη εἰς τό, Τοῦ. Εἰ οὖν, τὰς ὀψιαίτερον προστεθείσας ταύτας λέξεις περιελών, πλὴν τῆς προπαρατελευταίας, ταύτην δὲ εἰς τό, Τοῦτο, μεταβαλών, καὶ τὸ πρῶτον τοῦ χωρίου ἄρθρον κατὰ δοτικὴν ἐξενεγκών, καὶ τὴν Οὐολφίου διόρθωσιν, Ταῦτα, τῷ, Ταῦτα, ἀνθυποβαλών, γράφοις, «Οὗτοι γάρ, τῷ ταὐτὰ «γιγνώσκειν, περὶ τῶν ἔξω πραγμάτων «ἀλλήλοις στασιάζειν τοὺς Ἕλληνας, ὥσ«περ τέχνην ἔχοντες τοῦτο, ἐποίουν· » οὐκ ἔστιν ὅστις οὐκ ἄν, καὶ τῶν πάνυ φιλαιτίων, Ἰσοκράτους φήσειεν εἶναι τὴν γραφήν, πρὸς τῷ κομψῷ καὶ πολὺ τὸ σαφὲς ἔχουσαν· ὁ γὰρ νοῦς, Οὗτοι γὰρ οἱ Λακεδαιμόνιοι, διὰ τὸ ταὐτὰ γιγνώσκειν, ἤγουν διὰ τὸ ὁμονοεῖν ἔνδον καὶ παρ' ἑαυτοῖς, ἐποίουν στασιάζειν ἀλλήλοις τοὺς Ἕλληνας περὶ τῶν ἔξω πραγμάτων, ὥσπερ τέχνην ἔχοντες τοῦτο, τουτέστι τὸ ποιεῖν στασιάζειν τοὺς ἄλλους. — 3. Τοῦθ' αὐτοῖς.) Οὕτω δεῖν γράφειν ᾠήθην, ἀντὶ τοῦ παρ' ἅπασι, Τοῦτ' αὐτοῖς. — 4. Τὰς οὖν οὕτω διακειμένας.) Τὰς στασιαζούσας πόλεις. — 5. Καταποντιστάς.) Οὕτως οἱ δόκιμοι ὀνομάζουσιν, οὓς οἱ μεταγενέστεροι Πειρατὰς ἐκάλεσαν. — 6. Ἀπολλύουσιν.) Δὶς ἐν τῷ αὐτῷ τούτῳ κεφαλαίῳ χρῆται τῷ, Ἀπολλύουσιν, δέον φάναι, Ἀπολλύασιν, παρὰ τὸ Ἀπολλύναι, ὅπερ ἐπάγοι μετ' ὀλίγα· καὶ γὰρ οἱ Ἀττικοί, εἰ χρὴ πιστεύειν Μοίριδι (σελ. 281), Ὀλλύασιν, καὶ Ὀμνύασιν, οὐκ, Ὀλύουσιν, καὶ Ὀμνύουσιν, λέγειν φιλοῦσι.

§ 90. 2. Ἄνδρα δεινὸν κ. τ. λ.) Θεόπομπον τὸν Χῖον, τὸν αὐτοῦ μαθητήν, ὑπολαμβάνει λέγειν ὧδε τὸν Ἰσοκράτην

ράκια, τὰ πᾶσι τούτοις παραγεγενημένα, τὴν αὐτὴν ἐμοὶ γνώμην ἔσχον· ἀλλ᾿ ἐμὲ μὲν ἐπήνεσαν, ὡς διειλεγμένον τε νεαρώτερον ἢ προσεδόκησαν, ἠγωνισμένον τε καλῶς, ἐκείνου δὲ κατεφρόνησαν, οὐκ ὀρθῶς γιγνώσκοντες, ἀλλὰ διημαρτηκότες ἀμφοτέρων ἡμῶν. Ὁ μὲν γὰρ ἀπῄει φρονιμώτερος γεγενημένος, καὶ συνεσταλμένην ἔχων τὴν διάνοιαν, ὥσπερ χρὴ τοὺς εὖ φρονοῦντας, καὶ πεπονθὼς τὸ γεγραμμένον ἐν Δελφοῖς, ἑαυτόν τ᾿ ἐγνωκὼς, καὶ τὴν τῶν Λακεδαιμονίων φύσιν, μᾶλλον ἢ πρότερον· ἐγὼ δ᾿ ὑπελειπόμην,[3] ἐπιτυχῶς μὲν ἴσως διειλεγμένος, ἀνοητότερος δὲ δι᾿ αὐτὸ τοῦτο γεγενημένος, καὶ φρονῶν μεῖζον ἢ προσήκει τοὺς τηλικούτους, καὶ ταραχῆς μειρακιώδους μεστὸς ὤν.

§ 91. Δῆλος δ᾿ ἦν οὕτω διακείμενος· ἐπειδὴ γὰρ ἡσυχίας ἐπελαβόμην, οὐ πρότερον ἐπαυσάμην, πρὶν ὑπέβαλον[2] τῷ παιδὶ τὸν λόγον, ὃν ὀλίγῳ μὲν πρότερον μεθ᾿ ἡδονῆς διῆλθον, μικρῷ δ᾿ ὕστερον ἔμελλέ[3] με λυπήσειν. Τριῶν γὰρ ἢ τεττάρων ἡμερῶν διαλειπουσῶν, ἀναγιγνώσκων αὐτὰ[4] καὶ διεξιὼν, ἐπὶ μὲν οἷς περὶ τῆς πόλεως ἦν εἰρηκὼς, οὐκ ἠχθόμην· καλῶς γὰρ καὶ δικαίως ἦν ἅπαντα περὶ ταύτης γεγραφώς. Ἐπὶ δὲ τοῖς περὶ Λακεδαιμονίων ἐλυπήθην, καὶ βαρέως ἔφερον· οὐ γὰρ μετρίως ἐδόκουν μοι διειλέχθαι περὶ αὐτῶν, οὐδὲ ὁμοίως τοῖς ἄλλοις, ἀλλ᾿ ὀλιγώρως, καὶ λίαν πικρῶς, καὶ παντάπασιν ἀνοήτως· ὥστε πολλάκις ἐξορμήσας ἐξαλείφειν αὐτὸν, ἢ κατακαίειν, μετεγίγνωσκον, ἐλεῶν τὸ γῆρας τὸ ἐμαυτοῦ, καὶ τὸν πόνον τὸν περὶ τὸν λόγον γεγενημένον.

§ 92. Ἐν τοιαύτῃ δέ μοι ταραχῇ καθεστῶτι, καὶ μεταμελείας ποιουμένῳ πολλὰς, ἔδοξέ μοι κράτιστον εἶναι, παρακαλέσαντι τῶν πεπλησιακότων τοὺς ἐπιδημοῦντας, βουλεύσασθαι μετ᾿ αὐτῶν, πότερον ἀφανιστέος παντάπασιν ἔσται, ἢ διαδοτέος τοῖς βουλομένοις μεταλαμβάνειν· ὁποτέρως δ᾿ ἂν ἐκείνοις δόξῃ, ταῦτα ποιεῖν. Τούτων δὲ γνωσθέντων, οὐδεμίαν διατριβὴν ἐποιησάμην. Ἀλλ᾿ εὐθὺς παρεκέκλητο μὲν οὓς εἶπον·[2] προειρηκὼς δ᾿ ἦν αὐτοῖς ἐφ᾿ ἃ συνεληλυθότες ἦσαν· ἀνέγνωστο δ᾿ ὁ λόγος, ἐπῃνημένος δ᾿ ἦν, καὶ τεθορυβημένος, καὶ τετυχηκὼς *ἦν*, ὥσπερ οἱ κατορθοῦντες ἐν ταῖς ἐπιδείξεσιν.[3]

---

ὁ Οὔολφιος. — 3. Ὑπελειπόμην.) Ἴσως Ἀπελειπόμην.

§ 91. 2. Ὑπέβαλον.) Ὅπερ Ὑπηγόρευσα, λέγει ὁ παρακμάζων Ἑλληνισμὸς, καὶ ἡ νῦν συνήθεια. — 3. Ἔμελλε.) Καὶ πάλιν, Ἔμελλε, ἀντὶ τοῦ ἐπαινουμένου ὑπὸ τῶν Ἀττικιστῶν, Ἤμελλε. — 4. Ἀναγιγνώσκων αὐτά.) Ἄμεινον γράφειν, Ἀναγιγνώσκων αὐτὸν, τὸν λόγον δηλονότι.

§ 92 2. Παρεκέκλητο μὲν οὓς εἶπον.) Τὸ μὲν, Παρεκέκλητο, ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ἀντὶ τοῦ ἀναυξήτου, Παρακέκλητο· τὸ δὲ, Οὓς, παρειλήφασιν ὅ, τε Ἄγγλος ἐκδότης καὶ ὁ Λάγγιος, ἐκ διορθώσεως Οὐολφίου, ἀντὶ τοῦ παρὰ τοῖς λοιποῖς, Ὡς. — 3. Τετυχηκὼς ἦν, ὥσπερ οἱ κατορθοῦντες ἐν ταῖς ἐπιδείξεσιν.) Ἐπιδείξεσιν, ἔγραψαν οἱ πρὸ ἐ-

§ 93. Ἁπάντων δὲ τούτων ἐπιτετελεσμένων, οἱ μὲν ἄλλοι διελέγοντο πρὸς σφᾶς αὐτούς, δηλονότι περὶ τῶν ἀναγνωσθέντων. Ὃν δ' ἐξ ἀρχῆς μετεπεμψάμεθα σύμβουλον, τὸν τῶν Λακεδαιμονίων ἐπαινέτην, πρὸς ὃν πλείω διελέχθην[2] τοῦ δέοντος, σιωπὴν ποιησάμενος καὶ προσεμβλέψας, ἀπορεῖν ἔφασκεν, ὅ,τι χρήσηται τοῖς παροῦσιν· οὔτε γὰρ ἀπιστεῖν βούλεσθαι τοῖς ὑπ' ἐμοῦ λεγομένοις, οὔτε πιστεύειν δύνασθαι παντάπασιν[3] αὐτοῖς. Θαυμάζω γάρ, εἰ οὕτως ἐλυπήθης, καὶ βαρέως ἔσχες, ὥσπερ φῄς, ἐπὶ τοῖς περὶ Λακεδαιμονίων εἰρημένοις, οὐδὲν γὰρ ἐν αὐτοῖς ὁρῶ τοιοῦτο γεγραμμένον· εἴτε συμβούλοις[4] περὶ τοῦ λόγου χρήσασθαι βουλόμενος, ἡμᾶς συνήγαγες, οὓς οἶσθα ἀκριβῶς ἅπαν, ὅ,τι ἂν σὺ λέγῃς ἢ πράττῃς, ἐπαινοῦντας. Εἰθισμένοι δ' εἰσὶν οἱ νοῦν ἔχοντες, ἀνακοινοῦσθαι, περὶ ὧν ἂν σπουδάσωσι, μάλιστα μὲν τοῖς ἄμεινον αὐτῶν φρονοῦσιν, εἰ δὲ μή, τοῖς μέλλουσιν ἀποφαίνεσθαι τὴν αὑτῶν γνώμην, ὧν τἀναντία σὺ πεποίηκας. Τούτων μὲν οὖν οὐδέτερον ἀποδέχομαι τῶν λόγων. Δοκεῖς δέ μοι ποιήσασθαι τήν τε παράκλησιν[5] τὴν ἡμετέραν, καὶ τὸν ἔπαινον τὸν τῆς πόλεως, οὐχ ἁπλῶς, οὐδ' ὡς διειλεξαι πρὸς ἡμᾶς· ἀλλ' ἡμῶν μὲν πεῖραν λαβεῖν βουλόμενος, εἰ φιλοσοφοῦμεν, καὶ μεμνήμεθα τῶν ἐν ταῖς διατριβαῖς λεγομένων, καὶ συνιδεῖν δυνηθείημεν ἄν,[6] ὃν τρόπον ὁ λόγος τυγχάνει γεγραμμένος, τὴν δὲ πόλιν ἐπαινεῖν προελέσθαι[7] τὴν σεαυτοῦ, σωφρονῶν, ἵνα τῷ τε πλήθει τῶν πολιτῶν χαρίσῃ, καὶ παρὰ τοῖς εὐνοϊκῶς πρὸς ἡμᾶς[8] διακειμένοις εὐδοκιμήσῃς.

---

μοῦ, ἐκ διορθώσεως Οὐολφίου, ἀντὶ τοῦ, Ἀποδείξεσιν. Προσπαρειλήφασι δὲ καὶ ἑτέραν Οὐολφίου διόρθωσιν, γράψαντες, Ὧν περ, ἀντὶ τοῦ, Ὥσπερ, διὰ τό, Τετυχηκὼς δηλονότι, ὅπερ ἡ πλείων χρῆσις γενικῇ συντάττει. Ἀλλ' ἔστιν εἰπεῖν ὅτι τό, Τυγχάνειν, καὶ ἀμεταβάτως ἐνίοτε ἐπὶ τοῦ Εὐτυχεῖν, τέτακται, οἷόν ἐστι τὸ παρ' Ὁμήρῳ (Ὀδυσσ. Ξ, 231),

..... Καί μοι μάλα τύγχανε πάντα,

ὅπερ Εὐστάθιος ἐξηγεῖται διὰ τοῦ, Εὐτυχῶς ἀπέβαινε· καθὰ καὶ ἡ Τύχη ἐπὶ τῆς Εὐτυχίας (Ἡσύχ. λέξ. Τύχη). Ἔστιν οὖν καὶ ἐν τῷ προκειμένῳ Ἰσοκράτους χωρίῳ τό, Τετυχηκώς, ταὐτὸν τῷ, Εὐτυχηκώς. διὸ καὶ κατὰ χώραν δεῖν ἔγνων ἐᾷν τὴν γραφήν. Διαγραπτέον δὲ μόνον τὸ ὑπαρκτικόν, Ἦν, διὰ τὸ προσεχῶς προηγησάμενον ἕτερον, Ἦν.

§ 93. 2. Διελέχθην.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου· ᾧ συνᾴδουσι καὶ ὁ Οὐόλφιος καὶ ὁ Ἄγγλος ἐκδότης, κακῶς τῶν λοιπῶν γραφόντων, Διειλέχθην. — 3. Παντάπασιν.) Σημείωσαι τὸ καὶ ἐν τῇ συνηθείᾳ σωζόμενον μέχρι δεῦρο, Παντάπασω, ἐπίρρημα, οὐδὲν ἕτερον ὂν ἢ σύνθετον λέξιν ἐκ δύο πτώσεων τοῦ Πάντα καὶ Πᾶσιν, κατ' ἔλλειψιν δύο προθέσεων καὶ τρίτου τοῦ συμπλεκτικοῦ μορίου, ὡσανεὶ ἔλεγε, Κατὰ πάντα καὶ ἐν πᾶσι, καθάπερ οἱ Γάλλοι φασὶ διῃρημένως, En tout et par tout, αὐτὸ τοῦτο τὸ Παντάπασι φράζειν βουλόμενοι. Δῆλον δὲ τοῦτο καὶ ἐκ τοῦ Σοφοκλέους (Οἰδ. Κολ. 1446),

Ἀνάξιαι γὰρ ΠΑΣΙΝ ἐστὲ δυστυχεῖν,

ὅπου καὶ μόνον τό, Πᾶσιν, τὴν αὐτήν, ὡς εἰπεῖν, χρείαν πληροῖ, ἣν καὶ τὸ Παντάπασιν. — 4. Εἴτε συμβούλοις.) Λάμβανε ἀπὸ κοινοῦ τό, Θαυμάζω. — 5. Παράκλησιν.) Ἐκ διορθώσεως Οὐολφίου, ἣν παρέλαβον καὶ οἱ πρὸ ἐμοῦ, ἀντὶ τοῦ ἐν ταῖς ἀρχαίαις ἐκδόσεσι καὶ πᾶσι τοῖς ἀντιγράφοις, οἷς συνᾴδει καὶ τοὐμόν, Παράδοσιν. — 6. Δυνηθείημεν ἄν.) Διαγραπτέος ἔοικεν ὁ Ἄν. — 7. Προελέσθαι.) Ἀπὸ κοινοῦ προσληπτέον τὸ ἀνωτέρω, Δοκεῖς. — 8. Πρὸς ἡμᾶς.) Ὁ δὲ Στέφανος καὶ ὁ Αὔγηρος, Πρὸς ὑμᾶς, ἐκ διορθώσεως Οὐολφίου.

§ 94. Ταῦτα δὴ γνοὺς, ὑπέλαβες, ὡς, εἰ μὲν περὶ μόνης αὐτῆς ποιήσῃ τοὺς λόγους, καὶ τὰ μυθώδη περὶ αὐτῆς ἐρεῖς, ἃ πάντες θρυλλοῦσιν, ὅμοια φανεῖται τὰ λεγόμενα τοῖς ὑπὸ τῶν ἄλλων γεγραμμένοις, ἐφ' ᾧ σὺ μάλιστ' ἂν αἰσχυνθείης καὶ λυπηθείης· ἐὰν δ', ἐάσας ἐκεῖνα, λέγῃς τὰς πράξεις τὰς ὁμολογουμένας, καὶ πολλῶν ἀγαθῶν[2] αἰτίας τοῖς Ἕλλησι γεγενημένας, καὶ παραβάλῃς πρὸς τὰς Λακεδαιμονίων, καὶ τὰς μὲν τῶν προγόνων ἐπαινῇς, τῶν δ' ἐκείνοις πεπραγμένων κατηγορῇς, ὅ,τε λόγος ἐνεργέστερος[3] εἶναι δόξει τοῖς ἀκούουσι, καὶ σὺ μενεῖς ἐν τοῖς αὐτοῖς, ὁ μᾶλλον ἂν τινες θαυμάσειαν τῶν ἐν τοῖς ἄλλοις γεγραμμένων. Ἐν ἀρχῇ μὲν οὖν μοι δοκεῖς οὕτω τάξαι, καὶ βουλεύσασθαι περὶ αὐτῶν.

§ 95. Εἰδὼς δὲ σαυτὸν ἐπῃνεκότα τὴν Σπαρτιατῶν πόλιν, ὡς οὐδεὶς ἄλλος, φοβεῖσθαι τοὺς ἀκηκοότας, μὴ δόξῃς ὅμοιος εἶναι τοῖς λέγουσιν ὅ,τι ἂν τύχωσι, καὶ τούτους νῦν ψέγειν, οὓς πρότερον ἐπῄνεις μᾶλλον τῶν ἄλλων. Ταῦτ' ἐνθυμηθεὶς, σκοπεῖσθαι, ποίους τινὰς ἂν ἑκατέρους φήσας, ἀληθῆ τε λέγειν δόξειας ἂν περὶ ἀμφοτέρων, ἔχοις τ' ἂν τοὺς μὲν σοὺς προγόνους ἐπαινεῖν, οὕσπερ βούλει, Σπαρτιατῶν δὲ δοκεῖν μὲν κατηγορεῖν τοῖς ἀηδῶς πρὸς αὐτοὺς διακειμένοις, μηδὲν δὲ ποιεῖν τοιοῦτο, ἀλλὰ λανθάνειν ἐπαινῶν αὐτούς· ζητῶν δὲ τὰ τοιαῦτα, ῥᾳδίως εὑρεῖν λόγους ἀμφιβόλους, καὶ μηδὲν μᾶλλον μετὰ τῶν ἐπαινούντων ἢ ψεγόντων ὄντας, ἀλλ' ἐπαμφοτερίζειν δυναμένους, καὶ πολλὰς ἀμφισβητήσεις ἔχοντας. Οἷς χρῆσθαι, περὶ μὲν συμβολαίων καὶ πλεονεξίας ἀγωνιζόμενον, αἰσχρὸν, καὶ πονηρίας οὐ μικρὸν σημεῖον, περὶ δὲ φύσεως ἀνθρώπων διαλεγόμενον καὶ πραγμάτων, καλὸν καὶ φιλόσοφον. Οἷός περ ὁ λόγος ὁ διαναγνωσθείς ἐστιν·[2] ἐν ᾧ σὺ πεποίηκας τοὺς μὲν σοὺς προγόνους εἰρηνικοὺς, καὶ φιλέλληνας, καὶ τῆς ἰσότητος, τῆς ἐν

---

§ 94. 2. Τὰς ὁμολογουμένας, καὶ πολλῶν ἀγαθῶν κ. τ. λ.) Γράφε, Τὰς ὁμολογουμένως πολλῶν ἀγαθῶν αἰτίας τοῖς Ἕλλησι γεγενημένας, περιελὼν τὸν σύνδεσμον, καὶ τὴν μετοχὴν εἰς ἐπίῤῥημα τρέψας. Δῆλον δὲ καὶ ἐξ ὧν ἀνωτέρω (§ 17) εἴρηκε, «Τὸν ὁμολογουμένως ἅπα-«σιν αἴτιον εἶναι δόξαντα κ. τ. λ.». — 3. Ἐνεργέστερος.) Μᾶλλον ἐναγώνιος καὶ σφοδρότερος. Εἰκὸς μέν-τοι γεγράφθαι πάλαι, Ἐναργέστερος, ὅ ἐστι, μᾶλλον ὑπ' ὄψιν ἄγων τὰ λεγόμενα· ἢ δῆλον ἐξ ὧν ἀλλαχοῦ (Συμμαχ. κέ) εἴρηκε, «Τὸν »ἐναργέστατα δυνάμενον δηλῶσαι τάς τε »πονηρὰς τῶν πράξεων, καὶ τὰς συμ-»φορὰς τὰς ἀπ' αὐτῶν γιγνομένας».

§ 95. 2. Περὶ δὲ φύσεως ἀνθρώπων διαλεγόμενον καὶ πραγμάτων, καλὸν καὶ φιλόσοφον. Οἷός περ ὁ λόγος ὁ διαναγνωσθείς ἐστιν.) Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ ἐν τῷ ἐμῷ ἀντιγράφῳ, «Περὶ »δὲ φύσεως ἀνθρώπων διαλεγόμενον καὶ »πραγμάτων καλῶν καὶ φιλοσόφων, οἷός »περ ὁ λόγος διαγνωσθείς ἐστιν» ἡ γραφὴ συνᾴδουσι καὶ αἱ ἐκδόσεις, καὶ τὰ ἄλλα ἀντίγραφα, πλὴν τινῶν, ἐν οἷς γράφεται Διαλεγόμενος, ὅπερ Οὔολφιος τρέπειν παρῄνει εἰς τὸ, Διαλεγόμενον, καὶ, Ὁ λόγος διαγνωστής, ὅπερ ἔτρεψεν εἰς τὸ, Ὁ λόγος ὁ διαναγνωσθείς. Ὁ δὲ Λάγγιος ἔγραψεν ἐξ ἰδίας εἰκασίας... Καὶ πρᾶγμα τῶν καλῶν καὶ φιλοσόφων· ἧς γραφῆς πολλῷ προέχει ἣν προειλόμεθα διόρθωσιν. Ὁ νοῦς, Περὶ δὲ φύσεως καὶ πραγμάτων ἀνθρώπων διαλεγόμενον, καλὸν καὶ φιλόσοφόν ἐστι χρῆσθαι τοῖς

ταῖς πολιτείαις, ἡγεμόνας, Σπαρτιάτας δ' ὑπεροπτικοὺς, καὶ πολεμικοὺς, καὶ πλεονεκτικοὺς,[3] οἵους περ αὐτοὺς πάντες ὑπειλήφασιν εἶναι.

§ 96. Τοιαύτην δ' ἐχόντων ἑκατέρων τὴν φύσιν, τοὺς μὲν ὑπὸ πάντων ἐπαινεῖσθαι, καὶ δοκεῖν εὔνους εἶναι τῷ πλήθει· τοῖς δὲ τοὺς μὲν πολλοὺς φθονεῖν, καὶ δυσμενῶς ἔχειν, ἔστι δ' οὓς καὶ ἐπαινεῖν αὐτοὺς, καὶ θαυμάζειν, καὶ τολμᾶν λέγειν, ὡς ἀγαθὰ μείζω τυγχάνουσιν ἔχοντες τῶν τοῖς προγόνοις τοῖς σοῖς προσόντων. Τήν τε γὰρ ὑπεροψίαν σεμνότητος μετέχειν, εὐδοκίμου πράγματος, καὶ δοκεῖν ἅπασι μεγαλοπρεπεστέρους εἶναι τοὺς τοιούτους, ἢ τοὺς τῆς ἰσότητος προεστῶτας· τούς τε πολεμικοὺς πολὺ διαφέρειν τῶν εἰρηνικῶν· τοὺς μὲν γὰρ οὔτε κτητικοὺς εἶναι τῶν οὐκ ὄντων, οὔτε φύλακας δεινοὺς τῶν ὑπαρχόντων, τοὺς δ' ἀμφότερα δύνασθαι, καὶ λαμβάνειν, ὧν ἂν ἐπιθυμῶσι, καὶ σώζειν, ἅπερ ἂν ἅπαξ κατάσχωσιν· ἃ ποιοῦσιν οἱ τέλειοι δοκοῦντες εἶναι τῶν ἀνδρῶν. Ἀλλὰ μὴν καὶ περὶ τῆς πλεονεξίας,[2] καλλίους ἔχειν οἴονται λόγους τῶν εἰρημένων. Τοὺς μὲν γὰρ ἀποστεροῦντας τὰ συμβόλαια, καὶ παρακρουομένους, καὶ παραλογιζομένους, οὐχ ἡγοῦνται δικαίους, ἀλλὰ πλεονεκτικούς· διὰ γὰρ τὸ πονηρὰν ἔχειν τὴν δόξαν, ἐν ἅπασιν αὐτοὺς ἐλαττοῦσθαι τοῖς πράγμασι.[3] Τὰς δὲ Σπαρτιατῶν πλεονεξίας, καὶ τὰς τῶν βασιλέων, καὶ τὰς τῶν τυράννων, εὐκτὰς μὲν εἶναι, καὶ πάντας αὐτῶν ἐπιθυμεῖν· οὐ μὴν ἀλλὰ λοιδορεῖσθαι,[4] καὶ καταρᾶσθαι τοῖς τὰς τηλικαύτας ἔχουσι δυναστείας· οὐδένα δὲ τὴν φύσιν εἶναι [τοιοῦτον[5]], ὅστις οὐκ ἂν εὔξαιτο τοῖς θεοῖς, μάλιστα μὲν αὐτὸς τυγχάνειν τῆς ἐξουσίας ταύτης, εἰ δὲ μὴ, τοὺς οἰκειοτάτους. Ὃ καὶ φανερόν ἐστιν,[6] ὅτι μέγιστον τῶν ἀγαθῶν ἅπαντες

---

προειρημένοις λόγοις. — 3. Ὑπεροπτικοὺς, καὶ πολεμικοὺς, καὶ πλεονετικούς.) Ἀντέθηκε τὸ πρῶτον τῶν ἐπιθέτων τῷ, Φιλέλληνας, τὸ δεύτερον, τῷ, Εἰρηνικοὺς, τὸ δὲ τρίτον, τῷ, Ἰσότητος ἡγεμόνας.

§ 96. 2. Ἀλλὰ μὴν καὶ περὶ τῆς πλεονεξίας.) Προσέθηκα τὸν, Καὶ, ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ᾧ συνᾴδει καὶ τὸ τοῦ Λαγγίου. — 3. Οὐχ ἡγοῦνται δικαίους... ἐλαττοῦσθαι τοῖς πράγμασι.) Ἀσαφὲς τὸ χωρίον, ἴσως διὰ τὸ ἐξεῤῥυηκέναι τι ἐξ αὐτοῦ, τῶν γραφέων ἀβλεψίᾳ. Διὸ καὶ Οὐόλφιος εἴκασε γραπτέον εἶναι ἀνεστραμμένως, Οὐχ ἡγοῦνται πλεονεκτικοὺς, ἀλλ' οὐ δικαίους· ἢ, Οὐχ ἡγοῦνται δικαίους, ἀλλ' οὐδὲ πλεονεττικοὺς ἵνα ᾖ ὁ νοῦς, Οὔτε δικαίους, οὔτε τοῦ πλέον ἔχειν τῶν ἄλλων ἐπιστήμονας νομίζουσιν εἶναι τοὺς ἀποστεροῦντας τὰ συμβόλαια· διὰ γὰρ τὸ πονηρὰν δόξαν ἔχειν, ὅτι φιλοῦσιν ἀποστερεῖν δηλαδὴ, ἐλαττοῦνται μᾶλλον ἐν τοῖς πράγμασιν, ἢ πλεονεκτοῦσιν, μηδενὸς ἔτι μηδὲν αὐτοῖς πιστεῦσαι τολμῶντος. Ἴσως γραπτέον, μεταφέροντας τὴν ἄρνησιν Ἀδίκους ἡγοῦνται, ἀλλ' οὐ πλεονεκτικούς. — 4. Οὐ μὴν ἀλλὰ λοιδορεῖσθαι.) Παρ' ἅπασι γράφεται κακῶς, Οὐ μὴν λοιδορεῖσθαι, πλὴν ἐν τῷ ἐμῷ ἀντιγράφῳ, ἐν ᾧ φέρεται σαφῶς ὁ, Ἀλλὰ, σύνδεσμος, καίπερ ἀπεξεσμένος ὑπ' ὀψιαιτέρας χειρός. Ὁ νοῦς, Πάντας μὲν ἐπιθυμεῖν τῶν τοιούτων πλεονεξιῶν, οἷαί εἰσιν αἱ τῶν Σπαρτιατῶν, καὶ ἁπλῶς τῶν ἐν δυναστείαις ὄντων, λοιδορεῖσθαι δ' ὅμως καὶ καταρᾶσθαι τοῖς ἔχουσι ταύτας. — 5. Τὴν φύσιν εἶναι τοιοῦτον.) Προσέθηκα τὸ, Τοιοῦτον, καθάπερ καὶ ὁ Αὐγῆρος, ἐκ διορθώσεως

εἶναι νομίζομεν πλέον ἔχειν τῶν ἄλλων. Τὴν μὲν οὖν περιβολὴν τοῦ λόγου δοκεῖς μοι ποιήσασθαι μετὰ τοιαύτης διανοίας.

§ 97. Εἰ μὲν οὖν ἡγούμην ἀφέξεσθαί σε τῶν εἰρημένων, καὶ παραλείψειν ἀνεπιτίμητον τὸν λόγον τοῦτον, οὐδ᾽ ἂν αὐτὸς ἔτι λέγειν ἐπεχείρουν. Νῦν δ᾽, ὅτι μὲν οὐκ ἀπεφηνάμην, περὶ ὧν παρεκλήθην σύμβουλος, οὐδὲν οἶμαί σοι μελήσει· οὐδὲ γάρ, ὅτε συνήγαγες ἡμᾶς, ἐδόκεις μοι σπουδάζειν περὶ αὐτῶν· ὅτι δέ, προελόμενος συνθεῖναι λόγον[2] μηδὲν ὅμοιον τοῖς ἄλλοις, ἀλλὰ τοῖς μὲν ῥαθύμως ἀναγιγνώσκουσιν, ἁπλοῦν εἶναι δόξοντα,[3] καὶ ῥᾴδιον καταμαθεῖν, τοῖς δ᾽ ἀκριβῶς διεξιοῦσιν αὐτόν, καὶ πειρωμένοις κατιδεῖν, ὃ τοὺς ἄλλους λέληθε, χαλεπὸν φανούμενον[4] καὶ δυσκαταμάθητον, καὶ πολλῆς μὲν ἱστορίας γέμοντα, καὶ φιλοσοφίας, παντοδαπῆς δὲ μεστὸν ποικιλίας καὶ ψευδολογίας, οὐ τῆς εἰθισμένης μετὰ κακίας βλάπτειν τοὺς συμπολιτευομένους, ἀλλὰ τῆς δυναμένης μετὰ παιδιᾶς ὠφελεῖν ἢ τέρπειν[5] τοὺς ἀκούοντας· ὧν οὐδὲν ἐξετάσαντά με, φήσεις τοῦτον τὸν τρόπον ἔχειν,[6] ὡς ἐβουλεύσω σὺ περὶ αὐτῶν, ἀλλὰ τήν τε δύναμιν τῶν λεγομένων διδάσκοντα, καὶ τὴν σὴν διάνοιαν ἐξηγούμενον, οὐκ αἰσθάνεσθαι τοσούτῳ τὸν λόγον ἐνδοξότερον δι᾽ ἐμὲ γενόμενον,[7] ὅσῳ περ αὐτὸν φανερώτερον ἐποίουν, καὶ γνωριμώτατον[8] τοῖς ἀναγιγνώσκουσιν· ἐπιστήμην γὰρ τοῖς οὐκ

τοῦ Στεφάνου. — 6. Ὃ καὶ φανερόν ἐστιν.) Αὐγῆρος γράφει ἐκ διορθώσεως τοῦ Στεφάνου μάλα πιθανῆς, Ὢ καὶ φανερόν ἐστιν.

§ 97. 2. Ὅτι δέ, προελόμενος συνθεῖναι λόγον . . . οὐκ αἰσθάνεσθαι κ. τ. λ.) Ἐντεῦθεν μέχρι τέλους τοῦ κεφαλαίου, ἀσυνάρτητος ὁ λόγος, εἴτε ἀντιγράφων ἁμαρτίᾳ, εἴτε καὶ Ἰσοκράτους, διὰ τὸ ἐπιμήκιστον προβεβηκὸς τῆς ἡλικίας, συνιδεῖν καὶ ἐπανορθῶσαι τὸ ἡμαρτημένον οὐκ ἰσχύσαντος. Καὶ ὁ μὲν Αὐγῆρος οὕτως ἀποκαθιστάναι τὸ ἀκόλουθον ᾤετο, «Δοκεῖς δέ μοι ὅτι προελόμενος τυγχάνεις συνθεῖναι κ. τ. λ.». Λάγγιος δέ, «Τοῦτο δέ σοι μελήσει, ὅτι προελομένου. . . τὴν δύναμιν τῶν λεγομένων ἐδίδαξα καὶ τὴν σὴν διάνοιαν ἐξηγησάμην, φήσεις, οὐκ αἰσθάνεσθαι κ. τ. λ.». Ἐμοὶ δ᾽ ἐπέχειν τέως ἐφείσθω, ἕως ἄν τι πιθανώτερον περὶ τούτου κατανοῆσαι δυνηθῶ. — 3. Δόξοντα.) Εἰς τοῦτο ἔτρεψα τὸ παρ᾽ ἅπασι, Δόξαντα. — 4. Φανούμενον.) Κἀνταῦθα δεῖν ἔγνων τὸ παρ᾽ ἅπασι, Φαινόμενον, εἰς τὸ μελλοντικόν, Φανούμενον, τρέψαι. — 5. Ὠφελεῖν ἢ τέρπειν.) Ἴσως, Ὠφελεῖν καὶ τέρπειν. — 6. Ὧν οὐδὲν ἐξετάσαντά με, φήσεις τοῦτον τὸν τρόπον ἔχειν. κ. τ. λ.) Ὁ Οὐόλφιος τοῦτο εἶναι οἴεται τὸ ἑξῆς, Ὧν οὐδὲν φήσεις τοῦτον τὸν τρόπον ἔχειν, ὡς ἐβουλεύσω σὺ περὶ αὐτῶν, ἐκλαμβάνων καὶ τό, Ἐξετάσαντά με, ἀπολύτως ἀντὶ τοῦ, Ἐξετάσαντός μου. Ἀλλ᾽, ὥσπερ ἔφθην εἰπών, ἐπέχειν ἄμεινον. — 7. Οὐκ αἰσθάνεσθαι τοσούτῳ τὸν λόγον ἐνδοξότερον δι᾽ ἐμὲ γενόμενον.) Τὸ μέν, Γενόμενον, ἐκ διορθώσεως Οὐολφίου ἀντὶ τοῦ, Λεγόμενον· ὁ δὲ νοῦς κατὰ μὲν Οὐόλφιον καὶ τοὺς μετ᾽ αὐτόν, πλὴν Λαγγίου, Φήσεις οὐκ αἰσθάνεσθαί με ὅτι ὁ λόγος κ. τ. λ. Λάγγιος δὲ τοὐναντίον, Φήσεις οὐκ αἰσθάνεσθαί σε, ὅτι ὁ λόγος, πρὸς τὸ Ἰσοκράτους πρόσωπον ἀναφέρων τὸ ἀπαρέμφατον. Καὶ καλῶς ἂν εἶχεν, εἰ ὀρθῶς εἶχε τὸ Ἐνδοξότερον· ἀλλὰ τοῦτο δὴ τοὔνομα ἐν τῷ ἐμῷ ἀντιγράφῳ ὑπ᾽ ὀψιαιτέρας χειρὸς ἀπὸ τοῦ, Ἀδοξότερον (ὅπερ ἔοικεν εἶναι ἡ γνησία γραφή) μετεποιήθη εἰς τό, Ἐνδοξότερον. — 8. Γνωριμώτατον.) Ὁ Στέφανος καὶ ὁ Αὐγῆρος παραινοῦσι γράφειν, Γνωρι-

εἰδόσιν ἐνεργαζόμενον,[9] ἔρημον τὸν λόγον ἐμὲ μὴ ποιεῖν,[10] καὶ τῆς τιμῆς ἀποστερεῖν, τῆς γιγνομένης αὐτῶν, τοὺς πονοῦντας, καὶ πράγματα σφίσιν αὐτοῖς παρέχοντας.

§ 98. Ἐγὼ δὲ ὁμολογῶ μὲν ἀπελελεῖφθαι τὴν ἐμὴν φρόνησιν τῆς σῆς, ὡς δυνατὸν πλεῖστον· οὐ μὴν ἀλλ', ὥςπερ τοῦτ' οἶδα, κἀκεῖνο τυγχάνω γιγνώσκων, ὅτι, τῆς πόλεως τῆς ἡμετέρας βουλευομένης περὶ τῶν μεγίστων, οἱ μὲν ἄριστα φρονοῦντες, ἐνίοτε διαμαρτάνουσι τοῦ συμφέροντος, τῶν δὲ φαύλων νομιζομένων εἶναι καὶ καταφρονουμένων, ἔστιν ὅτε κατώρθωσεν ὁ τυχὼν, καὶ βέλτιστα λέγειν ἔδοξεν. Ὥστ' οὐδὲν θαυμαστὸν, εἰ καὶ περὶ τοῦ νῦν ἐνεστῶτος τοιοῦτό τι συμβέβηκεν, ὅπου σὺ μὲν οἴει μάλιστα μὲν εὐδοκιμήσειν, ἣν ὡς πλεῖστον χρόνον διαλάθῃς,[2] ἣν ἔχων γνώμην τὰ περὶ τὸν λόγον ἐπραγματεύθης, ἐγὼ δ' ἡγοῦμαι βέλτιστά σε πράξειν, ἣν δυνηθῇς τὴν διάνοιαν, ᾗ χρώμενος αὐτὸν[3] συνέθηκας, ὡς τάχιστ' ἂν[4] φανερὰν ποιῆσαι τοῖς ἄλλοις ἅπασι, καὶ Λακεδαιμονίοις, περὶ ὧν πεποίησαι πολλοὺς λόγους, τοὺς μὲν δικαίους καὶ σεμνοὺς, τοὺς δὲ ἀσελγεῖς καὶ λίαν φιλαπεχθήμονας. Οὓς εἴ τις ἐπιδείξειεν[5] αὐτοῖς, πρὶν ἐμὲ διαλεχθῆναι περὶ αὐτῶν, οὐκ ἔστιν ὅπως οὐκ ἂν ἐμίσησαν, καὶ δυσκόλως πρὸς σὲ διετέθησαν, ὡς κατηγορίαν γεγραφότα περὶ αὐτῶν. Νῦν δ' οἶμαι τοὺς μὲν πλείστους Σπαρτιατῶν ἐμμενεῖν[6] τοῖς ἤθεσιν, οἷςπερ καὶ τὸν ἄλλον χρόνον, τοῖς δὲ λόγοις τοῖς ἐνθάδε γεγραμμένοις οὐδὲν μᾶλλον προσέξειν τὸν νοῦν, ἢ τοῖς ἔξω τῶν Ἡρακλέους στηλῶν λεγομένοις· τοὺς δὲ φρονιμωτάτους αὐτῶν καὶ τῶν λόγων τινὰς ἔχοντας τῶν σῶν, καὶ θαυμάζοντας[7] τούτους, ἢν λάβωσι

---

μώτερον. — 9. Ἐνεργαζόμενον) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ᾧ συνᾴδει καὶ τὸ τοῦ Λαγγίου, ἀντὶ τοῦ, παρ' ἅπασιν ἁπλοῦ, Ἐργαζόμενον. Καὶ σημειούσθω ἡ διαφορὰ τῆς γραφῆς δι' ἣν φθὰς ἐποίησα ὁμοίαν διόρθωσιν ἐν τῇ Αἰλιανοῦ ποικίλῃ ἱστορίᾳ (Προδρ. Ἑλλ. Βιβλ. σελ. 297). — 10. Μὴ ποιεῖν.) Ἡ ἀπαγόρευσις, λείπουσα τὴν ἀρχὴν ἐν τῷ ἐμῷ ἀντιγράφῳ, προσετέθη (οὐ δεόντως οἶμαι) ὑπὸ χειρὸς ὀψιαιτέρας. Εἰ οὖν περιέλοις αὐτὴν, καὶ τῷ Ἐνδοξότερον τὸ Ἀδοξότερον ἀνθυποβάλλοις, σαφέστερον ἀπεργάσῃ τὸ λεγόμενον, κατὰ τοιόνδε τινὰ νοῦν. Ἀλλὰ φήσεις, ὅτι, διδάσκων ἐγὼ τῶν ὑπὸ σοῦ λεγομένων τὸν νοῦν, καὶ τὴν σὴν διάνοιαν ἐξηγούμενος, οὐκ αἰσθάνομαι ὅτι τοσούτῳ ἀδοξότερον ἐποίουν τὸν σὸν λόγον, ὅσῳ φανερώτερον καὶ γνωριμώτερον ἐποίουν αὐτὸν τοῖς ἀναγινώσκουσι· διὰ γὰρ τὸ παρέχειν τοῖς μὴ νοοῦσιν ἐπιστήμην, τουτέστι γνῶσιν τοῦ λόγου, ποιῶ αὐτὸν ἔρημον τῶν ἐπὶ πλέον ἐξεταζόντων· καὶ ἀποστερῶ τοὺς περὶ τὴν ἐξήγησιν αὐτοῦ πονῆσαι θέλοντας τῆς τιμῆς τῆς γιγνομένης αὐτῶν, τουτέστι τῆς προσηκούσης αὐτοῖς.

§ 98. 2. Διαλάθῃς.) Ἐκ διορθώσεως Λαγγίου ἀντὶ τοῦ Διαλεχθῇς. — 3. Αὐτόν.) Οὕτω διορθώσαντος Οὐολφίου, παρείληφεν ὁ Λάγγιος, ἀντὶ τοῦ, Αὐτός. — 4. Ὡς τάχιστ' ἄν.) Γράφε ὡς τάχιστα, περιελὼν τὸν δυνητικόν. — 5. Εἴ τις ἐπιδείξειεν.) Γραπτέον οἶμαι, Εἴ τις ἐπέδειξεν, διὰ τὸ ἐπαγόμενον, Οὐκ ἂν ἐμίσησαν. — 6. Ἐμμενεῖν.) Ἔτρεψα εἰς τὸν μέλλοντα, τὸν παρ' ἅπασιν ἐνεστῶτα, Ἐμμένειν· δῆλον δὲ καὶ ἐκ τῶν ἐπαγομένων μελλόντων, Προσέξειν, Ἀγνοήσειν. κ. τ. λ. — 7. Καὶ

τὸν ἀναγνωσόμενον, καὶ χρόνον, ὥστε συνδιατρίψαι σφίσιν αὐτοῖς, οὐδὲν ἀγνοήσειν τῶν λεγομένων, ἀλλὰ καὶ τῶν ἐπαίνων αἰσθήσεσθαι τῶν μετ᾽ ἀποδείξεως εἰρημένων περὶ τῆς πόλεως αὐτῶν, καὶ τῶν λοιδοριῶν καταφρονήσειν, τῶν εἰκῇ μὲν τοῖς πράγμασι λεγομένων, πικρῶς δὲ τοῖς ὀνόμασι κεχρημένων, καὶ νομιεῖν τὰς μὲν βλασφημίας τὰς ἐνούσας ἐν τῇ βίβλῳ τὸν φθόνον ὑποβαλεῖν,[8] τὰς δὲ πράξεις καὶ τὰς μάχας, ἐφ᾽ αἷς αὐτοί τε μέγα φρονοῦσι, καὶ παρὰ τοῖς ἄλλοις εὐδοκιμοῦσι, σὲ γεγραφέναι, καὶ μνημονεύεσθαι πεποιηκέναι, συναγαγόντα ἁπάσας αὐτὰς καθ᾽ αὑτάς, καὶ θέντα παρ᾽ ἀλλήλας,[9] αἴτιον δ᾽ εἶναι καὶ τοῦ τοὺς πολλοὺς[10] ποθεῖν ἀναγνῶναι, καὶ διεξελθεῖν αὐτάς, οὐ τὰς ἐκείνων ἐπιθυμοῦντας ἀκοῦσαι πράξεις, ἀλλ᾽ ὅπως σὺ διείλεξαι περὶ αὐτῶν, μαθεῖν βουλομένους.

§ 99. Ταῦτ᾽ ἐνθυμουμένους, καὶ διεξιόντας, οὐδὲ τῶν παλαιῶν ἔργων ἀμνημονήσειν, δι᾽ ὧν ἐγκεκωμίακας τοὺς προγόνους αὐτῶν, ἀλλὰ καὶ πολλάκις διαλέξεσθαι πρὸς σφᾶς αὐτούς, πρῶτον μέν, ὅτι Δωριεῖς ὄντες, ἐπειδὴ κατεῖδον τὰς πόλεις τὰς ἑαυτῶν ἀδόξους καὶ μικράς, καὶ πολλῶν ἐνδεεῖς οὔσας, ὑπεριδόντες ταύτας ἐστράτευον ἐπὶ τὰς ἐν Πελοποννήσῳ πρωτευούσας, ἐπ᾽ Ἄργος καὶ Λακεδαίμονα καὶ Μεσσήνην· μάχῃ δὲ νικήσαντες, τοὺς μὲν ἡττηθέντας ἔκ τε τῶν πόλεων, καὶ τῆς χώρας ἐξέβαλον, αὐτοὶ δὲ[2] τὰς κτήσεις ἁπάσας τὰς ἐκείνων κατασχόντες, ἔτι καὶ νῦν ἔχουσιν, οὗ μεῖζον ἔργον καὶ θαυμαστότερον οὐδεὶς ἐπιδείξει κατ᾽ ἐκεῖνον τὸν χρόνον γενόμενον, οὐδὲ πρᾶξιν εὐτυχεστέραν καὶ θεοφιλεστέραν, τῆς τοὺς χρησαμένους[3] τῆς μὲν οἰκείας ἀπορίας ἀπαλλαξάσης, τῆς δ᾽ ἀλλοτρίας εὐδαιμονίας κυρίους ποιησάσης. Καὶ ταῦτα μὲν μετὰ πάντων τῶν συστρατευσαμένων ἔπραξαν.

---

θαυμάζοντας κ. τ. λ.) Ἀπεκατέστησα τὴν ἀρχαίαν γραφήν, ἀντὶ τοῦ, Θαυμάσοντας, ὅπερ ἔγραψε Λάγγιος ἐκ διορθώσεως τοῦ Στεφάνου· προσέθηκα δέ, ἐκ τοῦ ἐμοῦ ἀντιγράφου τὸν παρ᾽ ἅπασι λείποντα, Καί. Ὁ νοῦς, Οἶμαι τοὺς φρονιμωτάτους τῶν Λακεδαιμονίων, καὶ τοὺς ἔχοντας ἤδη τινὰς τῶν ἄλλων σου λόγων, καὶ θαυμάζειν αὐτοὺς εἰθισμένους, οὐδὲν ἀγνοήσειν καὶ τῶν λεγομένων ἐν τούτῳ τῷ λόγῳ, ἢν λάβωσιν ἀναγνώστην, καὶ χρόνον ἱκανόν, ὥστε συνδιατρίψαι, ἤγουν διαλεχθῆναι, ἀλλήλοις — 8. Τὸν φθόνον ὑποβαλεῖν.) Ἔτρεψα τὸν ἐνεστῶτα, Ὑποβάλλειν, εἰς τὸν ἀόριστον. — 9. Παρ᾽ ἀλλήλας.) Οὕτως ἐν παραθέσει τὸ ἐμὸν ἀντίγραφον ἀντὶ τοῦ παρὰ τοῖς λοιποῖς ἐν συνθέσει, Παραλλήλας. — 10. Αἴτιον δ᾽ εἶναι καὶ τοῦ τοὺς πολλούς.) Λείπει τὸ πρῶτον ἄρθρον καὶ ἐν τῷ ἐμῷ ἀντιγράφῳ, καθὰ καὶ ἐν τῇ Στεφανίῳ καὶ ταῖς πρὸ τοῦ Οὐολφίου ἐκδόσεσιν. Ὁ νοῦς, Οἶμαι τοὺς Λακεδαιμονίους νομιεῖν σὲ τὸν Ἰσοκράτην αἴτιον εἶναι τοῦ τοὺς πολλοὺς ποθεῖν ἀναγνῶναι κ. τ. λ.

§ 99. 2. Αὐτοὶ δέ.) Οὕτω γράφειν προῄρημαι, ἀντὶ τοῦ, Αὐτοί τε. — 3. Τοὺς χρησαμένους.) Προσυπακουστέον ἀπὸ τῶν προηγησαμένων, Τῇ πράξει, καθὰ ἐξεδέξατο καὶ ὁ Ἄγγλος ἐκδότης. Ἴσως μέντοι ἄμεινον γράφειν, Τοὺς κτησαμένους, διὰ τὸ πρὸ τούτου ῥηθέν, «Αὐτοὶ «δὲ τὰς κτήσεις ἁπάσας τὰς ἐκείνων «κατασχόντες, ἔτι καὶ νῦν ἔχουσιν.»

§ 100. Ἐπεὶ δὲ πρὸς Ἀργείους καὶ Μεσσηνίους τὴν χώραν διείλοντο, καὶ καθ' αὑτοὺς ἐν Σπάρτῃ κατῴκησαν,[2] ἐν τούτοις τοῖς καιροῖς τοσοῦτον φρονῆσαι φῂς αὐτοὺς, ὥστε ὄντας οὐ πλείους τότε δισχιλίων, οὐχ ἡγήσασθαι σφᾶς αὐτοὺς ἀξίους εἶναι ζῆν, εἰ μὴ δεσπόται πασῶν τῶν ἐν Πελοποννήσῳ πόλεων γενέσθαι δυνηθεῖεν. Ταῦτα δὲ διανοηθέντες, καὶ πολεμεῖν ἐπιχειρήσαντες, οὐκ ἀπεῖπον, ἐν πολλοῖς κακοῖς καὶ κινδύνοις γενόμενοι, πρὶν ἁπάσας ταύτας ὑφ' αὑτοῖς ἐποιήσαντο, πλὴν τῆς Ἀργείων πόλεως· ἔχοντας δ' ἤδη καὶ χώραν πλείστην, καὶ δύναμιν μεγίστην, καὶ δόξαν τοσαύτην, ὅσην προσήκει τοὺς τηλικαῦτα διαπεπραγμένους, οὐχ ἧττον διακεῖσθαι φιλοτίμως, ὅτι λόγος ὑπῆρχεν αὐτοῖς ἴδιος καὶ καλὸς μόνοις τῶν Ἑλλήνων· ἐξεῖναι γὰρ εἰπεῖν αὐτοῖς, ὅτι σφεῖς μὲν, ὄντες οὕτως ὀλίγοι τὸν ἀριθμὸν, οὐδεμιᾷ πώποτε τῶν μυριάνδρων πόλεων ἠκολούθησαν, οὐδ' ἐποίησαν τὸ προσταττόμενον, ἀλλ' αὐτόνομοι διετέλεσαν[3] ὄντες, αὐτοὶ δ' ἐν τῷ πολέμῳ τῷ πρὸς τοὺς Βαρβάρους, ἁπάντων τῶν Ἑλλήνων ἡγεμόνας κατέστησαν, καὶ τῆς τιμῆς ταύτης ἔτυχον οὐκ ἀλόγως, ἀλλὰ διὰ τὸ, μάχας ποιησάμενοι πλείστας ἀνθρώπων[4] κατ' ἐκεῖνον τὸν χρόνον, μηδεμίαν ἡττηθῆναι τούτων, ἡγουμένου βασιλέως, ἀλλὰ νενικηκέναι πάσας, οὗ τεκμήριον οὐδεὶς ἂν δύναιτο μεῖζον εἰπεῖν ἀνδρίας καὶ καρτερίας, καὶ τῆς πρὸς ἀλλήλους ὁμονοίας, πλὴν ἢ[5] τὸ ῥηθήσεσθαι μέλλον. Τοσούτων γὰρ τὸ πλῆθος πόλεων τῶν Ἑλληνίδων οὐσῶν, τῶν μὲν ἄλλων οὐδεμίαν εἰπεῖν, οὐδ' εὑρεῖν ἐστιν, ἥτις[6] οὐ περιέπεσε ταῖς συμφοραῖς ταῖς εἰθισμέναις γίγνεσθαι ταῖς πόλεσιν, ἐν δὲ τῇ Σπαρτιατῶν, οὐδεὶς ἂν ἐπιδείξειεν, οὔτε σφα-

§ 100. 2. Κατῴκησαν.) Οὕτω καὶ τὸ ἐμὸν ἀντίγραφον συμφώνως τῷ τοῦ Λαγγίου καὶ τῇ πάλαι διορθώσει Οὐολφίου, ἀντὶ τοῦ Κατῴκισαν. — 3. Ἠκολούθησαν . . . ἐποίησαν . . . διετέλεσαν) Ἐν τῷ ἐμῷ ἀντιγράφῳ, καθὰ καὶ ἐν τρισὶν ἑτέροις τῶν πρὸ ἐμοῦ, φέρεται, Ἠκολουθήσαμεν, Ἐποιήσαμεν, Διετελέσαμεν, ὡς ἐκ προσώπου τῶν Λακεδαιμονίων λεγόμενα· ἃ καλῶς ἂν εἶχεν, εἴγε καὶ ἀντὶ τοῦ προηγησαμένου, Σφεῖς, ἐγράφετο, Ἡμεῖς, ἢ γοῦν, Αὐτοὶ, οἵ τε λοιποὶ ἀόριστοι πρωτοπροσώπως ἐξεφέροντο. — 4. Πλείστας ἀνθρώπων.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου ἀνάρθρως (ὡς ἐγράψαμεν καὶ ἐν τῷ Συμμαχικῷ. σελ. 173), ἀντὶ τοῦ παρ' ἅπασι, Πλείστας τῶν ἀνθρώπων. Τὸ γὰρ, Πλείστας ἀνθρώπων, ταὐτὸν δύναται τῷ, Τοσαύτας, ὅσας οὐδεὶς ἀνθρώπων· καθὰ λέγεται καὶ τὸ, Μάλιστα ἀνθρώπων, ἀνάρθρως, περὶ οὗ ἔπιθι, τὰ Γαλατιστὶ σημειωθέντα μοι εἰς τοὺς Θεοφράστου χαρακτῆρας (σελ. 330). — 5. Πλὴν ἤ.) Οὕτως ἡ μικρὰ Οὐολφίου ἔκδοσις, ὁ Στέφανος καὶ ὁ Αὐγῆρος· οἱ λοιποὶ, καθὰ καὶ τὸ ἐμὸν ἀντίγραφον, πλὴν εἰ. — 6. Οὐδεμίαν εἰπεῖν οὐδ' εὑρεῖν ἐστιν, ἥτις κ. τ. λ.) Ἐκ διορθώσεως Οὐολφίου τὸ, Ἔστιν, παρειλήφασιν οἱ πρὸ ἐμοῦ· ὧν τούτῳ μόνον διαφέρω, ὅτι ἔταξα μετὰ τὸ, Εὑρεῖν, ἐκείνων μετὰ τὸ, Οὐδεμίαν, τεταχότων· εἰκὸς γὰρ ἐξεῤῥυηκέναι τοῦ χωρίου τὸ ὑπαρκτικὸν, διὰ τὴν ὁπωσοῦν πρὸς τὸ, Ἥτις, ὁμοιότητα, ἄλλως τε καὶ ἐπειδὴ κακῶς ἐν τῷ ἐμῷ γράφεται, Εἴ τις. Ἐνδέχεται μέντοι καὶ δίχα τοῦ ὑπαρκτικοῦ ὀρθῶς ἔχειν τὴν γραφὴν, εἰ προσυπακούοις τοῖς ἀπαρεμφάτοις ἀπὸ τοῦ κοινοῦ τὸ, Δύναιτ' ἂν

γάς, οὔτε φυγάς,[7] ἀνόμους γεγενημένας, οὐδ᾽ ἁρπαγὰς χρημάτων, οὐδ᾽ αἰσχύνας γυναικῶν καὶ παίδων, ἀλλ᾽ οὐδὲ πολιτείας μεταβολὴν, οὐδὲ χρεῶν ἀποκοπὰς, οὐδὲ γῆς ἀναδασμὸν, οὐδ᾽ ἄλλο οὐδὲν τῶν ἀνηκέστων κακῶν. Περὶ ὧν διεξιόντας, οὐκ ἔστιν ὅπως οὐ καὶ σοῦ, τοῦ τ᾽ ἀθροίσαντος,[8] καὶ διαλεχθέντος οὕτω καλῶς περὶ αὐτῶν, μεμνήσεσθαι καὶ πολλὴν χάριν ἕξειν.

§ 101. Οὐ τὴν αὐτὴν δὲ γνώμην ἔχω περὶ σοῦ νῦν τε καὶ πρότερον. Ἐν μὲν γὰρ τοῖς παρελθοῦσι χρόνοις, ἐθαύμαζόν σου τήν τε φύσιν, καὶ τὴν τοῦ βίου τάξιν, καὶ τὴν φιλοπονίαν, καὶ μάλιστα τὴν ἀλήθειαν τῆς φιλοσοφίας, νῦν δὲ ζηλῶ σου καὶ μακαρίζω τὴν εὐδαιμονίαν. Δοκεῖς γάρ μοι ζῶν μὲν λήψεσθαι δόξαν, οὐ μείζω δὲ,[2] ἧς ἄξιος εἶ (χαλεπὸν γὰρ), παραπλήσιον δὲ, καὶ μᾶλλον ὁμολογουμένην τῆς νῦν ὑπαρχούσης·[3] τελευτήσαντα[4] δὲ τὸν βίον, μεθέξειν ἀθανασίας, οὐ τῆς τοῖς θεοῖς παρούσης, ἀλλὰ τῆς τοῖς ἐπιγιγνομένοις περὶ τῶν διενεγκόντων ἐπί τινι τῶν καλῶν ἔργων, μνήμην ἐμποιούσης.[5] Καὶ δικαίως τεύξῃ τούτων· ἐπῄνεσας γὰρ τὰς πόλεις ἀμφοτέρας[6] καλῶς καὶ προσηκόντως, τὴν μὲν κατὰ τὴν δόξαν[7] τῶν πολλῶν, ἧς οὐδεὶς τῶν ὀνομαστῶν ἀνδρῶν καταπεφρόνηκεν, ἀλλ᾽ ἐπιθυμοῦντες τυχεῖν αὐτῆς, οὐκ ἔστιν ὅντινα κίνδυνον οὐχ ὑπομένουσι, τὴν δὲ[8] κατὰ τὸν λόγον τῶν πειρωμένων στοχάζεσθαι τῆς ἀληθείας, παρ᾽ οἷς εὐδοκιμεῖν ἂν τινὲς ἕλοιντο μᾶλλον, ἢ παρὰ τοῖς ἄλλοις διπλασίοις γενομένοις, ἢ νῦν εἰσίν.

---

τις. — 7. Οὔτε φυγάς.) Προτέθηκε τὰς δύο ταύτας λέξεις ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ᾧ συνᾴδει καὶ τὸ τοῦ Λαγγίου. — 8. Τοῦ τ᾽ ἀθροίσαντος.) Προσυπακουστέον, τὰς πράξεις τὰς Λακεδαιμονίων· ὃ μὴ συνιδόντες οἱ ἐκδόται ἁπαξάπαντες ὑφ᾽ ἓν ἔγραψαν, Τοῦτ᾽ ἀθροίσαντος καὶ ὡς ἀντωνυμίαν (Τοῦτο) ἡρμήνευσαν· ὁ δ᾽ Αὐγῆρος, ἀνθρώπινόν τι παθὼν, καὶ εἰς τὸ Ταῦτ᾽ (Ταῦτα) ἔτρεψεν. Ἔστι δὲ δύο λόγου μέρη καθ᾽ ὑπερβιβασμὸν, ἀντὶ τοῦ, Τοῦ ἀθροίσαντός τε, καὶ διαλεχθέντος κ. τ. λ.

§ 101. 2. Οὐ μείζω δὲ.) Γραπτέον, Οὐ μείζω μὲν, ἵν᾽ ἀνταποδιδῶται πρὸς τὸ, Παραπλήσιον δέ. — 3. Παραπλήσιον δὲ, καὶ μᾶλλον ὁμολογουμένην τῆς νῦν ὑπαρχούσης.) Ὁποία τις ἂν εἴη ἡ παραπλήσιος δόξα τῇ νῦν ὑπαρχούσῃ, ἐγὼ μὲν οὐκ οἶδα· εἰ γάρ ἐστι παραπλήσιος, οὐ λήψεται ταύτην Ἰσοκράτης, ἀλλ᾽ οὐ παύσεται ἔχων τὴν ὑπάρχουσαν. Διὸ γραπτέον οἶμαι, Παρὰ πᾶσι δὲ μᾶλλον ὁμολογουμένην τῆς νῦν ὑπαρχούσης. — 4. Τελευτήσαντα.) Οὐκ ἀπιθάνως ὁ Αὐγῆρος τρέπει εἰς τὸ, Τελευτήσας, διὰ τὸ προηγησάμενον, Δοκεῖς γάρ μοι ζῶν. — 5. Τῆς τοῖς ἐπιγιγνομένοις . . . μνήμην ἐμποιούσης.) Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ᾧ συνᾴδει καὶ τὸ τοῦ Λαγγίου· ἐν δὲ ταῖς ἀρχαίας ἐκδόσεσι φέρεται, Τῆς ἐπὶ τοῖς ἐπιγιγνομένοις, ὃ Οὐολφίου τρέψαντος εἰς τὸ, Τῆς παρὰ τοῖς ἐπιγιγνομένοις, ἀπεδέξαντο, μηδὲν δέον, καὶ οἱ μετ᾽ αὐτόν. — 6. Τὰς πόλεις ἀμφοτέρας.) Αἱ πρῶται δύο λέξεις προσετέθησαν ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ᾧ συνᾴδει καὶ τὸ τοῦ Λαγγίου. — 7. Τὴν μὲν κατὰ τὴν δόξαν.) Τὴν τῶν Ἀθηναίων πόλιν. Τὸ δεύτερον ἄρθρον λείπει κακῶς ἐν τῇ μεγάλῃ τοῦ Οὐολφίου ἐκδόσει, τῇ τοῦ Ἄγγλου, καὶ τῇ τοῦ Λαγγίου. — 8. Τὴν δέ.) Τὴν τῶν Λακεδαιμονίων πόλιν.

§ 102. Ἀπλήστως δὲ διακείμενος ἐν τῷ καιρῷ τῷ πρὸς τοὺς λόγους,[2] καὶ πολλὰ ἂν εἰπεῖν ἔχων, καὶ περὶ σοῦ καὶ περὶ τῶν πόλεων, καὶ περὶ τοῦ λόγου, ταῦτα μὲν ἐάσω, περὶ ὧν δὲ παρακληθῆναί με σὺ φῄς, περὶ τούτων ἀποφανοῦμαι. Συμβουλεύσω[3] γάρ σοι, μήτε καίειν[4] τὸν λόγον, μήτ' ἀφανίζειν· ἀλλ', εἴ τινος ἐνδεής ἐστι, διορθώσαντα, καὶ προσγράψαντα πάσας τὰς διατριβὰς, τὰς περὶ αὐτὸν γενομένας, διδόναι τοῖς βουλομένοις λαμβάνειν, εἴπερ βούλει χαρίσασθαι μὲν τοῖς ἐπιεικεστάτοις τῶν Ἑλλήνων, καὶ τοῖς ἀληθῶς φιλοσοφοῦσιν, ἀλλὰ μὴ προσποιουμένοις, λυπῆσαι δὲ τοὺς θαυμάζοντάς σε μᾶλλον τῶν ἄλλων, λοιδορουμένους δὲ τοῖς λόγοις τοῖς σοῖς ἐν τοῖς ὄχλοις τοῖς πανηγυρικοῖς, ἐν οἷς πλείους εἶναι συμβαίνει[5] τοὺς καθεύδοντας τῶν ἀκροωμένων, καὶ προσδοκῶντας, ἣν παρακρούσωνται τοὺς τοιούτους, ἐφαμίλλους τοὺς αὐτῶν γενήσεσθαι[6] τοῖς ὑπὸ σοῦ γεγραμμένοις· κακῶς εἰδότας,[7] ὅτι πλεῖον ἀπολελειμμένοι τῶν σῶν εἰσίν, ἢ τῆς Ὁμήρου δόξης οἱ περὶ τὴν αὐτὴν ἐκείνῳ ποίησιν γεγονότες.

§ 103. Ταῦτ' εἰπόντος αὐτοῦ, καὶ τοὺς παρόντας ἀξιώσαντος ἀποφήνασθαι περὶ ὧν παρεκλήθησαν, οὐκ ἐθορύβησαν, ὃ ποιεῖν εἰώθασι πᾶσι τοῖς χαριέντως διειλεγμένοις, ἀλλ' ἀνεβόησαν, ὡς ὑπερβαλλόντως εἰρηκότος, καὶ περιστάντες αὐτὸν ἐπῄνουν, ἐζήλουν, ἐμακάριζον· καὶ προσθεῖναι μὲν οὐδὲν εἶχον τοῖς εἰρημένοις, οὐδ' ἀφελεῖν, συναπεφαίνοντο δὲ καὶ συνεβούλευον ποιεῖν, ἅπερ ἐκεῖνος παρῄνεσεν. Οὐ μὴν οὐδ' ἐγὼ παρεστὼς ἐσιώπων· ἀλλ' ἐπῄνουν τήν τε φύσιν αὐτοῦ, καὶ τὴν ἐπιμέλειαν· περὶ δὲ τῶν ἄλλων οὐδὲν ἐφθεγξάμην ὧν εἶπεν, οὔθ' ὡς ἔτυχε ταῖς ὑπονοίαις[2] τῆς ἐμῆς διανοίας, οὔθ' ὡς διήμαρτεν, ἀλλ' εἴων αὐτὸν οὕτως ἔχειν, ὥσπερ αὐτὸς αὑτὸν διέθηκε.

---

§ 102. 2 Ἀπλήστως δὲ διακείμενος ἐν τῷ καιρῷ τῷ πρὸς τοὺς λόγους.) Ἐν τῷ μέτρῳ τῶν λόγων ἄπληστος ὤν, τουτέστι καίπερ τοῖς μακροῖς λόγοις χαίρων. Ἡ γραφὴ, Λόγους, ἐξ εἰκασίας τοῦ Ἄγγλου ἐκδότου, ἀντὶ τοῦ παρ' ἅπασιν, Ἄλλους, πλὴν Αὐγήρου, ὃς οὕτω διεσκεύασε τὴν διόρθωσιν . . . Ἐν τῷ καιρῷ τῷδε πρὸς τοὺς λόγους, τὸν καιρὸν ἐπὶ τοῦ χρόνου ἐκδεξάμενος, ὥσπερ καὶ οἱ πρὸ αὐτοῦ. Δῆλον δὲ τοιοῦτον, οἷον ἔφαμεν, εἶναι τὸν νοῦν τοῦ χωρίου, καὶ ἐξ ὁμοίου ἑτέρου (περὶ τῆς Ἀντιδ. κζ') τουτουΐ, «Οὕτω γὰρ ἀπλήστως ἅπαντε »ἔχομεν περὶ τοὺς λόγους, ὥστ' ἐπαι»νοῦμεν μὲν τὴν ΕΥΚΑΙΡΙΑΝ, καὶ φαμὲν »οὐδὲν εἶναι τοιοῦτον· ἐπειδὰν δ' οἰηθῶ»μεν ὡς ἔχομέν τι λέγειν . . . εἰς τὰς »ἐσχάτας ΑΚΑΙΡΙΑΣ ἐμβάλλομεν ἡμᾶς »αὐτούς.» — 3. Συμβουλεύσω.) Ἴσως, Συμβουλεύω. — 4. Καίειν.) Οὕτως ὀρθῶς καὶ τὸ ἐμὸν ἀντίγραφον, ἀντὶ τοῦ ἔν τισι, Καίνειν — 5. Συμβαίνει.) Προσετέθη ἐκ διορθώσεως Οὐολφίου, λεῖπον ἐν ἅπασι τοῖς ἀντιγράφοις. — 6. Γενήσεσθαι.) Ἐκ διορθώσεως τοῦ Στεφάνου παρέλαβον οἱ πρὸ ἐμοῦ, πλὴν τοῦ Ἄγγλου ἐκδότου, τὸ Γενήσεσθαι, ἀντὶ τοῦ, Γεγενῆσθαι. — 7. Κακῶς εἰδότας.) Ἀγνοοῦντας. Οὕτως ἐν τῷ ἐμῷ ἀντιγράφῳ, ἐν τῷ τοῦ Ἄγγλου ἐκδότου, καί τισι τῶν ἀρχαίων ἐκδόσεων, κατ' αἰτιατικὴν, ἀντὶ τοῦ παρὰ τοῖς ἄλλοις, Κακῶς εἰδότες.

§ 103. 2. Ταῖς ὑπονοίαις.) Ταῖς δοκήσεσι, τοῖς στοχασμοῖς.

§ 104. Περὶ μὲν οὖν ὧν ὑπεθέμην, ἱκανῶς εἰρῆσθαι νομίζω· τὸ γὰρ ἀναμιμνήσκειν καθ' ἕκαστον τῶν εἰρημένων, οὐ πρέπει τοῖς λόγοις τοῖς τοιούτοις· βούλομαι δὲ διαλεχθῆναι περὶ τῶν ἰδίᾳ μοι περὶ τὸν λόγον συμβεβηκότων. Ἐγὼ γὰρ ἐνεστησάμην μὲν αὐτὸν,[2] ἔτη γεγονὼς, ἅπερ ἐν ἀρχῇ προεῖπον.[3] Ἤδη δὲ τῶν ἡμισέων γεγραμμένων, ἐπιγενομένου μοι νοσήματος, ῥηθῆναι μὲν οὐκ εὐπρεποῦς,[4] δυναμένου δ' ἀνερεῖν, οὐ μόνον τοὺς πρεσβυτέρους, ἐν τρισὶν ἢ τέτταρσιν ἡμέραις, ἀλλὰ καὶ τῶν ἀκμαζόντων πολλοὺς, τούτῳ διετέλουν τρί' ἔτη[5] μαχόμενος, οὕτω φιλοπόνως ἑκάστην τὴν ἡμέραν διάγων, ὥστε καὶ τοὺς εἰδότας, καὶ τοὺς παρὰ τῶν εἰδότων πυνθανομένους, μᾶλλον θαυμάζειν διὰ τὴν καρτερίαν ταύτην, ἢ δι' ἃ πρότερον ἐπῃνούμην. Ἤδη δ' ἀπειρηκότος, καὶ διὰ τὴν νόσον, καὶ διὰ τὸ γῆρας, τῶν ἐπισκοπούντων τινές με, καὶ πολλάκις ἀνεγνωκότων τὸ μέρος τοῦ λόγου τὸ γεγραμμένον, ἐδέοντό μου καὶ συνεβούλευον μὴ καταλιπεῖν αὐτὸν ἡμιτελῆ, μηδ' ἀδιέργαστον, ἀλλὰ πονῆσαι μικρὸν χρόνον, καὶ προσέχειν[6] τοῖς λοιποῖς τὸν νοῦν. Οὐχ ὁμοίως δὲ διελέγοντο περὶ τούτων τοῖς ἀφοσιουμένοις,[7] ἀλλ' ὑπερεπαινοῦντες μὲν τὰ γεγραμμένα, τοιαῦτα δὲ λέγοντες, ὧν εἴ τινες ἤκουον, μήτε συνήθεις ἡμῖν ὄντες, μήτ' εὔνοιαν μηδεμίαν ἔχοντες, οὐκ ἔστιν ὅπως οὐκ ἂν ὑπέλαβον, τοὺς μὲν φενακίζειν, ἐμὲ δὲ διεφθάρθαι,[8] καὶ παντάπασιν εἶναι μωρὸν, εἰ πείσομαι τοῖς λεγομένοις. Οὕτω δ' ἔχων, ὡς ἴσως ἂν εἰπεῖν τινες ἐτόλμησαν, ἐπείσθην (τί γὰρ δεῖ μακρὸν λόγον γενέσθαι περὶ τὴν τῶν λοιπῶν πραγματείαν;), γεγονὼς μὲν ἔτη τρία μόνον ἀπολείποντα τῶν ἑκατὸν, οὕτω δὲ διακείμενος, ὡς ἕτερος ἔχων, οὐχ ὅπως γράφειν ἂν λόγον ἐπεχείρησεν, ἀλλ' οὐδ' ἄλλου δεικνύοντος, καὶ πονήσαντος, ἠθέλησεν ἀκροατὴς γενέσθαι.

§ 105. Τίνος οὖν ἕνεκα ταῦτα διῆλθον; οὐ συγγνώμης τυχεῖν ἀξιῶν ὑπὲρ τῶν εἰρημένων (οὐ γὰρ οὕτως οἴομαι διειλέχθαι περὶ αὐτῶν)· ἀλλὰ δηλῶσαι βουλόμενος τά τε περὶ ἐμὲ γενόμενα,[2] καὶ

---

§ 104. 2. Ἐνεστησάμην μὲν αὐτόν.) Ἐπεχείρησα αὐτῷ, ἔκρινα συγγράψαι αὐτόν. — 3. Ἅπερ ἐν ἀρχῇ προεῖπον.) Τουτέστιν (σελ. 232.) Ἐννενήκοντα καὶ τέσσαρα. — 4. Νοσήματος, ῥηθῆναι μὲν οὐκ εὐπρεποῦς.) Μῶν διάῤῥοιαν λέγει νόσημα τοῖς πρεσβυτέροις ἐπισφαλέστατον; — 5. Τρί' ἔτη.) Οὕτω γράψας διωρθωκέναι καὶ λελυκέναι ὑπολαμβάνω τὴν παρ' ἅπασιν ἠπορημένην γραφὴν, Τριετῆ. Ἔστι μέντοι καὶ δίχα ἐκθλίψεως γράφειν, Τρία ἔτη, ὡς ἐν τῷ Πανηγυρικῷ (§ 39.). — 6. Προσέχειν.) Ἴσως γραπτέον Προσχεῖν. — 7. Τοῖς ἀφοσιουμένοις.) Τοῖς μὴ ἐντελῶς τι ποιοῦσιν, ἀλλ' ὥσπερ ὁσίας ἕνεκεν, καθάπερ ἐξηγεῖται Ἁρποκρατίων. Ἐξηγησάμεθα δὲ καὶ ἡμεῖς ἀλλαχοῦ (Ἡλιοδώρ. Β, σελ. 75) πλατύτερον τὸ, Ἀφοσιοῦσθαι. — 8. Διεφθάρθαι.) Προσυπακουστέον, Τὸν νοῦν, ἢ Τὴν φρόνησιν, ἢ δῆλον ἐκ τῶν ἀνωτέρω (§ 79.) εἰρημένων.

§ 105. 2. Γενόμενα.) Ἐκ διορθώσεως Οὐολφίου ἔγραψαν οἱ πρὸ ἐμοῦ,

τῶν ἀκροατῶν ἐπαινέσαι[3] μὲν τοὺς τόν τε λόγον ἀποδεχομένους τοῦτον, καὶ τῶν ἄλλων σπουδαιοτέρους καὶ φιλοσοφωτέρους εἶναι νομίζοντας, τούς τε διδασκαλικοὺς καὶ τεχνικοὺς, τῶν πρὸς τὰς ἐπιδείξεις καὶ τοὺς ἀγῶνας γεγραμμένων, καὶ τοὺς τῆς ἀληθείας στοχαζομένους, τῶν τὰς δόξας τῶν ἀκροωμένων παρακρούεσθαι ζητούντων, καὶ τοὺς ἐπιπλήττοντας τοῖς ἁμαρτανομένοις, καὶ νουθετοῦντας, τῶν πρὸς ἡδονὴν καὶ χάριν λεγομένων, συμβουλεῦσαι δὲ τοῖς τἀναντία τούτων γιγνώσκουσι, πρῶτον μὲν μὴ πιστεύειν ταῖς αὑτῶν γνώμαις, μηδὲ νομίζειν εἶναι τὰς κρίσεις τὰς ὑπὸ τῶν ῥᾳθυμούντων γιγνομένας, ἔπειτα μὴ προπετῶς ἀποφαίνεσθαι, περὶ ὧν οὐκ ἴσασιν, ἀλλὰ περιμένειν, ἕως ἂν ὁμονοῆσαι δυνηθῶσι τοῖς τῶν ἐπιδεικνυμένων πολλὴν ἐμπειρίαν ἔχουσι·[4] τῶν γὰρ οὕτω διηκόντων διανοίας,[5] οὐκ ἔστιν ὅπως ἄν τις τοὺς τοιούτους ἀνοήτους εἶναι νομίσειεν.

---

πλὴν Λαγγίου, ἀντὶ τοῦ, Γινόμενα. — 3. Καὶ τῶν ἀκροατῶν ἐπαινέσαι κ. τ. λ.) Τὸ ἑξῆς, Καὶ (ἐκείνους) τῶν ἀκροατῶν ἐπαινέσαι τοὺς ἀποδεχομένους τοῦτόν τε τὸν λόγον, καὶ νομίζοντας τούς τε διδασκαλικοὺς καὶ τεχνικοὺς τῶν ἄλλων λόγων, εἶναι σπουδαιοτέρους τῶν πρὸς τὰς ἐπιδείξεις καὶ τοὺς ἀγῶνας γεγραμμένων, καὶ τοὺς τῆς ἀληθείας στοχαζομένους (εἶναι σπουδαιοτέρους) τῶν τὰς δόξας κ. τ. λ. — 4. Τοῖς τῶν ἐπιδεικνυμένων πολλὴν ἐμπειρίαν ἔχουσι.) Τὸ, Ἐπιδεικνυμένων, ὁ μὲν Οὐόλφιος καὶ οἱ πλεῖστοι τῶν μετ᾽ αὐτὸν παθητικῶς ἐξέλαβον, συνάψαντες πρὸς τὸ, ἐμπειρίαν ἔχουσι, ἵν᾽ ᾖ ὁ νοῦς, Τοῖς ἐμπείροις ἐκείνων τῶν πραγμάτων, ἢ λόγων, οἳ ἐπιδείκνυνται ὑπ᾽ ἄλλων· ὁ δὲ Λάγγιος ἐξηγήσατο, Οἳ ἐπιδείκνυνται πολλὴν ἐμπειρίαν ἔχειν, ὀρθῶς μὲν ἴσως κατὰ μέσην ἐκδεξάμενος τὸ ῥῆμα διάθεσιν, οὐκ ὀρθῶς δὲ, δι᾽ ἣν ὑπενόησε τοῦ λόγου συνάρτησιν, εἰ γὰρ τοιοῦτόν τι λέγειν ἠβούλετο ὁ Ῥήτωρ, οὐκ ἂν Ἔχουσι, ἀλλ᾽, Ἔχειν, ἔγραψε. Ἔστι δὲ καὶ ἄλλως ἑρμηνεῦσαι τὸ χωρίον, τὸ Ἐπιδεικνυμένων, κατὰ γενικὴν τὴν ὑπὸ τῶν Γραμματικῶν διαιρετικὴν καλουμένην, ἐκλαμβάνοντας, Ἐκείνοις τῶν ἐπιδεικνυμένων, τουτέστι, τῶν πρὸς τὰς ἐπιδείξεις γραφόντων, οἳ πολλὴν ἔχουσιν ἐμπειρίαν· ἀλλ᾽ ἴσως ἄμεινον τῇ Οὐολφιανῇ στέργειν ἐκφράσει. — 5. Τῶν γὰρ οὕτω διηκόντων διανοίας.) Τῶν γὰρ τοιαύτην διάνοιαν ἐχόντων. Σημειούσθω τὸ, Διηκόντων, ἀντὶ τοῦ μᾶλλον ἐν χρήσει ἁπλοῦ, Ἡκόντων· λέγεται γὰρ, Οὕτως ἥκω διανοίας (συνωνύμως τῷ Οὕτως ἔχω διανοίας) κατ᾽ ἔλλειψιν τοῦ, Ἕνεκα, ὡς τὸ, Εὖ ἥκω παιδείας, φρενῶν, χρημάτων, κ. τ. λ.

# ΑΝΔΟΚΙΔΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ,

## ΠΕΡΙ ΤΩΝ

## Μυστηρίων Λόγος.

### Ὑπόθεσις.

Ἀλκιβιάδου πείσαντος, ἐψηφίσαντο Ἀθηναῖοι ἐκστρατείαν πέμψαι εἰς Σικελίαν, ἤδη δὲ ἑτοίμων πάντων ὄντων, καὶ μελλόντων ἐκπλεῖν, συνέβη ἐν μιᾷ νυκτὶ πάντας τοὺς ἐν Ἀθήναις Ἑρμᾶς (Ἀγάλματα δὲ ταῦτα θεῶν ἐκ λίθου, ἢ ἄλλου του κατεσκευασμένα) περικοπῆναι· τούτου γενομένου Κίμων Θεσσαλὸς εἰσήγγειλε περὶ Ἀλκιβιάδου, ὡς οὗτος τὰς τῶν Ἑρμῶν περικοπὰς μετὰ τῶν ἑταίρων ἐποιήσατο, καὶ μυστηρίων μιμήσεις κατηγόρει αὐτοῦ ἐν οἷς Ἀλκιβιάδης μὲν τὰ τοῦ Ἱεροφάντου ἔπραττε, Θεόδωρος δέ τις, τὰ τοῦ κήρυκος, Πολιτίων, δὲ τὰ τοῦ δᾳδούχου· καὶ οἱ λοιποὶ ἑταῖροι ἐμυοῦντο μύσται λεγόμενοι· μετὰ δὲ τὴν Ἀθηναίων ἀτυχίαν, καὶ τὴν τῶν τριάκοντα τυράννων κατάλυσιν, ὥς ἐστιν εἰκάσαι ἐκ τοῦ παρόντος λόγου, Κηφήσιός τις μετὰ τῆς ἑταιρείας αὐτοῦ κατηγόρησεν Ἀνδοκίδου ὡς μηνύσαντος περὶ τούτων, καὶ τὸν πατέρα ἀπογράψαντος παρόντα, ἅπερ εἰσὶν ἀσεβείας ἔργα, καὶ διὰ ταῦτα ἔνδειξιν αὐτῷ ἐποιήσατο· ὅπερ ἐστίν· ὑπῆγεν αὐτὸν ἐπὶ δίκην, ὡς μὴ ἀπεχόμενον πράξεων, ἢ τόπων, ἀφ' ὧν οἱ νόμοι εἶργον αὐτὸν ὡς ἀσεβήσαντα· καὶ περὶ ἱκετηρίας δὲ αὐτοῦ κατηγόρησεν ὡς καταθέντος ἐν Ἐλευσῖνι κατὰ τοῦ νόμου· ὑπὲρ ὧν ἁπάντων ἀπολογεῖται Ἀνδοκίδης ἐν τῷδε τῷ λόγῳ, διηγούμενος κατὰ μέρος ἕκαστα, ὡς καὶ ὑπὸ τίνων πέπρακται· καὶ ὡς οὐδὲν τούτων μετῆν αὐτῷ, ἃ κατηγόρουν αὐτοῦ· δοκεῖ δὲ γενέσθαι τήν τε κατηγορίαν καὶ ἀπολογίαν μετὰ τὴν αὐτοῦ ἐπάνοδον ἀπὸ τῆς Κύπρου· ναύκληρος γὰρ ὤν, ἔφερε τὰ ἐπιτήδεια ἐν τῷ στρατοπέδῳ, ὡς ἐν τῷ περὶ τῆς ἑαυτοῦ καθόδου λέγει· καὶ ἐμπορίας ἐποιεῖτο πανταχόθεν, καὶ ἐν Κύπρῳ γαίας καὶ χώρας ἐκτήσατο.

§ 1. ΤΗΝ μὲν παρασκευὴν,[2] ὦ ἄνδρες, καὶ τὴν προθυμίαν τῶν ἐχθρῶν τῶν ἐμῶν, ὥστε μὲ κακῶς ποιεῖν ἐκ παντὸς τρόπου καὶ δικαίως καὶ ἀδίκως, ἐξ ἀρχῆς ἐπειδὴ τάχιστα ἀφικόμην[3] εἰς τὴν πόλιν ταυτηνί, σχεδόν τι πάντες ἐπίστασθε, καὶ οὐδὲν δεῖ περὶ τούτων πολλοὺς λόγους ποιεῖσθαι· ἐγὼ δέ, ὦ ἄνδρες, δεήσομαι ὑμῶν δίκαια, καὶ ὑμῖν γε ῥᾴδια χαρίζεσθαι, καὶ ἐμοὶ ἄξια πολλοῦ τυχεῖν παρ' ὑμῶν. Καὶ πρῶτον μὲν[4] ἐνθυμηθῆναι ὅτι νῦν ἐγὼ ἥκω, οὐδεμιᾶς μοι ἀνάγκης οὔσης παραμεῖναι, οὔτ' ἐγγυητὰς καταστήσας, οὔθ' ὑπὸ δεσμῶν ἀναγκασθείς· πιστεύσας δὲ μάλιστα μὲν[5] τῷ δικαίῳ· ἔπειτα δὲ καὶ ὑμῖν,[6] γνώσεσθαι τὰ δίκαια, καὶ μὴ περιόψεσθαί με ἀδίκως ὑπὸ τῶν ἐχθρῶν τῶν ἐμῶν διαφθαρέντα·

§ 1. 2. Τὴν μὲν παρασκευὴν.) Ἡ λέξις ῥητορικὴ σημαίνουσα Φατρίαν· κέχρηται δὲ αὐτῇ καὶ Αἰσχύνης ἐν τῷ κατὰ Κτησιφῶντος, καὶ ἄλλοι. — 3. Ἐπειδὴ δὲ τάχιστα ἀφικόμην.) Ἀντὶ Εὐθὺς ἐλθόντος μου εἰς τὴν πόλιν· ἀπὸ τῶν κατ' ἐμπορίαν δηλαδὴ ναυτηλιῶν ἐπιστρέψαντος. — 4. Καὶ πρῶτον μέν.) Δεήσομαι ὑμῶν ἐνθ. — 5. Μάλιστα μέν.) Εἰθισμένον παρὰ τοῖς ῥήτορσιν ἀντὶ τοῦ Πρῶτον μὲν τὸ Μάλιστα μέν. — 6. Καὶ ὑμ.) Πιστεύσας ὑμῖν ὅτι γνώσεσθε τὰ δίκ.

ἀλλὰ πολὺ μᾶλλον σώσειν δικαίως, κατά τε τοὺς νόμους τοὺς ἡμετέρους, καὶ τοὺς ὅρκους, οὓς ὑμεῖς ὀμόσαντες τὴν ψῆφον οἴσειν. Εἰκότως δ' ἄν, ὦ ἄνδρες, τὴν αὐτὴν γνώμην ἔχοιτε περὶ τῶν ἐθελοντῶν εἰς τοὺς κινδύνους καθισταμένων, ἥνπερ αὐτοὶ περὶ αὑτῶν ἔχουσιν. Ὁπόσοι μὲν γὰρ μὴ ἠθέλησαν ὑπομεῖναι, καταγνῶντες αὑτῶν ἀδικίαν, εἰκότως ἂν καὶ ὑμεῖς τοιαῦτα περὶ αὐτῶν γινώσκοιτε, ὅσα καὶ αὐτοὶ περὶ σφῶν αὐτῶν ἔγνωσαν· ὁπόσοι δὲ πιστεύσαντες μηδὲν ἀδικεῖν ὑπέμειναν, δίκαιοί ἐστε καὶ ὑμεῖς περὶ τούτων τοιαύτην ἔχειν τὴν γνώμην, οἵαν περ καὶ αὐτοὶ περὶ αὑτῶν ἔσχον, καὶ μὴ καταγιγνώσκειν ἀδικεῖν.

§ 2. Αὐτίκα ἐγώ,[2] πολλῶν μοι ἀπαγγελλόντων, ὅτι λέγοιεν οἱ ἐχθροί, ὡς ἄρα ἐγὼ οὔτ' ἂν ὑπομείναιμι, οἰχήσομαί τε φεύγων, τί γὰρ ἂν καὶ βουλόμενος Ἀνδοκίδης ἀγῶνα τοσοῦτον ὑπομείνοι, ἐν ᾧ ἔξεστι μὲν ἀπελθόντι ἐντεῦθεν, ἔχειν πάντα τὰ ἐπιτήδεια, ἔστι δὲ πλεύσαντι εἰς Κύπρον, ὅθεν περ ἥκει, γῆ πολλὴ καὶ ἀγαθὴ διδομένη καὶ δωρεὰ ὑπάρχουσα.[3] Οὗτος ἄρα βουλήσεται περὶ τοῦ σώματος τοῦ ἑαυτοῦ κινδυνεῦσαι; εἰς τί ἀποβλέψας; οὐχ ὁρᾷ τὴν πόλιν ἡμῶν ὡς διάκειται;[4] Ἐγὼ δέ, ὦ ἄνδρες, πολὺ τὴν ἐναντίαν τούτοις γνώμην ἔχω. Ἄλλοθί τε γὰρ[5] ὤν, πάντα τὰ ἀγαθὰ ἔχειν, στερόμενος τῆς πατρίδος, οὐκ ἂν δεξαίμην, τῆς πόλεως οὕτω διακειμένης, ὥσπερ αὐτοὶ οἱ ἐχθροὶ λέγουσι· πολὺ δ' ἂν αὐτῆς μᾶλλον ἐγὼ πολίτης δεξαίμην εἶναι, ἢ ἑτέρων πόλεων, αἵ ἴσως πάνυ μοι δοκοῦσιν ἐν τῷ παρόντι εὐτυχεῖν· ἅπερ γινώσκων ἐπέτρεψα διαγνῶναι ὑμῖν περὶ τοῦ σώματος τοῦ ἐμαυτοῦ.

§ 3. Αἰτοῦμαι οὖν ὑμᾶς, ὦ ἄνδρες, εὔνοιαν πλείω παρασχέσθαι ἐμοὶ τῷ ἀπολογουμένῳ, ἢ τοῖς κατηγόροις· εἰδότας, ὅτι κἂν ἐξ ἴσου ἀκροᾶσθαι, ἀνάγκη τὸν ἀπολογούμενον ἔλαττον ἔχειν. Οἱ μὲν γὰρ ἐκ πολλοῦ χρόνου ἐπιβουλεύσαντες καὶ συνθέντες, αὐτοὶ ἄνευ κινδύνων ὄντες, τὴν κατηγορίαν ἐποιήσαντο· ἐγὼ δὲ μετὰ δέους καὶ κινδύνου, καὶ διαβολῆς τῆς μεγίστης, τὴν ἀπολογίαν ποιοῦμαι. Εἰκὸς οὖν ὑμᾶς ἐστίν, εὔνοιαν πλείω παρασχέσθαι ἐμοί, ἢ τοῖς κατηγόροις.

---

§ 2. 2. Αὐτίκα ἐγώ.) Τὸ Αὐτίκα λαμβάνεται, ὥσπερ καὶ τὸ Ἀμέλει, καὶ Ἀμέλει τοι, κατὰ τὸ ἐν συνηθείᾳ Παραδείγματος χάριν. — 3 Ὑπάρχουσα.) Αὐτῷ δηλαδή· δοκεῖ γάρ, ὁπότε ἐμπορευόμενος ἔφερε πολλάκις τὰ ἐπιτήδεια εἰς τὸν τῶν Ἀθηναίων στρατόν, τοὺς Ἀθηναίους περὶ Κύπρον διατρίβοντας, Κίμωνος στρατηγοῦντος, δωρήσασθαι αὐτῷ γῆν ἐκεῖ. — 4. Ὡς διάκειται.) Κακῶς γὰρ διέκειντο κατ' ἐκείνους τοὺς καιροὺς αἱ Ἀθῆναι, διά τε τοὺς πολέμους, καὶ διὰ τὸ συκοφαντεῖσθαι πρὸς ἀλλήλους μετὰ τὴν τῶν τριάκοντα τυράννων κατάλυσιν. — 5. Ἄλλοθί τε γάρ.) Οἷον· οὐκ ἂν δεξαίμην πάντα τὰ ἀγαθὰ ἔχειν ἄλλοθι ὤν, καὶ στερούμενος τῆς πατρίδος, ἐν ᾧ ἡ πόλις οὕτω διάκειται, ὡς αὐτοὶ οἱ ἐχθροὶ λέγουσιν, ἀλλὰ πολὺ μᾶλλον δεξαίμην εἶναι πολίτης αὐτῆς, ἤ.

§ 4. Ἔτι δὲ καὶ τόδε ἐνθυμητέον, ὅτι πολλοὶ ἤδη πολλὰ καὶ δεινὰ κατηγορήσαντες, παραχρῆμα ἐξηλέγχθησαν ψευδόμενοι οὕτω φανερῶς, ὥστε ὑμᾶς πολὺ ἂν ἥδιον δίκην λαβεῖν παρὰ τῶν κατηγόρων,[2] ἢ παρὰ τῶν κατηγορουμένων· οἱ δ᾽ αὖ μαρτυρήσαντες τὰ ψευδῆ, ἀδίκως ἀνθρώπους ἀπολέσαντες, ἑάλωσαν παρ᾽ ὑμῖν ψευδομαρτυριῶν,[3] ἡνίκ᾽ οὐδὲν ἦν πλέον[4] τοῖς πεπονθόσιν. Ὁπότ᾽ οὖν ἤδη πολλὰ τοιαῦτα γεγένηνται, εἰκὸς ὑμᾶς ἐστι μήπω τοὺς τῶν κατηγόρων λόγους πιστοὺς ἡγεῖσθαι. Εἰ μὲν γὰρ δεινὰ κατηγόρηται, ἢ μή, οἷόν τε γνῶναι ἐκ τῶν τοῦ κατηγόρου λόγων· εἰ δ᾽ ἀληθῆ ταῦτά ἐστιν, ἢ ψευδῆ, οὐχ οἷόν τε ὑμᾶς πρότερον εἰδέναι, πρὶν ἂν καὶ ἐμοῦ ἀκούσητε ἀπολογουμένου.

§ 5. Σκοπῶ μὲν οὖν ἔγωγε, ὦ ἄνδρες, πόθεν χρὴ ἄρξασθαι τῆς ἀπολογίας· πότερον ἐκ τῶν τελευταίων, ὡς παρανόμως με ἐνέδειξαν,[2] ἢ περὶ τοῦ ψηφίσματος τοῦ Ἰσοτιμίδου,[3] ὡς ἄκυρόν ἐστιν, ἢ περὶ τῶν νόμων καὶ τῶν ὅρκων τῶν γεγενημένων· εἴτε καὶ ἐξ ἀρχῆς ὑμᾶς διδάξω τὰ γεγενημένα. Ὃ δέ με ποιεῖ μάλιστ᾽ ἀπορεῖν, ἐγὼ ὑμῖν ἐρῶ· ὅτι οὐ πάντες ἴσως ἐπὶ πᾶσι τοῖς κατηγορουμένοις ὁμοίως ὀργίζεσθε, ἀλλ᾽ ἕκαστός τις ὑμῶν ἔχει πρὸς ὃ βούλοιτο ἄν με πρῶτον ἀπολογεῖσθαι· ἅμα δὲ περὶ πάντων εἰπεῖν ἀδύνατον. Κράτιστον οὖν μοι εἶναι δοκεῖ ἐξ ἀρχῆς ὑμᾶς διδάσκειν πάντα τὰ γενόμενα, καὶ παραλιπεῖν μηδέν. Ἂν γὰρ ὀρθῶς μάθητε τὰ πραχθέντα, ῥᾳδίως γνώσεσθ᾽, ἅ μου κατεψεύσαντο οἱ κατήγοροι. Τὰ μὲν οὖν δίκαια γινώσκειν ὑμᾶς ἡγοῦμαι, καὶ λόγους παρεσκευάσθαι,[4] οἷς περ ἐγὼ πιστεύσας ὑπέμεινα. Ὁρῶ δ᾽ ὑμᾶς καὶ ἐν τοῖς δημοσίοις καὶ ἐν τοῖς ἰδίοις περὶ πλείστου τοῦτο ποιουμένους ψηφίζεσθαι κατὰ τοὺς ὅρκους· ὅπερ καὶ συνέχει μόνον τὴν πόλιν, ἀκόντων τῶν οὐ βουλομένων. Ταῦτα οὕτως ἔχει. Τάδε δὲ ὑμῶν δέομαι, μετ᾽ εὐνοίας μου τὴν ἀκρόασιν τῆς ἀπολογίας ποιήσασθαι· καὶ μήτ᾽ ἐμοὶ ἀντιδίκους καταστῆναι, μήτε ὑπονοεῖν τὰ λεγόμενα, μήτε ῥήματα θηρεύειν· ἀκροασαμένους δὲ διὰ τέλους τῆς ἀπολογίας, τότε ἤδη ψηφίζεσθαι τοῦθ᾽, ὅ,τι ἂν ὑμῖν αὐτοῖς ἄριστον καὶ

---

§ 4. 2. Δίκην λαβεῖν παρὰ τῶν κατηγόρων.) Κολάσαι δηλονότι τοὺς κατηγόρους μᾶλλον ἢ τοὺς κατηγορουμένους. — 3 Ψευδομαρτυριῶν.) Ὡς ψευδῆ μαρτυρήσαντας δηλαδή. — 4. Οὐδὲν ἦν πλέον.) Οὐδὲν ἦν ὄφελος τοῖς πεπονθόσι.

§ 5. 2. Ἐνέδειξαν.) Ἔνδειξις εἶδος δίκης δημοσίας, ὑφ᾽ ἣν τοὺς ἐκ τῶν νόμων εἰργομένους τινῶν ἢ πράξεων, εἰ μὴ ἀπέχοιντο αὐτῶν, ὑπῆγον· ὡς φησὶ Βαρῖνος· φησὶν οὖν καὶ Ἀνδοκίδης ὅτι οἱ κατήγοροι ἐνέδειξαν αὐτὸν παρανόμως· τουτέστιν ὑπῆγον αὐτὸν παρανόμως εἰς τὴν τῆς ἐνδείξεως δίκην· ὡς μὴ ἀπεχόμενον, ὧν ὁ νόμος εἴργει αὐτόν. — 3. Ψηφίσματος τοῦ Ἰσοτιμίδου.) Ἰσοτιμίδης γάρ, ἐψηφίσατο· ὅπερ ἐστί, ψήφισμα ἔγραψεν· ὅταν γάρ τις περί τινος τὴν ἑαυτοῦ γνώμην ἔγραφε, τοῦτο ψήφισμα ἐλέγετο. — 4. Παρασκευάσθαι.) Καὶ ὅτι δηλαδὴ ἕτοιμοί ἐστε ἀποδέχεσθαι λόγους.

εὐορκότατον νομίζητε εἶναι. Ὥσπερ δὲ καὶ προεῖπον ὑμῖν, ὦ ἄνδρες, ἐξ ἀρχῆς περὶ πάντων ποιήσομαι τὴν ἀπολογίαν· πρῶτον μὲν περὶ αὐτῆς τῆς αἰτίας, ὅθεν περ ἡ ἔνδειξις ἐγένετο, διόπερ εἰς τὸν ἀγῶνα τόνδε κατέστην περὶ τῶν μυστηρίων· ὡς οὔτ' ἐμοὶ ἠσέβηται οὐδὲν, οὔτε μεμήνυται, οὐθ' ὡμολόγηται· οὔτ' οἶδα τοὺς μηνύσαντας ὑμῖν περὶ αὐτῶν, οὔτ' εἰ ψευδῆ, οὔτ' ἀληθῆ ἐμήνυσαν· ταῦθ' ὑμᾶς διδάξω.

§ 6. Ἦν μὲν γὰρ ἐκκλησία τοῖς στρατηγοῖς τοῖς εἰς Σικελίαν,[2] Νικίᾳ καὶ Λαμάχῳ καὶ Ἀλκιβιάδῃ, καὶ τριήρης ἡ στρατηγὶς ἤδη ἐξώρμει ἡ Λαμάχου· ἀναστὰς δὲ Πυθόνικος ἐν τῷ δήμῳ εἶπεν· «Ὦ Ἀθηναῖοι, ὑμεῖς μὲν στρατιὰν ἐκπέμπετε, καὶ παρα- » σκευὴν τοσαύτην, καὶ κίνδυνον αἱρεῖσθαι μέλλετε· Ἀλκιβιάδην » δὲ τὸν στρατηγὸν ἀποδείξω ὑμῖν τὰ μυστήρια ποιοῦντα ἐν οἰκίᾳ » μεθ' ἑτέρων· καὶ ἐὰν ψηφίσησθε ἄδειαν,[3] ὡς ἐγὼ κελεύω, θε- » ράπων ὑμῖν ἑνὸς τῶν ἐνθάδε ἀνδρῶν ἀμύητος ὢν ἐρεῖ τὰ μυ- » στήρια. Εἰδὲ μὴ,[4] χρῆσθε ἐμοὶ ὅ,τι ἂν ὑμῖν δοκῇ, ἐὰν μὴ τἀ- » ληθῆ λέγω.» Ἀντιλέγοντος δὲ Ἀλκιβιάδου πολλὰ, καὶ ἐξάρνου ὄντος, ἔδοξε τοῖς πρυτάνεσι τοὺς μὲν ἀμυήτους μεταστήσασθαι, αὐτοὺς δ' ἰέναι ἐπὶ τὸ μειράκιον, ὃ ὁ Πυθόνικος ἐκέλευε.[5] Καὶ ᾤχοντο· καὶ ἤγαγον θεράποντα Ἀλκιβιάδου Πολέμαρχον, Ἀνδρόμαχος αὐτῷ ὄνομα ἦν. Ἐπεὶ δὲ ἐψηφίσαντο αὐτῷ τὴν ἄδειαν, ἔλεγεν, ὅτι ἐν τῇ οἰκίᾳ τῇ Πολιτίωνος γίγνοιτο μυστήρια. Ἀλκιβιάδην μὲν οὖν καὶ Νικιάδην καὶ Μέλιτον, τούτους μὲν αὐτοὺς εἶναι τοὺς ποιοῦντας· συμπαρεῖναι δὲ καὶ ὁρᾷν τὰ γινόμενα καὶ ἄλλους· παρεῖναι δὲ καὶ δούλους, ἑαυτόν τε καὶ τὸν ἀδελφὸν, καὶ Ἱκέσιον τὸν αὐλητὴν, καὶ τὸν Μελίτου δοῦλον. Πρῶτος μὲν οὖν ἐμήνυσε, καὶ ἐπέγραψε τούτους· ὧν Πολύστρατος μὲν συνελήφθη καὶ ἀπέθανεν· οἱ δὲ ἄλλοι φεύγοντες ᾤχοντο, καὶ αὐτῶν ὑμεῖς θάνατον κατέγνωτε· καί μοι λάβε καὶ ἀνάγνωθι αὐτῶν τὰ ὀνόματα. Ὀ ν ό μ α τ α. «Τοὺς δε Ἀνδρόμαχος ἐμήνυσεν, Ἀλκιβιά- » δην, Νικιάδην, Μέλιτον, Ἀρχεβιάδην, Ἄρχιππον, Διογένην, Πο- » λύστρατον, Ἀριστομένην, Ἰωνίαν, Παναίτιον.» Πρώτη μὲν, ὦ ἄνδρες, μήνυσις ἐγένετο αὕτη ὑπὸ Ἀνδρομάχου κατὰ τούτων τῶν ἀνδρῶν. Καί μοι κάλει Διόγνητον. «Ἦσθα ζητητὴς, ὦ Διόγνητε, » ὅτε Πυθόνικος εἰσήγγειλεν ἐν τῷ δήμῳ περὶ Ἀλκιβιάδου; Ἦν. » Οἶσθα οὖν μηνύσαντα Ἀνδρόμαχον τὰ ἐν τῇ οἰκίᾳ τοῦ Πολιτίωνος

---

§ 6. 2. Τοῖς εἰς Σικελίαν.) Μέλλουσιν πλεῖν. — 3. Ἄδειαν.) Ἐνταῦθα ἐλλείπει, Τῷ λέξοντι, ἢ τῷ καταμαρτυρήσοντι, ἢ τῷ προαχθησομένῳ ὑπ' ἐμοῦ. — 4. Εἰδὲ μή.) Ἐλλείπει, Ἐμεῖ ὑμῖν ὁ θεράπων τὰ μυστήρια, καὶ οὕτως ἐγὼ φανοῦμαι εἰρηκὼς τὰ ψευδῆ. — 5. Ἐκέλευε.) Ἐξετάζειν δηλαδὴ, ἢ βασανίζειν.

» γενόμενα; Οἶδα. Τὰ ὀνόματα οὖν τῶν ἀνδρῶν ἐστὶ ταῦτα, » καθ' ὧν ἐκεῖνος ἐμήνυσεν; Ἔστι ταῦτα. »

§ 7. Δευτέρα τοίνυν μήνυσις ἐγένετο. Τεῦκρος ἦν ἐνθάδε μέτοικος, ὃς ᾤχετο Μεγαράδε ὑπεξελθών. Ἐκεῖθεν δὲ ἐπαγγέλλετο τῇ βουλῇ, εἰ οἱ ἄδειαν δοῖεν[2] μηνύσειν περὶ τῶν μυστηρίων, συνεργὸς ὤν, καὶ τοὺς ἄλλους τοὺς ποιοῦντας μεθ' ἑαυτοῦ, καὶ περὶ τῶν Ἑρμῶν τῆς περικοπῆς ἃ ᾔδει. Ψηφισαμένης δὲ τῆς βουλῆς (ἦν γὰρ αὐτοκράτωρ) ᾤχοντο ἐπ' αὐτὸν Μεγαράδε, καὶ κομισθεὶς ἄδειαν εὑρόμενος, ἀπογράφει τοὺς μεθ' ἑαυτοῦ. Καὶ οὗτοι κατὰ τὴν Τεύκρου μήνυσιν ᾤχοντο φεύγοντες. Καί μοι λάβε καὶ ἀνάγνωθι τὰ ὀνόματα αὐτῶν. Ὀνόματα. « Τοὺς δὲ Τεῦκρος ἐμή- » νυσε, Φαῖδρον, Γνηφωίνδην, Ἰσώνομον, Ἡφαιστόδωρον, Κηφι- » σόδωρον, ἑαυτὸν, Διόγνητον, Σμινδυρίδην, Φιλοκράτην, Ἀντι- » φῶντα, Τίσαρχον, Πανταχλέα ». Μέμνησθε δέ, ὦ ἄνδρες, ὅτι καὶ ταῦθ' ὑμῖν προσομολογεῖται ἅπαντα.

§ 8. Τρίτη μήνυσις ἐγένετο. Ἡ γυνὴ Ἀλκμαιωνίδου, γενομένη δὲ καὶ Δάμωνος· Ἀγαρίστη ὄνομα αὐτῇ. Αὕτη ἐμήνυσεν, ἐν τῇ οἰκίᾳ τῇ Χαρμίδου τῇ παρὰ τὸν Ὀλύμπιον μυστήρια ποιεῖν Ἀλκιβιάδην καὶ Ἀξίοχον καὶ Ἀδείμαντον· καὶ ἔφυγον οὗτοι πάντες ἐπὶ ταύτῃ τῇ μηνύσει. Ἔτι μήνυσις ἐγένετο μία. Λυδὸς ὁ Φερεκλέους τοῦ Θημακέως ἐμήνυσε μυστήρια γίνεσθαι ἐν τῇ οἰκίᾳ τοῦ Φερεκλέους τοῦ δεσπότου τοῦ ἑαυτοῦ, ἐν Θημακῷ· καὶ ἀπογράφει τούς τε ἄλλους, καὶ τὸν πατέρα ἔφη τὸν ἐμὸν παρεῖναι μέν, καθεύδειν δὲ ἐγκεκαλυμμένον· Σπεύσιππος δὲ βουλεύων παραδίδωσιν αὐτοὺς τῷ δικαστηρίῳ· κἄπειτα ὁ πατὴρ καταστήσας ἐγγυητάς, ἐγράψατο τὸν Σπεύσιππον παρανόμων γραφήν·[2] καὶ ἠγωνίσατο ἐν ἑξακισχιλίοις Ἀθηναίων, καὶ μετέλαβε δικαστῶν τοσούτων οὐδὲ διακοσίας ψήφους ὁ Σπεύσιππος. Ὁ δὲ πείσας καὶ δεόμενος μεῖναι τὸν πατέρα, ἐγὼ ἦν μάλιστα, εἶτα δὲ καὶ οἱ ἄλλοι συγγενεῖς. Καί μοι κάλει Καλλίαν καὶ Στέφανον, κάλει δὲ καὶ Φίλιππον καὶ Ἀλέξιππον· οὗτοι γάρ εἰσιν Ἀκουμενοῦ καὶ Αὐτοκράτορος συγγενεῖς, οἳ ἔφευγον ἐπὶ τῇ Λυδοῦ μηνύσει. Τοῦ μὲν[3] ἀδελφιδοῦς ἐστιν Αὐτοκράτωρ, τοῦ δὲ[4] θεῖος Ἀκουμενός· οἷς προσήκει μισεῖν μὲν τὸν ἐξελάσαντα ἐκείνους, εἰδέναι δὲ μάλιστα,

---

§ 7. 2. Εἰ οἱ ἄδειαν δοῖεν.) Τὸ Οἱ ἀντωνυμία πρωτότυπος τριτοπροσωποῦσα ἐν πτώσει δοτικῇ ἀντὶ τοῦ Αὐτῷ· περὶ ἧς φασὶ ἐγκλίνεσθαι μὲν ἐπὶ αὐτοπαθείας, περισπᾶσθαι δὲ ἐπὶ ἑτεροπαθείας.

§ 8. 2. Ἐγράψατο . . . παρανόμων γραφήν.) Γραφὴ παρανόμοις λέγεται ἡ γινομένη περὶ νόμων ἢ ψηφισμάτων οὐκ ἐπιτηδείων εἰσκομίζεσθαι δοκούντων. — 3. Τοῦ μέν.) Καλλία. — 4. Τοῦ δέ.)

δι' ὅντινα ἔφευγον. Βλέπετε[5] εἰς τούτους καὶ μαρτυρεῖτε, εἰ ἀληθῆ λέγω. Μάρτυρες.

§ 9. Τὰ μὲν γινόμενα ἠκούσατε, ὦ ἄνδρες, καὶ ὑμῖν οἱ μάρτυρες μεμαρτυρήκασιν· ἃ δὲ οἱ κατήγοροι ἐτόλμησαν εἰπεῖν, ἀναμνήσθητε. Οὐ γὰρ καὶ[2] δίκαιον ἀπολογεῖσθαι, ἀναμιμνήσκοντας τοὺς τῶν κατηγόρων λόγους ἐξελέγχειν. Ἔλεξαν γὰρ ὡς ἐγὼ μηνύσαιμι περὶ τῶν μυστηρίων, ἀπογράψαιμί τε τὸν πατέρα τὸν ἐμαυτοῦ παρόντα, καὶ γενοίμην μηνυτὴς κατὰ τοῦ πατρὸς τοῦ ἐμαυτοῦ· λόγον, οἶμαι, πάντων δεινότατόν τε καὶ ἀνοσιώτατον λέγοντες. Ὁ μὲν γὰρ ἀπογράψας αὐτὸν, Λυδὸς ἦν ὁ Φερεκλέους· ὁ δὲ πείσας ὑπομεῖναι καὶ μὴ οἴχεσθαι φεύγοντα, ἐγώ·[3] πολλὰ ἱκετεύσας, καὶ καταλαμβανόμενος[4] τῶν γονάτων. Καίτοι τί ἐβουλόμην, εἰ ἐμήνυσα μὲν κατὰ τοῦ πατρὸς, ὡς οὗτοι φασιν, ἱκέτευον δὲ τὸν πατέρα μείναντά τι παθεῖν ὑπ' ἐμοῦ; Καὶ ὁ πατὴρ ἐπείσθη ἀγῶνα τοιοῦτον ἀγωνίσασθαι, ἐν ᾧ δυοῖν τοῖν μεγίστοιν κακοῖν οὐκ ἦν αὐτῷ ἁμαρτεῖν· ἢ γὰρ ἐμοῦ δόξαντος τὰ ὄντα μηνῦσαι κατ' ἐκείνου, ὑπ' ἐμοῦ ἀποθανεῖν· ἢ αὐτῷ σωθέντι, ἐμὲ ἀποκτεῖναι. Ὁ γὰρ νόμος οὕτως εἶχεν· εἰ μὲν τἀληθῆ μηνύσειέ τις, εἶναι τὴν ἄδειαν· εἰ δὲ τὰ ψευδῆ, τεθνάναι. Καὶ μὲν δὴ τοῦτό γε ἐπίστασθε πάντες, ὅτι ἐσώθην καὶ ἐγὼ καὶ ὁ ἐμὸς πατήρ· οἷόν τε δ' οὐκ ἦν, εἴπερ ἐγὼ μηνυτὴς ἐγενόμην περὶ τοῦ πατρὸς, ἀλλ' ἢ ἐμὲ, ἢ ἐκεῖνον, ἔδει ἀποθανεῖν.

§ 10. Φέρε δὴ τοίνυν, εἰ καὶ ὁ πατὴρ ἐβούλετο ὑπομένειν, τοὺς φίλους ἂν οἴεσθε ἢ ἐπιτρέπειν αὐτῷ μένειν, ἢ ἐγγυήσασθαι; ἀλλ' οὐκ ἂν παραιτεῖσθαι καὶ δεῖσθαι ἀπιέναι, ὅπου ἂν ἔμελλεν αὐτὸς σωθήσεσθαι, ἐμέ τε οὐκ ἀπολεῖν; Ἀλλὰ γὰρ καὶ ὅτε Σπεύσιππον ἐδίωκεν ὁ πατὴρ τῶν παρανόμων,[2] αὐτὰ ταῦτα ἔλεγεν,[3] ὡς οὐδεπώποτε ἔλθοι εἰς Θημακὸν, ὡς Φερεκλέα·[4] ἐκέλευε δὲ βασανίσαι τὰ ἀνδράποδα· καὶ μὴ τοὺς μὲν παραδιδόντας[5] μὴ ἐθέλειν ἐλέγχειν, τοὺς δὲ μὴ θέλοντας ἀναγκάζειν. Ταῦτα δὲ λέγοντος τοῦ πατρὸς τοῦ ἐμοῦ, ὡς ἅπαντες ἴστε, τί ὑπελείπετο τῷ Σπευσίππῳ

Στεφάνου. — 5. Βλέπετε.) Ὦ Καλλία, καὶ Στέφανε δηλ. βλέπετε εἰς τούτους τοὺς κριτάς.

§ 9. 2. Οὐ γὰρ, καί.) Ἀντὶ τοῦ Οὐ γὰρ ἀλλὰ καὶ δίκαιόν ἐστιν ἀπολογεῖσθαι, καὶ ἀναμιμνήσκειν τοὺς λόγους τῶν κατηγόρων ἕνεκα τοῦ ἐξελέγχειν αὐτούς. — 3. Ἐγώ.) Ἦν δηλ. — 4. Καταλαμβανόμενος.) Ἐνταῦθα ἡ Κατὰ οὐδὲν πλέον τοῦ ἁπλοῦ σημαίνει, ἢ ἐπίτασιν προστίθησιν εἰς τὴν τοῦ ῥήματος δύναμιν.

§ 10. 2. Τῶν παρανόμων.) Ὅτε κατηγόρει αὐτοῦ παρανόμως εἰσαγγείλαντος. — 3. Ἔλεγεν.) Ὁ πατὴρ δηλ. — 4. Ὡς Φερεκλέα.) Τὸ Ὡς ἀντὶ τῆς Πρὸς πρὸς ἔμψυχον κατ' αἰτιατικὴν φερόμενον. — 5. Καὶ μὴ τοὺς μὲν παραδιδόντας.) Ἔθος ἦν τοῖς κριταῖς, ὁπότε τὰ ἀνδράποδα οἱ δεσπόται παρεδίδοσαν εἰς βάσανα μὴ ἐθέλειν ἐλέγχειν, ὁπότε δὲ οὐκ ἤθελον παραδιδόναι, ἀναγκάζειν παραδιδόναι· καὶ τοῦτο ἐλέγχει ὁ ῥήτωρ.

λέγειν, εἰ ἀληθῆ οἵδε λέγουσιν; ἀλλ' ἤ,[6] «Ὦ ἄνθρωπε, τί βούλει » περὶ θεραπόντων λέγειν; οὐχ υἱὸς οὑτοσὶ μεμήνυκε κατὰ σοῦ; καὶ » φησί σε παρεῖναι ἐν Θημακῷ; Ἔλεγχε σὺ τὸν πατέρα. Ἦ οὐκ ἔστι » σοι ἄδεια. Ταυτὶ ἔλεγεν ἂν ὁ Σπεύσιππος, ὦ ἄνδρες, ἢ οὔ;« Ἐγὼ μέν, οἶμαι. Εἰ τοίνυν ἀνέβην ἐπὶ δικαστήριον, ἢ λόγος τις περὶ ἐμοῦ ἐγένετο, ἢ μήνυσίς τις ὡς ἐμή ἐστιν, ἢ ἀπογραφή, μὴ ὅτι[7] ἐμὴ καθ' ἑτέρου, ἀλλ' εἰ καὶ ἄλλου τινὸς κατ' ἐμοῦ, ἐλεγχέτω με ὁ βουλόμενος ἐνταῦθα ἀναβάς. Ἀλλὰ γὰρ λόγον ἀνοσιώτατον καὶ ἀπιστότατον οὐδένα πώποτ' ἐγὼ εἰπόντας οἶδα,[8] οἳ τοῦτο μόνον ἡγήσαντο δεῖν, τολμῆσαι κατηγορῆσαι· εἰ δὲ ἐλεγχθήσονται ψευδόμενοι, οὐδὲν αὐτοῖς ἐμέλησεν. Ὥσπερ οὖν, εἰ ἀληθῆ ἦν ταῦτα, ἅ με κατηγόρησαν, ἐμοὶ ἂν ὠργίζεσθε, καὶ ἠξιοῦτε δίκην τὴν μεγίστην ἐπιτιθέναι· οὕτως ἀξιῶ ὑμᾶς, γινώσκοντας, ὅτι ψεύδονται, πονηροὺς τε αὐτοὺς νομίζειν, χρῆσθαί τε τεκμηρίῳ, ὅτι, εἰ τὰ δεινότατα τῶν κατηγορηθέντων περιφανῶς ἐλέγχονται ψευδόμενοι, ἦπου τἄλλα πολλῷ φαυλότερα[9] ῥᾳδίως ὑμῖν ἀποδείξω ψευδομένους αὐτούς.

§ 11. Αἱ μὲν μηνύσεις ὧδε περὶ τῶν μυστηρίων αὗται[2] ἐγένοντο τέτταρες· οἱ δὲ ἔφευγον καθ' ἑκάστην μήνυσιν, ἀνέγνων ἡμῖν τὰ ὀνόματα αὐτῶν, καὶ οἱ μάρτυρες μεμαρτυρήκασιν. Ἔτι δὲ πρὸς τούτοις ἐγὼ πιστότητος ὑμῶν ἕνεκα, ὦ ἄνδρες, τάδε ποιήσω· τῶν γὰρ φευγόντων ἐν τοῖς μυστηρίοις οἱ μέν τινες ἀπέθανον φεύγοντες, οἱ δ' ἥκουσι, καὶ εἰσὶν ἐνθάδε, καὶ πάρεισιν ὑπ' ἐμοῦ κεκλημένοι. Ἐγὼ οὖν ἐν τῷ ἐμῷ λόγῳ δίδωμι τῷ βουλομένῳ ἐμὲ ἐξελέγξαι, ὅτι ἔφυγέ τις αὐτῶν δι' ἐμέ, ἢ ἐμήνυσα κατ' αὐτοῦ. Ἦ οὐχ ἕκαστοι ἔφυγον κατὰ τὰς μηνύσεις ταύτας, ἃς ἐγὼ ὑμῖν ἀπέδειξα. Καὶ ἐάν τις ἐξελέγξῃ με, ὅτι ψεύδομαι, χρήσασθέ μοι ὅ,τι βούλεσθαι· καὶ σιωπῶ, καὶ παραχωρῶ, εἴ τις ἀναβαίνειν[3] βούληται.

§ 12. Φέρε δή, ὦ ἄνδρες, μετὰ ταῦτα τί ἐγένετο; Ἐπειδὴ αἱ μηνύσεις ἐγένοντο, περὶ τῶν μηνύτρων (ἦσαν γὰρ κατὰ τὸ Κλεωνύμου ψήφισμα χίλιαι δραχμαί· κατὰ δὲ τοῦ Πεισάνδρου, μύριαι) περὶ δὲ τούτων[2] ἠμφισβήτουν οὗτοί τε οἱ μηνύσαντες, καὶ

— 6. Ἀλλ' ἤ) Οὐδὲν ὑπελείπετο ἄλλο λέγειν ἢ τοῦτο· ὦ ἄνθρωπε. — 7. Μὴ ὅτι.) Ἀντὶ Μὴ μόνον ἐμὴ ἀπογραφὴ καθ' ἑταίρου γενομένη, ἀλλ' εἰ καὶ ἄλλου ἀπογραφὴ κατ' ἐμοῦ γενομένη. — 8. Εἰπόντας οἶδα.) Οὐκ οἶδα ἔγωγε ἀνθρώπους οἵτινες εἶπον οὐδένα λόγον ἀνοσιώτατον καὶ ἀπιστότατον. — 9. Φαυλότερα.) Ὑπακούεται τὸ Ὄντα.

§ 11. 2. Αὗται.) Αἱ εἰρημέναι· πρῶτον μὲν ἡ παρὰ Πυθονίκου, δευτέρα δὲ ἡ παρὰ Τεύκρου, τρίτη ἡ παρὰ τῆς Ἀγαρίστης, τετάρτη ἡ παρὰ Λυδοῦ. — 3. Εἴ τις ἀναβαίνειν) Εἰς τὸν ἄμβωνα δηλαδὴ κατηγορήσων ἐμοῦ· ἢ γοῦν εἰς τὸ κριτήριον, οὕτω γὰρ καὶ τοὺς μάρτυρας καλοῦντες οἱ ῥήτορες, ἀνάβητε, φασί, μάρτυρες.

§ 12. 2. Περὶ δὲ τούτων.) Τῶν μηνύτρων δηλαδή· ὁ δέ τοι Δὲ ἀντὶ τοῦ Δή· τὰ γὰρ μήνυτρα φησὶ κατὰ μὲν τὰ Κλεωνύμου ψήφισμα ἦταν χίλιαι δραχ-

Πυθόνικος, φάσκων πρῶτος εἰσαγγεῖλαι· καὶ Ἀνδροκλῆς, ὑπὲρ τῆς βουλῆς. Ἔδοξεν οὖν τῷ δήμῳ[3] ἐν τῷ τῶν θεσμοθετῶν δικαστηρίῳ τοὺς μεμυημένους, ἀκούσαντας τὰς μηνύσεις, ἃς ἕκαστος ἐμήνυσε, διαδικάσαι· καὶ ἐψηφίσαντο[4] πρώτῳ μὲν Ἀνδρομάχῳ, δευτέρῳ δὲ Τεύκρῳ, καὶ ἔλαβον Παναθηναίων τῷ ἀγῶνι, Ἀνδρόμαχος μὲν, μυρίας δραχμάς· Τεῦκρος δὲ, χιλίας. Καί μοι κάλει τοὺς τούτων μάρτυρας. Μάρτυρες.

§ 13. Περὶ μὲν τῶν μυστηρίων, ὦ ἄνδρες, ὧν εἵνεκα ἡ ἔνδειξις ἐγένετο, καὶ περὶ ὧν ὑμεῖς οἱ μεμυημένοι εἰσεληλύθατε, ἀποδέδεικταί μοι, ὡς οὔτε ἠσέβηκα, οὔτε μεμήνυκα περὶ οὐδενὸς, οὔτε ὡμολόγηκα περὶ αὐτῶν· οὐδὲ ἔστι μοι ἁμάρτημα περὶ τὼ θεὼ,[2] οὔτε μεῖζον, οὔτε ἔλαττον, οὐδὲ ἕν. Ὅπερ ἐμοὶ περὶ[3] πλείστου ἐστὶν ὑμᾶς πεῖσαι. Καὶ γὰρ οἱ λόγοι τῶν κατηγόρων ταῦτα τὰ δεινὰ καὶ φρικώδη ἀνωρθίαζον, καὶ λόγους εἶπον, ὡς πρότερον[4] ἑτέρων ἁμαρτόντων καὶ ἀσεβησάντων περὶ τὼ θεὼ, οἷα ἕκαστος αὐτῶν ἔπαθε καὶ ἐτιμωρήθη. Τούτων οὖν ἐμοὶ τῶν λόγων ἢ τῶν ἔργων τί προσήκει; Ἐγὼ γὰρ πολὺ μᾶλλον ἐκείνων κατηγορῶ, καὶ δι' αὐτὸ τοῦτο φημὶ δεῖν ἐκείνους μὲν ἀπολέσθαι, ὅτι ἠσέβησαν· ἐμὲ δὲ σώζεσθαι, ὅτι οὐδὲν ἡμάρτηκα. Ἡ δεινὸν[5] εἴη, εἰ ἐμοὶ ὀργίζοισθε ἐπὶ τοῖς ἑτέρων ἁμαρτήμασι, καὶ τὴν εἰς ἐμὲ διαβολὴν, εἰδότες, ὅτι ὑπὸ τῶν ἐχθρῶν τῶν ἐμῶν λέγεται, κρείττω τῆς ἀληθείας[6] ἡγήσεσθε. Δῆλον ὅτι γὰρ τοῖς μὲν ἡμαρτηκόσι τὰ τοιαῦτα ἁμαρτήματα οὐκ ἔστιν ἀπολογία, ὡς οὐκ ἐποίησαν. Ἡ γὰρ βάσανος δεινὴ παρὰ τοῖς εἰδόσιν.[7] Ἐμοὶ δὲ ὁ ἔλεγχος ἥδιστος, ἐν οἷς[8] ὑμῶν οὐδέν με δεῖ δεόμενον οὐδὲ παραιτούμενον σωθῆναι, ἐπὶ τοιαύτῃ αἰτίᾳ, ἀλλ' ἐλέγχοντα[9] τοὺς τῶν κατηγόρων λόγους. Καὶ ὑμᾶς ἀναμιμνήσκω[10] τὰ γεγενημένα, οἵ-

---

μαι, μύριαι δὲ κατὰ τὸ Πεισάνδρου. — 3. Ἔδοξεν οὖν τῷ δήμῳ) Ἡ σύνταξις· Ἔδοξεν οὖν τῷ δήμῳ, διαδικάσαι τοὺς μεμυημένους ἐν τῷ δικαστηρίῳ τῶν θεσμοθετῶν, μετὰ τὸ ἀκοῦσαι τὰς μηνύσεις ἃς ἕκαστος. — 4. Καὶ ἐψηφίσαντο) Ὑπακούεται μηνῦσαι.

§ 13. 2. Περὶ τὼ θεὼ) Τὰ γὰρ μυστήρια ἐν Ἐλευσῖνι ἐγίνετο εἰς τιμὴν Δήμητρος καὶ τῆς θυγατρὸς αὐτῆς Περσεφόνης· τὸ δὲ ἄρθρον ἀρσενικὸν κατ' ἔθος Ἀττικόν· οἱ γὰρ Ἀττικοὶ ἐν τοῖς δυϊκοῖς γένους θηλυκοῦ ἀρσενικὰ προτιθέασιν ἄρθρα, τὼ χεῖρε, τὼ θεὼ λέγοντες, ἀντὶ τὰ χεῖρε, τὰ θεά· τὸ δὲ θεὼ κλίνεται ἡ θεὸς, καὶ τοῦτο Ἀττικὸν ἀντὶ ἡ θεά. — 3. Ὅπερ ἐμοὶ περί.) Τοῦτο δὲ μάλιστα πάντων ἐπιθυμῶ πεῖσαι ὑμᾶς. — 4. Καὶ λόγους εἶπον, ὡς πρότερον.) Καὶ ἔλεγον δηλαδὴ ὅτι, ἐπειδὴ ἕτεροι πρότερον ἥμαρτον καὶ ἠσέβησαν εἰς τὰς θεὰς, οἷα ἕκαστος αὐτῶν τῶν ἀσεβησάντων. — 5. Ἡ δεινόν.) Ἡ ἄλλως δηλονότι, δεινὸν γ' ἂν εἴη, εἰ καὶ τλ. — 6. Κρείττω τῆς ἀληθείας.) Εἰ προτιμήσαιτε δηλονότι τὴν εἰς ἐμὲ γενομένην διαβολὴν τῆς ἀληθείας αὐτῆς, καὶ μάλιστα ἐπειδὴ γινώσκεται ὅτι ὑπὸ τῶν ἐχθρῶν τῶν ἐμῶν γίνεται. — 7. Παρὰ τοῖς εἰδόσιν.) Τὰ μυστήρια δηλ. — 8. Ἐν οἷς) Ἐν πράγματι δηλονότι, ἐν οἷς. — 9. Ἀλλ' ἐλέγχοντα.) Ὑπακούεται ἀπὸ κοινοῦ τὸ Δεῖ σωθῆναι. — 10. Καὶ ὑμᾶς ἀναμιμνήσκω.) Καὶ ἀναμιμνήσκω ὑμᾶς τὰ γεγενημένα ἵνα τιμωρήσητε τὰ δὲ, οἵτινες ὅρκους καὶ τλ. ἐν παρεν-

τινες ὅρκους μεγάλους ὀμόσαντες, οἴσετε τὴν ψῆφον περὶ ἐμοῦ· καὶ ἀρασάμενοι τὰς μεγίστας ἀρὰς, ἡμῖν τε αὐτοῖς καὶ πᾶσι τοῖς ὑμετέροις αὐτῶν, εἰ μὴ ψηφιεῖσθε περὶ ἐμοῦ τὰ δίκαια· πρὸς δὲ τούτοις μεμύησθε καὶ ἑωράκατε ταῖν Θεοῖν τὰ ἱερά· ἵνα τιμωρήσητε μὲν τοὺς ἀσεβοῦντας, σώζητε δὲ τοὺς μηδὲν ἀδικοῦντας. Νομίσατε τοίνυν ἀσέβημα οὐδὲν ἔλαττον εἶναι τοὺς μηδὲν ἠδικηκότας ἀσεβεῖν καταγνῶναι· ἢ τοὺς ἠσεβηκότας μὴ τιμωρεῖσθαι. Ὥστ' ἐγὼ ὑμῖν πολὺ μᾶλλόν τῶν κατηγόρων πρὸς ταῖν Θεοῖν ἐπισκήπτω[11] ὑπέρ τε τῶν ἱερῶν, ἃ ἴδετε, καὶ ὑπὲρ τῶν Ἑλλήνων, οἳ τῆς ἑορτῆς[12] ἕνεκα ἔρχονται δεῦρο· εἰ μέν τι ἠσέβηκα, ἢ ὡμολόγηκα, ἢ ἐμήνυσα κατά τινος ἀνθρώπων, ἢ ἄλλος τις περὶ ἐμοῦ, ἀποκτείνατέ με· οὐ παραιτοῦμαι. Εἰ δὲ οὐδὲν ἡμάρτηταί μοι, καὶ τοῦτο ὑμῖν ἀποδείκνυμι σαφῶς, δέομαι ὑμῶν αὐτὸ φανερὸν τοῖς Ἕλλησι πᾶσι ποιῆσαι, ὡς ἀδίκως εἰς τόνδε τὸν ἀγῶνα κατέστην. Ἐὰν γὰρ μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων καὶ ἀτιμωθῇ ὁ ἐνδείξας ἐμὲ Κηφήσιος ούτοσὶ, οὐκ ἔξεστιν αὐτῷ εἰς τὸ ἱερὸν ταῖν Θεοῖν εἰσιέναι· ἢ ἀποθανεῖται. Εἰ οὖν δοκῶ ὑμῖν ἱκανῶς περὶ τούτων ἀπολογεῖσθαι, δηλώσατέ μοι· ἵνα προθυμώτερον περὶ τῶν ἄλλων ἀπολογῶμαι.

§ 14. Περὶ δὲ τῶν ἀναθημάτων[2] τῆς περικοπῆς, καὶ τῆς μηνύσεως, ὥσπερ καὶ ὑπεσχόμην ὑμῖν, οὕτω καὶ ποιήσω. Ἐξ ἀρχῆς γὰρ ὑμᾶς διδάξω ἅπαντα τὰ γεγενημένα. Ἐπειδὴ Τεῦκρος ἦλθε Μεγαρόθεν ἄδειαν εὑρόμενος, μηνύει περί τε τῶν μυστηρίων, ἃ ᾔδει, καὶ τῶν περικοψάντων τὰ ἀναθήματα· καὶ ἀπογράφει δυοῖν δέοντας εἴκοσιν ἄνδρας. Ἐπεὶ δὲ οὗτοι ἀπεγράφησαν, οἱ μὲν αὐτῶν φεύγοντες ᾤχοντο, οἱ δὲ συλληφθέντες ἀπέθανον, κατὰ τὴν Τεύκρου μήνυσιν. Καί μοι ἀνάγνωθι αὐτῶν τὰ ὀνόματα. Ὀ ν ό μ α τ α. Τεῦκρος ἐπὶ τοῖς Ἑρμαῖς ἐμήνυσεν Εὐκτήμονα, Γλαύκιππον, Εὐρύμαχον, Πολύευκτον, Πλάτωνα, Ἀντίδωρον, Χάριππον, Θεόδωρον, Ἀλκισθένην, Μετέστρατον, Εὐρυξίμαχον, Εὐφίλητον, Εὐρυδάμαντα, Φερεκλέα, Μέλιτον, Τιμάνθην, Ἀρχίδαμον, Τελένικον. Τούτων τοίνυν τῶν ἀνδρῶν οἱ μὲν ἥκουσι, καὶ εἰσὶν ἐνθάδε· τῶν δὲ ἀποθανόντων εἰσὶ πολλοὶ προσήκοντες· ὧν ὅς τις βούλεται, ἐν τῷ ἐμῷ λόγῳ ἀναβὰς με ἐλεγξάτω, ἢ ὡς ἔφυγέ τις δι' ἐμὲ τούτων τῶν ἀνδρῶν, ἢ ὡς ἀπέθανεν. Ἐπειδὴ δὲ ταῦτα ἐγένετο, Πείσανδρος καὶ Χαρικλῆς, ὄντες μὲν τῶν ζη-

---

θέσει ἀναγνωστέον. — 11. Πρὸς ταῖν θεοῖν ἐπισκήπτω.) Ἀντὶ τοῦ ὁρκίζω ὑμᾶς εἰς τὰς θεάς, ὡς ἂν παρ' ἡμῖν ῥηθείη. — 12. Τῆς ἑορτῆς.) Τῶν Ἐλευσινίων μυστηρίων.

§ 14. 2. Περὶ δὲ τῶν ἀναθημάτων.) Περὶ δὲ τῆς περικοπῆς τῶν ἀναθημάτων

τητῶν, δοκοῦντες δ' ἐν ἐκείνῳ τῷ χρόνῳ εὐνούστατοι εἶναι τῷ δήμῳ, ἔλεγον οὖν,[3] ὡς εἴη τὰ ἔργα τὰ γεγενημένα οὐκ ὀλίγων ἀνδρῶν, ἀλλ' ἐπὶ τῇ τοῦ δήμου καταλύσει, καὶ χρῆναι ἔτι ζητεῖν καὶ μὴ παύσασθαι. Καὶ ἡ πόλις οὕτω διέκειτο, ὥστ', ἐπειδὴ τὴν βουλὴν εἰς τὸ βουλευτήριον ὁ κήρυξ ἀνείπῃ ἰέναι, τὸ σημεῖον[4] καθέλῃ, τῷ αὐτῷ σημείῳ ἡ μὲν βουλὴ εἰς τὸ βουλευτήριον ᾔει· οἱ δ'[5] ἐκ τῆς ἀγορᾶς ἔφυγον, δεδιότες εἷς ἕκαστος, μὴ συλληφθείη.

§ 15. Ἐπαρθεὶς οὖν τοῖς τῆς πόλεως κακοῖς, εἰσαγγέλλει Διοκλείδης εἰς τὴν βουλήν, φάσκων εἰδέναι τοὺς περικόψαντας τοὺς Ἑρμᾶς, καὶ εἶναι αὐτοὺς εἰς τριακοσίους· ὡς δ' ἴδοι καὶ περιτύχοι τῷ πράγματι ἔλεγε. Καὶ τούτοις, ὦ ἄνδρες, δέομαι ὑμῶν προσέχοντας τὸν νοῦν, ἀναμιμνήσκεσθαι ἐὰν ἀληθῆ λέγω, καὶ διδάσκειν ἀλλήλους.[2] Ἐν ὑμῖν γὰρ ἦσαν οἱ λόγοι, καὶ μοι ὑμεῖς τούτων μάρτυρές ἐστε. Ἔφη γὰρ εἶναι μὲν ἀνδράποδον οἱ ἐπὶ Λαυρείῳ, δεῖν δὲ κομίσασθαι ἀποφοράν. Ἀναστὰς δὲ πρωΐ, ψευσθεὶς τῆς ὥρας βαδίζειν· εἶναι δὲ πανσέληνον. Ἐπεὶ δὲ παρὰ τὸ προπύλαιον τοῦ Διονύσου ἦν, ὁρᾷν ἀνθρώπους πολλοὺς ἀπὸ τοῦ Ὠδείου καταβαίνοντας εἰς τὴν Ὀρχήστραν. Δείσας δὲ αὐτούς, εἰσελθὼν ὑπὸ τὴν σκιὰν καθέζεσθαι, μεταξὺ τοῦ κίονος καὶ τῆς στήλης, ἐφ' ᾗ ὁ στρατηγὸς ἐστιν ὁ χαλκοῦς. Ὁρᾷν δὲ ἀνθρώπους τὸν ἀριθμὸν τριακοσίους, ἑστάναι δὲ κύκλῳ ἀνὰ πεντεκαίδεκα ἄνδρας· τοὺς δέ, ἀνὰ εἴκοσι. Ὁρῶν δὲ αὐτῶν πρὸς τὴν σελήνην τὰ πρόσωπα, τῶν πλείστων γινώσκειν.[3] Καὶ πρῶτον μὲν ὦ ἄνδρες, τοῦθ' ὑπέθετο δεινότατον πρᾶγμα, οἶμαι, ὅπως ἐν ἐκείνῳ εἴη ὅν τινα βούλοιτο Ἀθηναίων φάναι τῶν ἀνδρῶν τούτων εἶναι, ὅν τινα δὲ μὴ βούλοιτο, λέγειν,[4] ὅτι οὐκ ἦν. Ἰδὼν δὲ ταῦτ' ἔφη ἐπὶ Λαυρεῖον ἰέναι, καὶ τῇ ὑστεραίᾳ ἀκούειν, ὅτι οἱ Ἑρμαῖ εἶεν περικεκομμένοι. Γνῶναι οὖν εὐθύς, ὅτι τούτων εἴη τῶν ἀνδρῶν τὸ ἔργον. Ἥκων δὲ εἰς ἄστυ, ζητητάς τε ἤδη ᾑρημένους καταλαμβάνει, καὶ μήνυτρα κεκηρυγμένα ἑκατὸν μνᾶς. Ἰδὼν δὲ Εὔφημον τὸν Καλλίου τοῦ Τηλεκλέους ἀδελφὸν ἐν τῷ χαλκείῳ καθήμενον, ἀναγαγὼν αὐτὸν εἰς τὸ Ἡφαιστεῖον, λέγειν, ἅπερ ἐγὼ ὑμῖν εἴρηκα, ὡς ἴδοι ἡμᾶς ἐν ἐκείνῃ τῇ νυκτί· οὔκουν δέοιτο[5] παρὰ τῆς πόλεως χρήματα λαβεῖν μᾶλλον ἢ παρ' ἡμῶν, ὥσθ' ἡμᾶς ἔχειν φίλους· εἰπεῖν οὖν τὸν Εὔφημον, ὅτι καλῶς ποιήσειεν

---

εἶτ' οὖν τῶν Ἑρμῶν. — 3. Ἔλεγον οὖν.) Ὁ Οὖν παρέλκει, ἢ βεβαιωτικὸς κεῖται κατὰ τὸν Δή. — 4. Τὸ σημεῖον.) Οὗπερ ὑψουμένου, ἔμενεν ἡ ἐκκλησία· καθαιραμένου δέ, διελύετο. — 5. Οἱ δέ.) Ὑπακούεται, ἄλλοι πολῖται.

§ 15. 2. Καὶ διδάσκειν ἀλλήλ.) Καὶ λέγειν δηλονότι τὸν εἰδότα πρὸς τὸν μὴ εἰδότα. — 3. Τῶν πλείστων γινώσκ.) Ἀπὸ κοινοῦ τὸ Ἔφη. — 4. Λέγειν.) Ἀπὸ τοῦ Ἔφη καὶ τοῦτο ἐξαρτᾶται ἀπὸ κοινοῦ λαμβανομένου. — 5. Οὔκουν δέοι-

εἰπών· καὶ νῦν ἥκειν κελεῦσαι οἱ εἰς τὴν Λεωγόρου οἰκίαν, ἵνα ἐκεῖ συγγένη μετ' ἐμοῦ[6] Ἀνδοκίδῃ καὶ ἑτέροις, οἷς δεῖ.[7] Ἥκειν ἔφη τῇ ὑστεραίᾳ, καὶ δὴ κόπτειν τὴν θύραν. Τὸν δὲ πατέρα τὸν ἐμὸν τυχεῖν ἐξιόντα, καὶ εἰπεῖν αὐτὸν, Ἆραγέ σε οἱ δὲ περιμένουσι; χρὴ μέν τοι μὴ ἀπωθεῖσθαι τοιούτους φίλους. Εἰπόντα δὲ αὐτὸν ταῦτα οἴχεσθαι· καὶ τούτῳ μὲν τῷ τρόπῳ τὸν πατέρα μου ἀπώλλυε, συνειδότα ἀποφαίνων. Εἰπεῖν δὲ ἡμᾶς, ὅτι δεδογμένον ἡμῖν εἴη, δύο μὲν τάλαντα ἀργυρίου διδόναι οἱ ἀντὶ τῶν ἑκατὸν μνῶν τῶν ἐκ τοῦ δημοσίου· ἐὰν δὲ κατάσχωμεν ἡμεῖς ἃ βουλόμεθα, ἕνα αὐτὸν ἡμῶν εἶναι. Πίστιν δὲ τούτων δοῦναί τε καὶ δέξασθαι. Ἀποκρίνασθαι δὲ αὐτὸς πρὸς ταῦτα, ὅτι βουλεύσοιτο· ἡμᾶς δὲ κελεύειν αὐτὸν ἥκειν εἰς Καλλίου τοῦ Τηλεκλέους, ἵνα κἀκεῖνος παρείη. Τὸν δ' αὖ κηδεστήν μου οὕτως ἀπώλλυεν. Ἥκειν ἔφη εἰς Καλλίου, καὶ καθοδηγήσας ἡμῖν πίστιν δοῦναι ἐν ἀκροπόλει, καὶ ἡμᾶς συνθεμένους οἱ τὸ ἀργύριον εἰς τὸν εἰσιόντα μῆνα δώσειν, διαψεύδεσθαι, καὶ οὐ διδόναι. Ἥκειν οὖν μηνύσων τὰ γενόμενα.

§ 16. Ἡ μὲν εἰσαγγελία αὐτῶν, ὦ ἄνδρες, τοιαύτη· ἀπογράφει δὲ τὰ ὀνόματα τῶν ἀνδρῶν, ὧν ἔφη γνῶναι, δύο καὶ τετταράκοντα. Πρώτους μὲν Μαντίθεον καὶ Ἀψεφίωνα, βουλευτὰς ὄντας καὶ καθημένους ἔνδον·[2] εἶτα δὲ καὶ τοὺς ἄλλους. Ἀναστὰς δὲ Πείσανδρος ἔφη χρῆναι λύειν τὸ ἐπὶ Σκαμανδρίου[3] ψήφισμα, καὶ ἀναβιβάζειν ἐπὶ τὸν τροχὸν τοὺς ἀπογραφέντας, ὅπως μὴ πρότερον νὺξ ἔσται, πρὶν πυθέσθαι τοὺς ἄνδρας ἅπαντας. Ἀνέκραγεν ἡ βουλὴ, ὡς εὖ λέγει. Ἀκούσαντες δὲ ταῦτα Μαντίθεος καὶ Ἀψεφίων, ἐπὶ τὴν ἑστίαν[4] ἐκαθέζοντο, ἱκετεύοντες μὴ στρεβλωθῆναι, ἀλλ' ἐξεγγυηθέντας κριθῆναι. Μόλις δὲ τούτων τυχόντες, ἐπειδὴ τοὺς ἐγγυητὰς κατέστησαν, ἐπὶ τοὺς ἵππους ἀναβάντες ᾤχοντο εἰς τοὺς πολεμίους αὐτομολήσαντες, καταλιπόντες τοὺς ἐγγυητὰς, οὓς ἔδει τοῖς αὐτοῖς ἐνέχεσθαι, ἐν οἷς περ οὓς ἠγγυήσαντο. Ἡ δὲ βουλὴ ἐξελθοῦσα ἐν ἀπορρήτῳ, συνέλαβεν ἡμᾶς, καὶ ἔδησεν ἐν τοῖς ξύλοις. Ἀνακαλέσαντες δὲ[5] τοὺς στρατηγοὺς, ἀνειπεῖν ἐκέλευσαν, Ἀθηναίων τοὺς μὲν ἐν ἄστει οἰκοῦντας, ἰέναι εἰς τὴν ἀγορὰν, τὰ ὅπλα λαβόντας· τοὺς δὲ ἐν μακρῷ τείχει, εἴς γε

το.) Καὶ ἔλεγεν, οὐκοῦν δέοιτο. — 6. Μετ' ἐμοῦ.) Τοῦ Εὐφήμου, λόγοι γὰρ οὗτοι τοῦ Εὐφήμου. — 7. Οἷς δεῖ.) Συγγενέσθαι δηλαδή.

§ 16. 2. Καὶ καθημένους ἔνδον.) Τουτ' ἔστιν ἐν τῷ βουλευτηρίῳ. — 3. Τὸ ἐπὶ Σκαμανδρίου.) Τοῦτο δὲ τὸ ψήφισμα δοκεῖ κωλύειν οὐδένα τῶν Ἀθηναίων βασάνοις ὑποπεσεῖν. — 4. Ἐπὶ τὴν ἑστίαν.) Ἱερὸν δὲ ἡ ἑστία τῆς Ἑστίας, ἐν τῇ εἰσόδῳ τοῦ βουλευτηρίου ἦν, ἐν ᾧ καὶ Θηραμένης κατέφυγεν. — 5. Ἀνακαλέσαντες δέ.) Οἱ βουλευταὶ δηλαδὴ ἀπὸ τοῦ ἀφῃρημένου ἐπὶ τὸ συγκεκριμένον

Θησεῖον· τοὺς δ' ἐν Πειραιεῖ, εἰς τὴν Ἱπποδαμείαν ἀγοράν. Τοὺς δ' ἱππεῖς ἔτι νυκτὸς σημῆναι τῇ σάλπιγγι ἥκειν εἰς τὸ Ἀνάκειον· τὴν δὲ βουλὴν εἰς ἀκρόπολιν ἰέναι, κἀκεῖ καθεύδειν· τοὺς δὲ Πρυτάνεις, ἐν τῇ Θόλῳ. Βοιωτοὶ δέ, πεπυσμένοι τὰ πράγματα, ἐπὶ τοῖς ὁρίοις ἦσαν ἐξεστρατευμένοι. Τὸν δὲ τῶν κακῶν τούτων αἴτιον Διοκλείδην, ὡς σωτῆρα ὄντα τῆς πόλεως ἐπὶ ζεύγους ἦγον εἰς τὸ Πρυτανεῖον στεφανώσοντες, καὶ ἐδείπνει ἐκεῖ. Πρῶτον μὲν οὖν ταῦτα, ὦ ἄνδρες, ὁπόσοι ὑμῶν παρῆσαν, ἀναμιμνήσκεσθε, καὶ τοὺς ἄλλους διδάσκετε. Εἶτα δέ μοι τοὺς πρυτάνεις εἰσκάλει τοὺς τότε πρυτανεύσαντας, Φιλοκράτη καὶ τοὺς ἄλλους [διδάσκετε]. Μάρτυρες. Φέρε δὴ καὶ τὰ ὀνόματα ὑμῖν ἀναγνώσομαι τῶν ἀνδρῶν, ὧν ἔγραψεν. Ἵν' εἰδῆτε, ὅσους μοι τῶν συγγενῶν ἀπώλλυε. Πρῶτον μὲν τὸν πατέρα, εἶτα δὲ τὸν κηδεστήν· τὸν μὲν συνειδότα[6] ἀποδεικνύς, τοῦ δὲ[7] ἐν τῇ οἰκίᾳ φάσκων τὴν σύνοδον γενέσθαι. Τῶν δ' ἄλλων ἀκούσεσθε τὰ ὀνόματα καὶ αὐτοῖς ἀναγίνωσκε. Χαρμίδης Ἀριστοτέλους· οὗτος ἀνεψιὸς ἐμός. Ἡ μήτηρ ἐκείνου, καὶ ὁ ἐμὸς πατήρ, ἀδελφοί· Ταυρέας. Οὑτοσὶ ἀνεψιὸς τοῦ πατρός· Νησαῖος, υἱὸς Ταυρέου· Καλλίας ὁ Ἀλκμαίωνος, ἀνεψιὸς τοῦ πατρός· Εὔφημος, Καλλίου τοῦ Τηλεκλέους ἀδελφός· Φρύνιχος ὁ ὀρχησάμενος,[8] ἀνεψιός· Εὐκράτης, ὁ Νικίου ἀδελφός, κηδεστὴς οὗτος Καλλίου· Κριτίας ἀνεψιός [Εὐκρατίας, ὁ Νικίου ἀδελφός,] καὶ οὗτος τοῦ πατρός. Αἱ μητέρες ἀδελφαί. Τούτους ἅπαντας ἐν τοῖς τετταράκοντα ἀνδράσιν ἐπέγραψεν.

§ 17. Ἐπειδὴ ἐδεδέμεθα πάντες ἐν τῷ αὐτῷ, καὶ νύξ τε ἦν καὶ τὸ δεσμωτήριον συνεκέκλειστο· ἧκον δὲ τῷ μὲν μήτηρ, τῷ δὲ ἀδελφή, τῷ δὲ γυνὴ καὶ παῖδες, ἦν δὲ βοὴ καὶ οἶκτος κλαιόντων καὶ ὀδυρομένων τὰ παρόντα κακά· λέγει πρός με Χαρμίδης ὢν μὲν ἀνεψιός, ἡλικιώτης δὲ καὶ συνεκτραφεὶς ἐν τῇ οἰκίᾳ τῇ ἡμετέρᾳ ἐκ παιδός, ὅτι, Ἀνδοκίδη, τῶν μὲν παρόντων κακῶν ὁρᾷς τὸ μέγεθος, ἐγὼ δὲ ἐν μὲν τῷ παρεληλυθότι χρόνῳ οὐδὲν ἐδεόμην λέγειν, οὐδὲ σὲ λυπεῖν· νῦν δὲ ἀναγκάζομαι διὰ τὴν παροῦσαν ἡμῖν συμφοράν. Οἷς γὰρ ἐχρῶ, καὶ οἷς συνῆσθα ἄνευ ἡμῶν τῶν συγγενῶν, οὗτοι[2] ἐπὶ ταῖς αἰτίαις, δι' ἃς ἡμεῖς ἀπολλύμεθα, οἱ μὲν αὐτῶν τεθνᾶσιν, οἱ δὲ οἴχονται φεύγοντες, σφῶν αὐτῶν καταγνόντες ἀδικεῖν. Εἰ ἤκουσάς τι τούτου τοῦ πράγματος τοῦ γενομένου, εἰπέ. Καὶ πρῶτον μὲν σεαυτὸν σῶσον, εἶτα

---

μετέβη. — 6. Τὸν μὲν συνειδότα.) Τὸν πατέρα δηλ. — 7. Τοῦ δέ.) Τοῦ κηδεστοῦ. — 8. Ὁ ὀρχησάμενος.) Μή ποτε ὁ Ἐρχιεύς, ἐμὸς ἀνεψιός, ἢ ὡς ἂν ἄλλως εὐξυνετώτερον εἴη; οὐδεμίαν γὰρ ἔχειν χώραν δοκεῖ ἐνταῦθα τὸ Ὀρχησάμενος.

§ 17. 2. Οὗτοι.) Ἐννοεῖται Εἰσίν.

δὲ τὸν πατέρα, ὃν εἰκός ἐστί σοι μάλιστα φιλεῖν· εἶτα δὲ τὸν κηδεστήν, ὃς ἔχει σου τὴν ἀδελφήν, ἥπερ σοι μόνη ἐστίν· ἔπειτα δὲ τοὺς ἄλλους συγγενεῖς καὶ ἀναγκαίους, τοσούτους ὄντας. Ἔτι δὲ ἐμέ, ὃς ἐν ἅπαντι τῷ βίῳ ἠνίασα μέν σε οὐδὲν πώποτε, προθυμότατος δὲ εἰς σὲ καὶ τὰ σὰ πράγματά εἰμι, ὅ,τι ἂν δέοι ποιεῖν. Λέγοντος δέ, ὦ ἄνδρες, Χαρμίδου ταῦτα, ἀντιβολούντων δὲ τῶν ἄλλων, καὶ ἱκετεύοντος ἑνὸς ἑκάστου, ἐνεθυμήθην πρὸς ἐμαυτόν. Ὢ πάντων ἐγὼ δεινοτάτῃ συμφορᾷ περιπεσών. Πότερα περιΐδω τοὺς ἐμαυτοῦ συγγενεῖς ἀπολλυμένους ἀδίκως καὶ αὐτούς τε ἀποθανόντας καὶ τὰ χρήματα αὐτῶν δημευθέντα; Πρὸς δὲ τούτοις ἀναγραφέντας ἐν στήλαις, ὡς ὄντας ἀλητηρίους τῶν θεῶν, τοὺς οὐδενὸς αἰτίους τῶν γεγενημένων; Ἔτι δὲ τριακοσίους Ἀθηναίων μέλλοντας ἀδίκως ἀπολεῖσθαι, τὴν δὲ πόλιν ἐν κακοῖς οὖσαν τοῖς μεγίστοις, καὶ ὑποψίαν εἰς ἀλλήλους ἔχοντας· ἢ εἴπω Ἀθηναίοις, ἅπερ ἤκουσα Εὐφιλίτου αὐτοῦ τοῦ ποιήσαντος; Ἔτι δὲ ἐπὶ τούτοις καὶ τό δε ἐνεθυμήθην, ὦ ἄνδρες, καὶ ἐλογιζόμην πρὸς ἐμαυτὸν τοὺς ἐξημαρτηκότας, καὶ τὸ ἔργον ἐργασαμένους, ὅτι οἱ μὲν αὐτῶν ἤδη τεθνήκεσαν ὑπὸ Τεύκρου μηνυθέντες, οἱ δὲ φεύγοντες ᾤχοντο, καὶ αὐτῶν θάνατος κατέγνωστο· τέτταρες δὲ ἦσαν ὑπόλοιποι, οἱ οὐκ ἐμηνύθησαν ὑπὸ Τεύκρου τῶν πεποιηκότων· Παναίτιος, Χαιρέδημος, Διάκριτος, Λυσίστρατος· οὓς εἰκὸς ἦν ἁπάντων μάλιστα δοκεῖν εἶναι τούτων τῶν ἀνδρῶν, οὓς ἐμήνυσε Διοκλείδης, φίλους ὄντας, τῶν ἀπολωλότων ἤδη. Καὶ τοῖς μὲν οὐδέπω βέβαιος[3] ἦν ἡ σωτηρία, τοῖς δὲ ἐμοῖς οἰκείοις φανερὸς ὄλεθρος, εἰ μή τις ἐρεῖ Ἀθηναίοις, τὰ γενόμενα. Ἐδόκει οὖν μοι κρεῖττον εἶναι τέτταρας ἄνδρας ἀποστερῆσαι τῆς πατρίδος δικαίως, οἳ νῦν ζῶσι καὶ κατεληλύθασι καὶ ἔχουσι τὰ σφέτερα αὐτῶν, ἢ ἐκείνους ἀποθανόντας ἀδίκως περιϊδεῖν.

§ 18. Εἰ οὖν τινι ὑμῶν, ὦ ἄνδρες, τῶν ἄλλων πολιτῶν γνώμη τοιαύτη παρειστήκει πρότερον περὶ ἐμοῦ, ὡς ἄρα ἐγὼ ἐμήνυσα κατὰ τῶν ἑταίρων τῶν ἐμαυτοῦ, ὅπως ἐκεῖνοι μὲν ἀπόλοιντο, ἐγὼ δὲ σωθείην (ἃ ἐλογοποίουν οἱ ἐχθροὶ περὶ ἐμοῦ, βουλόμενοι διαβάλλειν με) σκοπεῖσθε ἐξ αὐτῶν τῶν γεγενημένων. Νῦν γὰρ ἐμὲ μὲν λόγον διδόναι[2] τῶν ἐμοὶ πεπραγμένων μετὰ τῆς ἀληθείας, αὐτῶν παρόντων, οἵ περ ἥμαρτον καὶ ἔφυγον ταῦτα ποιήσαντες, ἴσασι δὲ ἄριστα, εἴτε ψεύδομαι, εἴτε ἀληθῆ λέγω. Ἔξεστι δὲ αὐτοῖς ἐλέγχειν με ἐν τῷ ἐμῷ λόγῳ· ἐγὼ δὲ ἐφίημι. Ὑμᾶς δὲ δεῖ μαθεῖν τὰ γενόμενα. Ἐμοὶ γάρ, ὦ ἄνδρες, τοῦδε τοῦ ἀ-

— 3. Βέβαιος.) Ἀντὶ Βεβαία Ἀττικῶς. § 18. 2. Διδόναι.) Ἐννοεῖται Δεῖ.

γῶνος τοῦτ' ἔστι μέγιστον, σωθέντι μοι δοκεῖν κακὸν εἶναι· εἶτα δὲ καὶ τοὺς ἄλλους ἅπαντας μαθεῖν, ὅτι οὔτε μετὰ κακίας, οὔτε μετὰ ἀδικίας οὐδεμιᾶς τῶν γεγενημένων πέπρακται ὑπ' ἐμοῦ οὐδὲν, ἀλλὰ διὰ συμφορὰν γεγενημένην, μάλιστα μὲν τῇ πολιτείᾳ τε καὶ ἡμῖν, εἶπον δὲ, ἃ ἤκουσα Εὐφιλήτου· προνοίᾳ μὲν τῶν συγγενῶν καὶ τῶν φίλων, προνοίᾳ δὲ τῆς πόλεως ἁπάσης μετ' ἀρετῆς, ἀλλ' οὐ μὴν κακίας, ὡς ἐγὼ νομίζω. Εἰ οὖν οὕτως ἔχει ταῦτα, σώζεσθαί τε ἀξιῶ καὶ δοκεῖν ὑμῖν εἶναι μὴ κακός.

§ 19. Φέρε δὴ (χρὴ γὰρ, ὦ ἄνδρες, ἀνθρωπίνως περὶ τῶν πραγμάτων ἐκλογίζεσθαι, ὥσπερ ἂν αὐτὸν ὄντα[2] ἐν τῇ συμφορᾷ) τί ἂν ὑμῶν ἕκαστος ἐποίησεν; Εἰ μὲν γὰρ ἦν δυοῖν τὸ ἕτερον ἑλέσθαι, ἢ καλῶς ἀπολέσθαι, ἢ αἰσχρῶς σωθῆναι, ἔχοι ἄν τις εἰπεῖν, κακίαν εἶναι τὰ λεγόμενα. (καί τοι πολλοὶ ἂν καὶ τοῦτο εἵλοντο, τὸ ζῆν περὶ πλείονος ποιησάμενοι τοῦ καλῶς ἀποθανεῖν.) Ὅπου δὲ τούτων τὸ ἐναντιώτατον ἦν, σιωπήσαντι μὲν, αὐτῷ τε αἴσχιστα ἀπολέσθαι, μηδὲν ἀσεβήσαντι, ἔτι δὲ τὸν πατέρα περιιδεῖν ἀπολούμενον, καὶ τὸν κηδεστὴν, καὶ τοὺς συγγενεῖς, καὶ ἀνεψιοὺς τοσούτους, οὓς οὐδεὶς ἀπώλλυεν, ἢ ἐγὼ, μὴ εἰπὼν, ὡς ἕτεροι ἥμαρτον. Διοκλείδης μὲν γὰρ ψευσάμενος ἔδησεν αὐτοὺς, σωτηρία δὲ αὐτῶν ἄλλη οὐδεμία ἦν, ἢ πυθέσθαι Ἀθηναίους πάντα τὰ πραχθέντα· φονεὺς οὖν αὐτῶν ἐγενόμην ἐγὼ, μὴ εἰπὼν ὑμῖν, ἃ ἤκουσα. Ἔτι δὲ τριακοσίους Ἀθηναίων ἀπώλλυον, καὶ ἡ πόλις ἐν κακοῖς τοῖς μεγίστοις ἐγίνετο. Ταῦτα μὲν οὖν,[3] ἐμοῦ μὴ εἰπόντος· εἰπὼν δὲ τὰ ὄντα, αὐτός τε ἐσωζόμην, καὶ τὸν πατέρα ἔσωζον, καὶ τοὺς ἄλλους συγγενεῖς· καὶ τὴν πόλιν ἐκ φόβου καὶ κακῶν τῶν μεγίστων ἀπήλλαττον. Φυγάδες δὲ δι' ἐμὲ τέτταρες ἐγένοντο ἄνδρες, οἵπερ καὶ ἥμαρτον. Τῶν δ' ἄλλων οἱ λοιποὶ πρότερον ὑπὸ Τεύκρου ἐμηνύθησαν. Οὔτε δήπου οἱ τεθνεῶτες δι' ἐμὲ μᾶλλον ἐτέθνασαν,[4] οὔτε οἱ φεύγοντες μᾶλλον ἔφευγον. Ταῦτα δὲ πάντα σκοπῶν, εὕρισκον, ὦ ἄνδρες, τῶν παρόντων κακῶν ταῦτα ἐλάχιστα εἶναι, εἰπεῖν τὰ γενόμενα ὡς τάχιστα, καὶ ἐλέγξαι Διοκλείδην ψευσάμενον, καὶ τιμωρήσασθαι ἐκεῖνον, ὃς ἡμᾶς μὲν ἀπώλλυεν ἀδίκως, τὴν δὲ πόλιν ἐξηπάτα· ταῦτα δὲ ποιῶν, μέγιστος εὐεργέτης ἐδόκει εἶναι, καὶ χρήματα ἐλάμβανε διὰ ταῦτα.

§ 20. Εἶπον οὖν τῇ βουλῇ, ὅτι εἰδείην τοὺς ποιήσαντας, καὶ ἐξήλεγξα τὰ γενόμενα· ὅτι εἰσηγήσατο μὲν πεινόντων ἡμῶν ταύτην

---

§ 19. 2. Αὐτὸν ὄντα.) Ὑπακούεται, Ἕκαστον ὑμῶν. — 3. Ταῦται μὲν οὖν.) Ἐπανάληψις τοῦ Μὲν, τοῦ ἐν τῷ Σιωπήσαντι μέν. Ὑπακούεται δὲ, Ἐγίγνετ' ἄν. — 4. Ἐτέθνασαν.) Ἀντὶ Ἐτεθνήκεσαν.

τὴν βουλὴν γενέσθαι Εὐφίλητος, ἀντεῖπον δὲ ἐγώ. Καὶ τότε μὲν οὐ γένοιτο δι' ἐμέ· ὕστερον δ' ἐγὼ μὲν ἐν Κυνοσάργει, ἐπὶ πωλεῖον, ὃ μόνην, ἀναβὰς ἔπεσον, καὶ τὴν κλεῖν συνετρίβην, καὶ τὴν κεφαλὴν κατεάγην, φερόμενός τε ἐπὶ κλίνης ἀπεκομίσθην οἴκαδε· αἰσθόμενος δὲ Εὐφίλητος ὡς ἤκοιμι,[2] λέγει πρὸς αὐτούς,[3] ὅτι πέπεισμαι ταῦτα[4] συμποιεῖν, καὶ ὡμολόγηκα αὐτῷ μεθέξειν τοῦ ἔργου, καὶ περικόψειν τὸν Ἑρμῆν τὸν παρὰ τὸν Φορβάντιον. Ταῦτα δὲ ἔλεγεν ἐξαπατῶν ἐκείνους· καὶ διὰ ταῦτα ὁ Ἑρμῆς, ὃν ὁρᾶτε πάντες, ὁ παρὰ τὴν πατρῴαν[5] οἰκίαν τὴν ἡμετέραν, ὃν Αἰγηὶς ἀνέθηκεν, οὐ περιεκόπη, μόνος τῶν Ἑρμῶν τῶν Ἀθήνησιν· ὡς ἐμοῦ τούτου ποιήσαντος, ὡς ἔφη πρὸς αὐτοὺς Εὐφίλητος. Οἱ δ' αἰσθόμενοι δεινὰ ἐποίουν, ὅτι εἰδείην μὲν τὸ πρᾶγμα, πεποιηκὼς δὲ οὐκ εἴην. Προσελθόντες δέ μοι τῇ ὑστεραίᾳ Μέλιτος καὶ Εὐφίλητος ἔλεγον, ὅτι, γεγένηται, ὦ Ἀνδοκίδη, καὶ πέπρακται ἡμῖν ταῦτα, σὺ μέντοι εἰ μὲν ἀξιοῖς ἡσυχίαν ἔχειν καὶ σιωπᾶν, ἕξεις ἡμᾶς ἐπιτηδείους, ὥσπερ καὶ πρότερον· εἰ δὲ μή, χαλεπώτεροί σοι ἐχθροὶ ἡμεῖς ἐσόμεθα, ἢ ἄλλοι τινὲς δι' ἡμᾶς φίλοι.[6] Εἶπον αὐτοῖς, ὅτι νομίζοιμι μὲν διὰ τὸ πρᾶγμα Εὐφίλητον πονηρὸν εἶναι, ἐκείνοις δὲ οὐκ ἐμὲ δεινὸν[7] εἶναι. Ὅτι οἶδα, ἀλλὰ μᾶλλον αὐτὸ τὸ ἔργον πολλῷ,[8] ὅτι πεποίηται. Ὡς οὖν ἦν ταῦτ' ἀληθῆ, τόν τε παῖδα τὸν ἐμὸν παρέδωκα βασανίσαι, ὅτι ἔκαμνον καὶ οὐδ' ἀνιστάμην ἐκ τῆς κλίνης· καὶ τὰς θεραπαίνας ἔλαβον οἱ πρυτάνεις. Ὅθεν ὁρμώμενοι ταῦτ' ἐποίουν ἐκεῖνοι. Ἐξελέγχοντες δὲ τὸ πρᾶγμα ἥ, τε βουλὴ καὶ οἱ ζητηταί, ἐπειδὴ ἦν, ἣ ἐγὼ ἔλεγον, καὶ ὡμολογεῖτο πανταχόθεν, τότε δὴ καλοῦσι τὸν Διοκλείδην· καὶ οὐ πολλῶν λόγων ἐδέησεν, ἀλλ' εὐθὺς ὡμολόγει ψεύδεσθαι, καὶ ἐδεῖτο σῴζεσθαι, φράσας τοὺς πείσαντας αὐτὸν λέγειν ταῦτα· εἶναι δὲ Ἀλκιβιάδην τὸν Φηγούσιον, καὶ Ἀμίαν τὸν ἐξ Αἰγίνης. Καὶ οὗτοι μὲν δείσαντες ᾤχοντο φεύγοντες· ὑμεῖς δὲ ἀκούσαντες ταῦτα, Διοκλείδην μὲν τῷ δικαστηρίῳ παραδόντες ἀπεκτείνατε· τοὺς δὲ δεδεμένους καὶ μέλλοντας ἀπολεῖσθαι ἐλύσατε, τοὺς ἐμοὺς συγγενεῖς, δι' ἐμέ, καὶ τοὺς φεύγοντας κατεδέξασθε. Αὐτοὶ δὲ

§ 20. 2. Ὡς ἤκοιμι.) Ἐν τίνι δηλ. καταστάσει ἤκοιμι. — 3. Πρὸς αὐτούς.) Τοὺς οἰκείους δηλαδή, ἢ φατριώτας. — 4. Ταῦτα.) Ὅσα δηλονότι συνεφώνησαν αὐτοὶ πρὸς ἀλλήλους, ὅσα διενοοῦντο. — 5. Ὁ παρὰ τὴν πατρῴαν.) Ἐννοεῖται, Κείμενος. — 6. Δι' ἡμᾶς φίλοι.) Ὁ νοῦς· Χαλεπώτεροί σοι ἐχθροὶ ἐσόμεθα, ἢ ἄλλοι τινὲς δι' ἡμᾶς φίλοι σοι γενόμενοι, δύναιντό σε εὐεργετεῖν, καὶ ἐξαιρεῖσθαι ἐκ τῶν κινδύνων. — 7. Οὐκ ἐμὲ δεινόν.) Ὡς εἰ ἔλεγεν· Οὐ τοῦτο ὑμῖν ἐστι δεινόν, φοβερὸν δηλονότι καὶ χαλεπόν, ὅτι ἐγὼ σύνοιδα ὑμῖν τὸ πρᾶγμα· κατὰ τὸ γράμμα· ἐκείνοις δὲ οὐκ ἔστι δεινὸν ὅτι ἐγὼ οἶδα· τὸ γὰρ Ἐμὲ ἐτέθη κατ' αἰτιατικὴν διὰ τὸ Εἰδέναι ἀπαρέμφατον, ὅπερ κατ' ἀνάλυσιν ἐπενεγκών, ἐπελάθετο τρόπον τινὰ τὴν αἰτιατικὴν μεταβαλεῖν εἰς ὀνομαστικήν. — 8. Πολλῷ.) Ἐννοεῖται Ἐστὶ δεινότερον πρᾶγμα.

λαβόντες τὰ ὅπλα ἀπῄειτε, πολλῶν κακῶν καὶ κινδύνων ἀπαλλαγέντες.

§ 21. Ἐν οἷς ἐγώ, ὦ ἄνδρες, τῆς μὲν[2] τύχης, ᾗ ἐχρησάμην δικαίως ἂν ὑπὸ πάντων ἐλεηθείην· τῶν δὲ γινομένων ἕνεκεν εἰκότως ἀνὴρ ἄριστος δοκείην εἶναι, ὅστις εἰσηγησαμένῳ μὲν Εὐφιλήτῳ πίστιν τῶν ἐν ἀνθρώποις ἀπιστοτάτην,[3] ἠναντιώθην καὶ ἀντεῖπον· καὶ ἐλοιδώρησα ἐκείνῳ ὧν ἦν ἄξιος·[4] ἁμαρτώντων δ' ἐκείνων, τὴν ἁμαρτίαν αὐτοῖς συνέκρυψα· καὶ μηνύσαντος κατ' αὐτῶν Τεύκρου, οἱ μὲν αὐτῶν ἀπέθανον, οἱ δ' ἔφυγον· πρὶν ἡμᾶς ὑπὸ Διοκλείδου δεθῆναι, καὶ μέλλειν ἀπολεῖσθαι. Τότε δὲ ἀπέγραψα τέτταρας ἄνδρας, Παναίτιον, Διάκριτον, Λυσίστρατον, Χαιρέδημον. Οὗτοι μὲν ἔφυγον δι' ἐμέ, ὁμολογῶ· ἐσώθη δέ γε ὁ πατήρ, ὁ κηδεστής, ἀνεψιοὶ τρεῖς, τῶν ἄλλων συγγενῶν ἑπτά, μέλλοντες ἀποθανεῖσθαι ἀδίκως· οἳ νῦν ὁρῶσι τοῦ ἡλίου τὸ φῶς δι' ἐμέ, καὶ αὐτοὶ ὁμολογοῦσιν. Ὁ δὲ τὴν πόλιν ὅλην συνταράξας, καὶ εἰς τοὺς ἐσχάτους κινδύνους καταστήσας, ἐξηλέγχθη· ὑμεῖς δὲ ἀπηλλάγητε μεγάλων φόβων, καὶ τῶν εἰς ἀλλήλους ὑποψιῶν. Καὶ ταῦτ' εἰ ἀληθῆ λέγω, ὦ ἄνδρες, ἀναμιμνήσκεσθε, καὶ οἱ ἰδόντες διδάσκετε τοὺς ἄλλους. Σὺ δέ μοι[5] αὐτοὺς κάλει τοὺς λυθέντας δι' ἐμέ. Ἄριστα γὰρ ἂν εἰδότες τὰ γενόμενα λέγοιεν εἰς τούτους. Οὑτωσὶ δὲ ἔχει, ὦ ἄνδρες·[6] μέχρι τούτου ἀναβήσονται καὶ λέξουσιν ὑμῖν, ἕως ἂν ἀκροᾶσθε βούλησθε, ἔπειτα δ' ἐγὼ περὶ τῶν ἄλλων ἀπολογήσομαι.

§ 22. Περὶ μὲν οὖν τῶν τότε γενομένων ἀκηκόατε πάντα, καὶ ἀπολελόγηταί μοι ἱκανῶς, ὥς γ' ἐμαυτὸν πείθω· εἰ δέ τις τι ὑμῶν ποθεῖ, ἢ νομίζει τι μὴ ἱκανῶς εἰρῆσθαι, ἢ παραλέλοιπά τι, ἀναστὰς ὑπομνησάτω, καὶ ἀπολογήσομαι καὶ πρὸς τοῦτο. Περὶ δὲ τῶν νόμων ἤδη ὑμᾶς διδάξω. Κηφίσιος γὰρ οὑτοσὶ ἐνέδειξε μέν με[2] κατὰ τὸν νόμον τὸν κείμενον, τὴν δὲ κατηγορίαν ποιεῖται κατὰ ψήφισμα πρότερον γενόμενον, ὃ εἶπεν Ἰσοτιμίδης, οὗ ἐμοὶ[3] προσήκον οὐδέν. Ὁ μὲν γαρ[4] εἶπεν εἴργεσθαι τῶν ἱερῶν τοὺς ἀσε-

---

§ 21. 2. Τῆς μέν.) Ἕνεκα δηλονότι τῆς τύχης· ὡς ἐκ τοῦ προσεχοῦς δῆλον. — 3. Ἀπιστοτάτην.) Ὅρκος ἁπάντων ἀπιστότατος, ᾧ μήτε ὁ ἀκούων πιστεύει, μήτε ὁ λέγων πίστιν παρέχει τοῖς πράγμασιν· ἀλλ' ἐοικότι ἐστὶ βιάζεσθαί τι· καὶ τὸ ἀρκεῖσθαι τῷ ὅρκῳ τούτῳ πανουργία τίς ἐστι. — 4. Ὧν ἦν ἄξιος.) Ταῦτα δηλαδή, ὧν ἦν ἄξιος. — 5. Σὺ δέ μοι.) Ὦ Γραμματεῦ δηλ. οὗτος δὲ ἦν ὁ τὰ δημόσια ἀναγινώσκων γράμματα. — 6. Οὑτωσὶ δὲ ἔχει, ὦ ἄνδρες.) Τὰ πράγματα δηλαδὴ τὸ παρ' ἡμῖν, Ἡ ὑπόθεσις.

§ 22. 2. Ἐνέδειξε μέν με.) Τὴν μὲν ἔνδειξιν δηλονότι ἐποιήσατο κατὰ τὸν κείμενον νόμον τὸν κωλύοντα τῶν Ἱερῶν τοὺς ἀσεβήσαντας, τὴν δὲ κατηγορίαν κατὰ ψήφισμα παλαιόν, καὶ ἄκυρον· ἐψηφίσαντο γὰρ τοῖς νόμοις χρῆσθαι τοῖς κειμένοις ἀπ' Εὐκλείδου ἄρχοντος. — 3. Οὗ ἐμοί.) Οὗ ψηφίσματος δηλ. πρὸ γὰρ Εὐκλείδου τὸ ψήφισμα. — 4.

ἐβήσαντας καὶ ὁμολογήσαντας, ἐμοὶ δὲ τούτων οὐδέτερα πεποίηται· οὐδὲ ἠσέβηται, οὔτε ὡμολόγηται. Ὡς δε καὶ τοῦτο τὸ ψήφισμα λέλυται καὶ ἄκυρόν ἐστιν, ἐγὼ ὑμᾶς διδάξω. Καίτοι γε τοιαύτην ἀπολογίαν περὶ αὐτοῦ ποιήσομαι· ὅπου[5] μὴ πείθων μὲν ὑμᾶς, αὐτὸς ζημιώσομαι· πείσας δέ, ὑπὲρ τῶν ἐχθρῶν ἀπολελογημένος ἔσομαι. Ἀλλὰ γὰρ τἀληθῆ εἰρήσεται.

§ 23. Ἐπεὶ γὰρ αἱ νῆες διεφθάρησαν,[2] καὶ ἡ πολιορκία ἐγένετο, ἐβουλεύσασθε περὶ ὁμονοίας, καὶ ἔδοξεν ὑμῖν τοὺς ἀτίμους ἐπιτίμους ποιῆσαι, καὶ εἶπε τὴν γνώμην Πατροκλείδης. Οἱ δὲ ἄτιμοι τίνες ἦσαν, καὶ τίνα τρόπον ἕκαστοι, ἐγὼ ὑμᾶς διδάξω. Οἱ μὲν ἀργύριον ὀφείλοντες τῷ δημοσίῳ, ὁπόσοι εὐθύνας ὦφλον, ἄρξαντες ἀρχὰς, ἢ ἐξούλας, ἢ γραφὰς, ἢ ἐπιβολὰς ὦφλον, ἢ ὠνὰς πριάμενοι ἐκ τοῦ δημοσίου, μὴ κατέβαλον τὰ χρήματα, ἢ ἐγγύας ἐγγυήσαντο πρὸς τὸ δημόσιον, τούτοις ἡ μὲν ἔκτισις ἦν ἐπὶ τῆς ἐννάτης πρυτανείας· εἰ δὲ μή, διπλάσιον ὀφείλειν, καὶ τὰ κτήματα αὐτῶν πεπρᾶσθαι. Εἷς μὲν τρόπος οὗτος ἀτιμίας ἦν· ἕτερος δὲ, ὧν τὰ μὲν σώματα ἄτιμα ἦν, τὴν δ' οὐσίαν ἔσχον καὶ ἐκέκτηντο· οὗτοι δ' ἂν ἦσαν ὁπόσοι κλοπῆς ἢ δώρων ὄφλοιεν·[3] τούτους ἔδει καὶ αὐτοὺς, καὶ τοὺς ἐκ τούτων, ἀτίμους εἶναι, καὶ ὁπόσοι λίποιεν τὴν τάξιν, ἢ ἀστρατείας, ἢ δειλίας, ἢ ναυμαχίας ὄφλοιεν, ἢ τὴν ἀσπίδα ἀποβάλοιεν· ἢ τρὶς ψευδομαρτυριῶν, ἢ τρὶς ψευδοκλητίας ὄφλοιεν, ἢ τοὺς γονέας κακῶς ποιοῖεν. Οὗτοι πάντες ἄτιμοι ἦσαν τὰ σώματα, τὰ δὲ χρήματα εἶχον. Ἄλλοι αὖ κατὰ προστάξεις,[4] οἵτινες οὐ παντάπασιν ἄτιμοι ἦσαν, ἀλλὰ μέρος τι αὐτῶν, οἷον οἱ στρατιῶται, οἷς, ὅτι ἐπέμειναν ἐπὶ τῶν Τυράννων ἐν τῇ πόλει τὰ μὲν ἄλλα ἦν, ἅπερ τοῖς ἄλλοις πολίταις, εἰπεῖν δ' ἐν τῷ δήμῳ οὐκ ἐξῆν αὐτοῖς, οὐδὲ βουλεῦσαι. Τούτων ἦσαν οὗτοι ἔντιμοι. Αὕτη γὰρ ἦν τούτοις πρόσταξις· ἑτέροις οὐκ ἦν[5] γράψασθαι, τοῖς δὲ ἐνδεῖξαι· τοῖς δὲ, μὴ ἀναπλεῦσαι εἰς Ἑλλήσποντον, ἄλλοις δ' εἰς Ἰωνίαν. Τοῖς δ' εἰς τὴν ἀγορὰν μὴ εἰσιέναι πρόσταξις ἦν. Ταῦτ' οὖν ἐψηφίσασθαι ἐξαλεῖψαι πάντα τὰ ψηφίσματα, καὶ αὐτὰ, καὶ εἴπου τι ἀντίγραφον ἦν, καὶ πίστιν ἀλλήλοις περὶ ὁμονοίας δοῦναι ἐν ἀκροπόλει. Καί μοι ἀνάγνωθι τὸ ψήφισμα τὸ Πατροκλείδου, καθ' ὃ ταῦτα ἐγένετο. Ψήφισμα.

»Πατροκλείδης εἶπεν· Ἐπειδὴ ἐψηφίσαντο Ἀθηναῖοι τὴν ἄδειαν »περὶ τῶν ὀφειλόντων, ὥστε λέγειν ἐξεῖναι, καὶ ἐπιψηφίζειν, ψη-

---

Ο' μὲν γάρ.) Νόμος. — 5. Ὅπου.) Ἐν ταύτῃ δηλονότι τῇ ἀπολογίᾳ.

§ 23. 2. Διεφθάρησαν.) Περὶ τῆς ἐν Αἰγὸς ποταμοῖς ἀτυχίας λέγει. — 3. Ὁπόσοι . . . ὄφλοιεν) Κατ' ἔλλειψιν τοῦ Ἄν. — 4. Κατὰ προστάξεις.) Ἦσαν ἄτιμοι δηλ. — 5. Ἑτέροις οὐκ ἦν.) Οὐκ ἐξῆν δηλαδή. —

»φίσασθαι τὸν δῆμον ταῦτα, ἅπερ ὅτε ἦν τὰ Μηδικὰ, καὶ συνή-
»νεγκεν Ἀθηναίοις ἐπὶ τὸ ἄμεινον. Περὶ δὲ τῶν ἐπιγεγραμμένων
»εἰς τοὺς πράκτορας, ἢ τοὺς ταμίας τῆς θεοῦ καὶ τῶν ἄλλων θεῶν,
»ἢ τὸν βασιλέα, ἢ εἴτις μὴ ἐξεγράφη μέχρι τῆς ἐξελθούσης βου-
»λῆς, ἐφ' ἧς Καλλίας ἦρχεν, ὅσοι ἄτιμοι ἦσαν, ἢ ὀφείλοντες·
»καὶ ὅσων εὐθύναι τινές εἰσι κατεγνωσμέναι ἐν τοῖς λογιστηρίοις
»ὑπὸ τῶν εὐθύνων,[6] ἢ τῶν παρέδρων· ἢ μήπω εἰσηγμέναι εἰς τὸ
»δικαστήριον γραφαί. Τινὲς εἰσι περὶ τῶν εὐθύνων, ἢ προστάξεις,
»ἢ ἐγγύαι τινές εἰσι κατεγνωσμέναι, εἰς τὸν αὐτὸν τοῦτον χρόνον·
»καὶ ὅσα ὀνόματα τῶν τετρακοσσίων τινὸς ἐγγέγραπται, ἢ ἄλλο
»τι περὶ τῶν ἐν τῇ ὀλιγαρχίᾳ πραχθέντων ἔστι που γεγραμμένον,
»πλὴν ὁπόσα ἐν στήλαις γέγραπται τῶν μὴ ἐνθάδε μεινάντων,
»ἢ ἐξ Ἀρείου πάγου, ἢ τῶν ἐφετῶν,[7] ἢ ἐκ πρυτανείου, ἢ Δελφι-
»νίου ἐδικάσθη, ἢ ὑπὸ τῶν βασιλέων, ἢ ἐπὶ φόνῳ τίς ἐστι
»φυγὴ, ἢ θάνατος κατεγνώσθη, ἢ σφαγεῦσιν, ἢ τυράννοις· τάτε
»ἄλλα πάντα ἐξαλεῖψαι τοὺς πράκτορας καὶ τὴν βουλὴν, καὶ τὰ
»εἰρημένα πανταχόθεν, ὅπου τί ἐστιν ἐν τῷ δημοσίῳ, καὶ εἰ ἀν-
»τίγραφόν που ἐστὶ, παρέχειν τοὺς θεσμοθέτας καὶ τὰς ἄλλας
»ἀρχάς. Ποιεῖν δὲ ταῦτα τριῶν ἡμερῶν, ἐπειδὰν δόξῃ τῷ δήμῳ·
»ἃ δ' εἴρηται ἐξαλεῖψαι, μὴ κεκτῆσθαι ἰδίᾳ μηδενὶ ἐξεῖναι· μηδὲ
»μνησικακῆσαι μηδέποτε. Εἰ δὲ μὴ ἔνοχον εἶναι τὸν παραβαί-
»νοντα ταῦτα ἐν τοῖς αὐτοῖς, ἐν οἷς περ οἱ ἐξ Ἀρείου πάγου φεύ-
»γοντες· ὅπως ἂν ὡς πιστότατα ἔχοι Ἀθηναίοις, καὶ νῦν καὶ εἰς τὸν
»λοιπὸν χρόνον.« Κατὰ μὲν τὸ ψήφισμα τουτὶ τοὺς ἀτίμους ἐπι-
τίμους ἐποιήσατε, τοὺς δὲ φεύγοντας, οὔτε Πατροκλείδης εἶπε
κατιέναι, οὔθ' ὑμεῖς ἐψηφίσασθε.

§ 24. Ἐπεὶ δὲ σπονδαὶ πρὸς Λακεδαιμονίους ἐγένοντο, καὶ τὰ τείχη καθείλετε, καὶ τοὺς φεύγοντας κατεδέξασθαι, κατέστησαν οἱ τριάκοντα, καὶ μετὰ ταῦτα Φυλή τε κατελείφθη,[2] Μουνυχίαν τε κατέλαβον[3] ἐγένοντο ὑμῖν, ὧν ἐγὼ[4] οὐδὲν δέομαι μεμνῆσθαι, οὐδ' ἀναμιμνήσκειν ὑμᾶς τῶν γεγενημένων κακῶν. Ἐπεὶ δὲ ἐπανήλθετε ἐκ Πειραιέως, γενόμενον ἐφ' ὑμῖν τιμωρεῖσθαι, ἔγνωτε ἐᾶν τὰ γεγενημένα, καὶ περὶ πλείονος ἐποιήσασθε σώζειν τὴν πόλιν, ἢ τὰς ἰδίας τιμωρίας·[5] καὶ ἔδοξε μὴ μνησικακεῖν ἀλλή-

6. Ὑπὸ τῶν εὐθύνων.) Εὔθυνοι ἦσαν ἐν Ἀθήναις, οὓς ἡμεῖς λογιστὰς λέγομεν νόμων· δώδεκα δὲ ἦσαν· παρὰ Βαρίνῳ. — 7. Ἐφετῶν.) Ἐφέται ἦσαν ἐν Ἀθήναις ὀγδοήκοντα, ὑπὲρ πεντήκοντα ἔτη γεγονότες, καὶ ἄριστα βεβιωκέναι, ὑπόληψιν ἔχοντες, οἳ καὶ τὰς φονικὰς ἔκρινον· οὕτω δὲ ἐκλήθησαν, ὅτι ἐπὶ αἵματι δικάζουσι. Βαρῖνος.

§ 24. 2. Φυλή τε κατελήφθη.) Ὑπὸ τῶν περὶ τὸν Θρασίβουλον. — 3. Κατέλαβον.) Οἱ περὶ τὸν Θρασίβουλον. Ὅρα Ξενοφ. Ἑλλ. Β'. κεφ. — 4. Ὑμῖν, ὧν ἐγώ.) Ἐκεῖνα δηλ. ὧν ἐγώ. — 5. Ἢ τὰς ἰδίας τιμωρίας.) Τὰς καθ' ἕκαστον

λοις τῶν γεγενημένων.[6] Δόξαντα δὲ ὑμῖν ταῦτα, εἵλεσθε ἄνδρας εἴκοσι· τούτους δὲ ἐπιμελεῖσθαι τῆς πόλεως, ἕως ἂν οἱ νόμοι τεθεῖεν· τέως δὲ χρῆσθαι τοῖς Σόλωνος νόμοις, καὶ τοῖς Δράκοντος θεσμοῖς. Ἐπειδὴ δὲ βουλήν τε ἀπεκληρώσατε, νομοθέτας εἵλεσθε, εὕρισκον[7] τῶν νόμων τῶν τε Σόλωνος καὶ τοῦ Δράκοντος πολλοὺς ὄντας, οἷς πολλοὶ τῶν πολιτῶν ἔνοχοι ἦσαν, τῶν πρότερον ἕνεκα γενομένων, ἐκκλησίαν ποιήσαντες ἐβουλεύσασθε περὶ αὐτῶν, καὶ ἐψηφίσασθε, δοκιμάσαντες πάντας τοὺς νόμους, εἶτ' ἀναγράψαι ἐν τῇ στοᾷ τούτους τῶν νόμων, οἳ ἂν δοκιμασθῶσι. Καί μοι ἀνάγνωθι τὸ ψήφισμα. Ψ ή φ ι σ μ α. «Ἔδοξε τῷ δήμῳ· Τισαμενὸς »εἶπε πολιτεύεσθαι Ἀθηναίους κατὰ τὰ πάτρια, νόμοις δὲ χρῆ»σθαι τοῖς Σόλωνος, καὶ μέτροις καὶ σταθμοῖς· χρῆσθαι δὲ καὶ »τοῖς Δράκοντος θεσμοῖς, οἷσπερ ἐχρώμεθα ἐν τῷ πρόσθεν χρό»νῳ. Ὁπόσων[8] δ' ἂν προσδέοι, οἱ δὲ ᾑρημένοι νομοθέται ὑπὸ τῆς »βουλῆς ἀναγραφόντων[9] ἐν σανίσι, καὶ ἐκτιθέντων πρὸς τοὺς ἐ»πωνύμους,[10] σκοπεῖν τῷ βουλομένῳ· καὶ παραδιδόντων ταῖς »ἀρχαῖς ἐν τῷ μηνί. Τοὺς δὲ παραδιδομένους δοκιμασάτω πρό»τερον ἡ βουλὴ, καὶ οἱ νομοθέται οἱ πεντακόσιοι, οὓς οἱ δημόται »εἵλοντο, ἐπειδὴ ὀμωμόκασιν. Ἐξεῖναι δὲ καὶ ἰδιώτῃ τῷ βουλομέ»νῳ, εἰσιόντι εἰς τὴν βουλὴν βουλεύειν ὅ,τι ἂν ἀγαθὸν ἔχῃ περὶ »τῶν νόμων. Ἐπειδὰν δὲ τεθῶσιν οἱ νόμοι, ἐπιμελείσθω ἡ βουλὴ »ἡ ἐξ Ἀρείου πάγου τῶν νόμων, ὅπως ἂν αἱ ἀρχαὶ τοῖς κειμέ»νοις νόμοις χρῶνται. Τοὺς δὲ κυρουμένους τῶν νόμων ἀνα»γράφειν εἰς τὸν τοῖχον,[11] ἵνα περ πρότερον ἀνεγράφησαν, σκο»πεῖν τῷ βουλομένῳ.«

§ 25. Ἐδοκιμάσθησαν μὲν οὖν οἱ νόμοι, ὦ ἄνδρες, κατὰ τὸ ψήφισμα τουτί. Τοὺς δὲ κυρωθέντας ἀνέγραψαν εἰς τὴν στοάν. Ἐπεὶ δὲ ἀνεγράφησαν, ἐθέμεθα νόμον, ᾧ πάντες χρῆσθε,[2] μηδὲ περὶ ἑνός.[3] Ἆρά γε ἐστὶ τοῦτο, ὅ,τι περιέλειπτο, περὶ ὅτου οἷόν

---

δηλαδὴ καὶ ἰδίᾳ τιμωρίας ἐπεξιέναι. — 6. Τῶν γεγενημένων.) Ἕνεκα. — 7. Εὕρισκον.) Οἱ ᾑρημένοι δηλαδή. — 8. Ὁπόσων.) Νόμων δηλαδὴ, καὶ θεσμῶν. — 9. Ἀναγραφόντων.) Ἀντὶ Ἀναγραφέτωσαν, καὶ ἐκτιθέτωσαν· ἔστι δὲ Ἀττικὸν κατ' ἔλλειψιν τοῦ Ἔστωσαν· οἷον· ἀναγραφόντων ἔστωσαν· ἡ δὲ μετοχὴ κατὰ γενικὴν διαιρετικῶς. — 10. Πρὸς τοὺς ἐπωνύμους.) Ἐπώνυμοι· ἀφ' ὧν αἱ δέκα φυλαὶ προσηγορεύθησαν· οἷον. Ἐρεχθεὺς, Αἰγεὺς, Πανδίων, Λαὼς, Ἀλμὰς, Οἰνεὺς, Κέκρωψ, Ἱπποθόων, Αἴας, Ἀντίοχος· παρὰ γοῦν τὰς εἰκόνας τούτων τῶν ἐπωνύμων εἰσηγοῦντο τοὺς νόμους, πρὶν ἢ γενεῖσθαι κυρίους, ἵν' ἐντυγχάνοντες αὐτοῖς οἱ βουλόμενοι κατηγορεῖεν. Βαρῖνος. — 11. Εἰς τὸν τοῖχον.) Τὸν τῆς στοᾶς δηλ. ἐκεῖ γὰρ ἔγραφον τοὺς νόμους, ἵν' ᾖ τῷ βουλομένῳ σκοπεῖν αὐτούς.

§ 25. 2. Χρῆσθε.) Ἔστι δὲ ὁ νόμος οὗτος, Ἀγράφῳ νόμῳ μὴ χρῆσθαι. — 3. Μηδὲ περὶ ἑνός.) Ἔστιν ὁ νόμος οὗτος Ἀγράφῳ νόμῳ μὴ χρῆσθαι. Ἆρά γε ἔστι τι τούτων, ὅ,τι περιελέλειπτο ἐν τοῖς νόμοις περὶ ὅτου οἷόν τε εἴη τινὶ ὑμῶν, ἢ ἀρχὴν εἰσάγειν, ἢ πρᾶξαι ἄλλο τι, ἢ κατὰ τοὺς ἄνω γεγραμμένους; τοῦτ' ἔστι· πάντα τὰ ἀναγκαῖα περιεχόντων τῶν

τε ἡ ἀρχὴν εἰσάγειν, ἢ ὑμῶν πρᾶξαι τινί, ἀλλ' ἢ κατὰ τοὺς ἄνω γεγραμμένους νόμους. Ὅπου οὖν ἀγράφῳ νόμῳ οὐκ ἔξεστι χρήσασθαι, ἤπου ἂν ἀγράφῳ γε ψηφίσματι παντάπασιν οὐ δεῖ γε χρήσασθαι. Ἐπειδὴ τοίνυν ἑωρῶμεν, ὅτι πολλοῖς τῶν πολιτῶν εἶεν συμφοραί, τοῖς μὲν κατὰ νόμους, τοῖς δέ, κατὰ ψηφίσματα τὰ πρότερον γενόμενα, τουτουσὶ τοὺς νόμους ἐθέμεθα, αὐτῶν ἕνεκα τῶν νυνὶ ποιουμένων,[4] ἵνα τούτων μηδὲν γένηται, μηδὲ ἐξῇ συκοφαντεῖν μηδενί. Καί μοι ἀνάγνωθι τοὺς νόμους. Νόμος. »Ἀγράφῳ δὲ νόμῳ τὰς ἀρ»χὰς μὴ χρῆσθαι, μηδὲ περὶ ἑνός.[5] Ψήφισμα δὲ μηδὲν μήτε βουλῆς, »μήτε δήμου, νόμου κυριώτερον εἶναι· μηδὲ ἐπ' ἀνδρὶ[6] νόμον ἐξεῖ»ναι θεῖναι, ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσιν Ἀθηναίοις· ἐὰν μὴ ἑξα»κισχιλίοις δόξῃ, κρύβδην ψηφιζομένοις.« Τί οὖν ἦν ἐπίλοιπον; οὑτοσὶ ὁ νόμος· καί μοι ἀνάγνωθι τοῦτον. Νόμος. »Τὰς δὲ δί»κας καὶ τὰς διαίτας κυρίας εἶναι ὁπόσαι ἐν δημοκρατουμένῃ »πόλει ἐγένοντο· τοῖς δὲ νόμοις χρῆσθαι ἀπ' Εὐκλείδου ἄρχοντος.« Τὰς δὲ δίκας, ὦ ἄνδρες, καὶ τὰς διαίτας ἐποιήσατε κυρίας εἶναι, ὁπόσαι ἐν δημοκρατουμένῃ πόλει ἐγένοντο, ὅπως μήτε χρεῶν ἀποκοπαὶ εἶεν, μήτε δίκαι ἀνάδικοι[7] γίγνοιντο, ἀλλὰ τῶν ἰδίων συμβολαίων αἱ πράξεις εἶεν· τῶν δημοσίων ὁπόσοις αἱ γραφαί εἰσιν ἢ φάσεις, ἢ ἐνδείξεις, ἢ ἀπαγωγαί, τούτων ἕνεκα τοῖς νόμοις ἐψηφίσασθαι χρῆσθαι ἐπ' Εὐκλείδου ἄρχοντος. Ὁπότ' οὖν ἔδοξεν ὑμῖν δοκιμάσαι μὲν τοὺς νόμους, δοκιμάσαντας δὲ ἐγγράψαι· ἀγράφῳ δὲ νόμῳ τὰς ἀρχὰς μὴ χρῆσθαι, μηδὲ περὶ ἑνός· ψήφισμα δὲ μήτε βουλῆς, μήτε δήμου, κυριώτερον εἶναι· μηδ' ἐπ' ἀνδρὶ νόμον τιθέναι, ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσιν Ἀθηναίοις· τοῖς δὲ νόμοις τοῖς κειμένοις χρῆσθ' ἀπ' Εὐκλείδου ἄρχοντος· ἐνταῦθοῖ ἔστιν ὅ,τι ὑπολείπεται, ἢ μεῖζον ἢ ἔλαττον τῶν γιγνομένων πρότερον ψηφισμάτων, πρὶν Εὐκλείδην ἄρξαι, ὅπως κύριον ἔσται; Οὐκ οἶμαι ἔγωγε, ἄνδρες. Σκοπεῖτε δὲ καὶ αὐτοί.

§ 26. Φέρε δὴ τοίνυν, οἱ ὅρκοι ὑμῖν πῶς ἔχουσιν; ὁ μὲν κοινὸς τῇ πόλει ἁπάσῃ, ὃν ὀμωμόκατε πάντες μετὰ τὰς διαλλαγάς. Ὅρκος. «Καὶ οὐ μνησικακήσω τῶν πολιτῶν οὐδενί, »πλὴν τῶν τριάκοντα, καὶ τῶν ἕνδεκα·[2] οὐδὲ τούτων, ὃς[3] ἂν ἑ-

ἀναγεγραμμένων νόμων, οὐ δεῖ χρῆσθαι ἀγράφῳ νόμῳ. — 4. Τῶν νυνὶ ποιουμένων.) Ὑπὸ τῶν κατηγόρων τῶν ἐμῶν. — 5. Μηδὲ περὶ ἑνός.) Ἀντὶ περὶ μηδενός· Ἀττικὸν γὰρ τὸ Μηδεὶς Μηδὲ εἷς λέγειν· ὅθεν καὶ τὸ Μηδέν, ἓν μηδὲ ἓν λέγουσι. — 6. Ἐπ' ἀνδρί.) Ἑνὶ δηλονότι. — 7. Δίκαι ἀνάδικοι.) Αἱ ἤδη κεκριμέναι μέν, ἀλλ' ἀκυρωθεῖσαι, πάλιν ἀνακρίνονται· ἤτοι· τῶν μαρτύρων ἁλόντων ψευδομαρτυριῶν, ἢ δι' ἄλλην τινὰ αἰτίαν ποιητικήν· ὡς παρὰ Βαρίνῳ.

§ 26. 2. Καὶ τῶν Ἕνδεκα.) Οἱ ἐν ἄστει Ἀθηναῖοι καὶ οἱ ἐκ Πειραιῶς μετὰ Θρασυβούλου διηλλάγησαν, ἐφ' ᾧ τε εἰρήνην ἔχειν πρὸς ἀλλήλους, καὶ ἀπιέναι ἐπὶ τὰ ἑαυτῶν ἑκάστους, πλὴν τῶν τριάκοντα καὶ τῶν ἕνδεκα, καὶ τῶν ἐν τῷ Πειραιεῖ ἀρξάντων δέκα. Ξενοφ. Ἑλλην. βιβλ. Β. κεφ. δ'. 38. — 3. Οὐδὲ τούτων ὅς.)

»θέλοι εὐθύνας διδόναι τῆς ἀρχῆς, ἧς ἦρξεν.» Ὅπου τοίνυν αὐτοῖς τοῖς τριάκοντα ὤμνυτε μὴ μνησικακήσειν, τοῖς μεγίστων κακῶν αἰτίοις, εἰ διδοῖεν εὐθύνας, ἦπου σχολῇ γε[4] τῶν ἄλλων πολιτῶν τινι ἠξιοῦτε μνησικακεῖν. Ἡ δὲ βουλὴ αὖ ἡ ἀεὶ βουλεύουσα, τί ὄμνυσι; «Καὶ οὐ δέξομαι ἔνδειξιν, οὐδὲ ἀπαγωγὴν ἕνε»κα τῶν πρότερον γεγενημένων, πλὴν τῶν φευγόντων.» Ὑμεῖς δ' αὖ, ὦ Ἀθηναῖοι, τί ὀμόσαντες δικάζετε; «Καὶ οὐ μνησικακήσω, »οὐδ' ἄλλῳ πείσομαι· ψηφιοῦμαι δὲ κατὰ τοὺς κειμένους νόμους.» Ἃ χρὴ σκοπεῖν, εἰ δοκῶ ὀρθῶς ὑμῖν λέγειν, ὡς ὑπὲρ ὑμῶν λέγω[5] καὶ τῶν νόμων. Σκέψασθε τοίνυν, ὦ ἄνδρες, [καὶ τοὺς νόμους] καὶ τοὺς κατηγόρους, τί αὐτοῖς ὑπαρχόντων[6] ἑτέρων κατηγοροῦσι.

§ 27. Κηφίσιος μὲν οὑτοσί, πριάμενος ὠνὴν ἐκ τοῦ δημοσίου, καὶ ἐκ ταύτης ἐπικαρπίας τῶν ἐν τῇ γῇ[2] γεωργούντων ἐνενήκοντα μνᾶς ἐκλέξας, οὐ κατέβαλε τῇ πόλει, καὶ ἔφυγεν. Εἰ γὰρ ἦλθεν, ἐδέδετ' ἂν ἐν τῷ ξύλῳ· ὁ γὰρ νόμος οὕτως εἶχε, «Κυρίαν »εἶναι τὴν βουλήν, ὃς ἂν πριάμενος[3] τέλος μὴ καταβάλῃ, δεῖν «εἰς τὸ ξύλον.» Οὗτος τοίνυν, ὅτι τοῖς νόμοις ἐπεψηφίσασθε ἀπ' Εὐκλείδου ἄρχοντος χρῆσθαι, ἀξιοῖ, ἃ ἔχει ὑμῶν ἐκλέξας, μὴ ἀποδοῦναι· καὶ νῦν γεγένηται ἀντὶ μὲν φυγάδος πολίτης, ἀντὶ δὲ ἀτίμου, συκοφάντης, ὅτι τοῖς νόμοις τοῖς νῦν κειμένοις χρῆσθε. Μέλιτος δ' αὖ οὑτοσὶ ἀπήγαγεν ἐπὶ τῶν τριάκοντα Λέοντα, ὡς ὑμεῖς ἅπαντες ἴστε, καὶ ἀπέθανεν ἐκεῖνος ἄκριτος. Καὶ οὗτος ὁ νόμος καὶ πρότερον ἦν ὡς καλῶς ἔχων καὶ νῦν ἐστι καὶ χρῆσθε αὐτῷ, «Τὸν βουλεύσαντα ἐν τῷ αὐτῷ[4] ἐνέχεσθαι, καὶ τὸν τῇ «χειρὶ ἐργασάμενον.» Μέλιτον τοίνυν τοῖς παισὶ τοῖς τοῦ Λέοντος οὐκ ἔστι φόνου διώκειν, ὅτι τοῖς νόμοις δεῖ χρῆσθαι ἀπ' Εὐκλείδου ἄρχοντος. Ἐπεὶ ὥς γε οὐκ ἀπήγαγεν, οὐδ' αὐτὸς ἀντιλέγει· Ἐπιχάρης δ' οὗτος, ὁ πάντων πονηρότατος, καὶ βουλόμενος εἶναι τοιοῦτος, ὁ μνησικακῶν αὐτὸς αὐτῷ. Οὗτος γὰρ ἐβούλευεν ἐπὶ τῶν τριάκοντα· ὁ δὲ νόμος τί κελεύει, ὃς ἐν τῇ στήλῃ ἔμπροσθέν ἐστι τοῦ βουλευτηρίου; «Ὃς ἂν ἄρξῃ ἐν τῇ πόλει, »τῆς δημοκρατίας καταλυθείσης, νηποινὶ τεθνάναι· καὶ τὸν ἀπο»κτείναντα ὅσιον εἶναι, καὶ τὰ χρήματα ἔχειν τοῦ ἀποθανόντος.» Ἄλλό τε οὖν, ὦ Ἐπιχάρης, ἢ νῦν ὁ ἀποκτείνας σε καθαρὸς τὰς

---

Οὐδὲ τούτων ἐκείνῳ μνησικακήσω, ὃς ἂν ἐθέλοι. — 4. Σχολῇ γε.) Ἀντὶ τοῦ Οὐδαμῶς. — 5. Ὡς ὑπὲρ ἡμῶν λέγω.) Ἐνταῦθα δοκεῖ ἐλλείπειν τὸ Λέγων, ἢ φάσκων· ἵν' ᾖ εἰ ὀρθῶς δοκεῖ ὑμῖν λέγειν, φάσκων ὡς ὑπὲρ ὑμῶν. — 6. Τί αὐτοῖς ὑπαρχόντων.) Ἐγκλημάτων δηλ. ὅπερ ἐστί, Τί κατηγοροῦσιν ἑτέρων, αὐτοὶ ὄντες ὑπεύθυνοι καὶ ἔνοχοι ἐγκλημάτων.

§ 27. 2. Τῶν ἐν τῇ γῇ.) Τὸ ἐν τῇ γῇ περιττῶς κεῖται· ἤτοι κατ' ἐπίτασιν ἢ ἄλλως. — 3. Ὃς ἂν πριάμενος.) Ἀνάλυσις ἀπαρεμφατικῆς ἀντὶ τὸν πριάμενον. — 4. Ἐν τῷ αὐτῷ.) Ἐγκλήματι

χεῖρας ἔσται κατά γε τὸν Σόλωνος νόμον· καὶ ἀνάγνωθι τὸν νόμον τὸν ἐκ τῆς στήλης. Νόμος. «Ἔδοξε τῇ βουλῇ καὶ τῷ »δήμῳ, Αἰαντὶς ἐπρυτάνευε, Κλεογένης ἐγραμμάτευε, Βοηθὸς ἐπε»στάτει. Τάδε Δημόφαντος συνέγραψεν.» (ἄρχει[5] χρόνος τοῦ δε τοῦ ψηφίσματος, ἡ βουλὴ, οἱ πεντακόσιοι, λαχόντες τῷ κυάμῳ, ὅ,τε Κλεογένης πρῶτος ἐγραμμάτευεν.) «Ἐάν τις δημοκρα»τίαν καταλύῃ τὴν Ἀθήνησιν, ἢ ἀρχήν τινα ἄρχῃ, καταλελυ»μένης τῆς δημοκρατίας, πολέμιος ἔσται Ἀθηναίων, καὶ νηποινὶ »τεθνάτω· καὶ τὰ χρήματα αὐτοῦ δημόσια ἔστω· καὶ τῆς θεοῦ »τὸ ἐπιδέκατον. Ὁ δὲ ἀποκτείνας τὸν ταῦτα ποιήσαντα καὶ ὁ »συμβουλεύσας, ὅσιος ἔστω καὶ εὐαγής. Ὀμόσαι δὲ Ἀθηναίους »ἅπαντας καθ' ἱερῶν τελείων, κατὰ φυλὰς καὶ κατὰ δήμους, ἀπο»κτείνειν τὸν ταῦτα ποιήσαντα. Ὁ δὲ ὅρκος ἔστω ὅδε· Κτενῶ τῇ »ἐμαυτοῦ χειρὶ, ἂν δυνατὸς ὦ, ὃς ἂν καταλύσῃ τὴν δημοκρα»τίαν τὴν Ἀθήνησι. Καὶ ἐάν τις ἄρξῃ τινὰ ἀρχὴν, καταλελυ»μένης τῆς δημοκρατίας, τὸ λοιπὸν,[6] καὶ ἐάν τις τυραννεῖν ἐπανα»στῇ, ἢ τὸν τύραννον συγκαταστήσῃ, καὶ ἐάν τις ἄλλος ἀπο»κτείνῃ, ὅσιον αὐτὸν νομιῶ εἶναι καὶ πρὸς θεῶν καὶ δαιμόνων, ὡς »πολέμιον κτείναντα τῶν Ἀθηναίων· καὶ τὰ κτήματα τοῦ ἀπο»θανόντος πάντα ἀποδόμενος, ἀποδώσω τὰ ἡμίσεα τῷ ἀποκτεί»ναντι, καὶ λόγῳ, καὶ ψήφῳ, καὶ οὐκ ἀποστερήσω οὐδέν. Ἐὰν δέ »τις κτείνων τινὰ τούτων ἀποθάνῃ, ἢ ἐπιχειρῶν, εὖ ποιήσω αὐ»τόν τε καὶ τοὺς παῖδας τοὺς ἐκείνου, καθάπερ Ἁρμόδιόν τε καὶ »Ἀριστογείτονα,[7] καὶ τοὺς ἀπογόνους αὐτῶν. Ὁπόσοι δὲ ὅρκοι »ὀμώμονται Ἀθήνησιν, ἢ ἐν τῷ στρατοπέδῳ, ἢ ἄλλοθί που, ἐναντίοι »τῷ δήμῳ τῶν Ἀθηναίων, λύω καὶ ἀφίημι.» Ταῦτα δὲ ὠμόσατε Ἀθηναῖοι πάντες καθ' ἱερῶν τελείων, τὸν νόμιμον ὅρκον, πρὸ Διονυσίων·[8] καὶ ἐπεύχεσθαι, εὐορκοῦντι μὲν εἶναι πολλὰ καὶ ἀγαθά· ἐπιορκοῦντι δὲ, ἐξώλη αὐτὸν[9] εἶναι καὶ γένος.

§ 28. Πρότερον, ὦ συκοφάντα, καὶ ἐπίτριπτον κίναδος, κύριος ὁ νόμος ὅδ' ἐστὶν, ἢ οὐ κύριος; Διὰ τοῦτο δ' εἶμαι γεγένηται ἄκυρος, ὅτι τοῖς νόμοις δεῖ χρῆσθαι ἀπ' Εὐκλείδου ἄρχοντος.

---

καὶ ἐπιτιμίῳ. — 5. Ἄρχει καὶ κλ.) Τὰ ἀπὸ τοῦ Ἄρχει μέχρι τοῦ Ἐγραμμάτευον, ἐν παρενθέσει ἀναγνωστέον, ὡς οὐ τοῦ νόμου, τοῦ δὲ Ἀνδοκίδου λόγους ὄντας· τὸ κράτος τοῦ νόμου ἐκ τῆς ἐπικρατείας τοῦ χρόνου σημᾶναι βουλομένου· ὡς εἰ ἔλεγε, Ἄρχετε ὁ χρόνος τοῦδε τοῦ ψηφίσματος, καὶ ἡ βουλὴ τῶν πεντακοσίων ἄκοντες λαχόντες τῷ κυάμῳ, ἀφ' ὅτου Κλεομένης. — 6. Τὸ λοιπόν.) Κατὰ τὸ λοιπὸν,« εἰς τὸ ἑξῆς· μετὰ τὴν κατάλυσιν δηλαδὴ τῆς δημοκρατείας. — 7. Ἁρμόδιόν τε καὶ Ἀριστογείτονα.) Τούτους γὰρ ἀποκτείναντας Ἵππαρχον τὸν τύραννον Ἀθηνῶν, οἱ Ἀθηναῖοι τιμήσαντες, ἱδρύσαντο ἄγαλμα. — 8. Πρὸ Διονυσίων.) Πρὸ τῆς ἑορτῆς δηλαδὴ τῶν Διονυσίων. — 9. Αὐτόν.) Ἕκαστον δηλαδὴ αὐτόν τε καὶ τὸ γένος αὐτοῦ ἐξώλη εἶναι.

Καὶ σὺ ζῇς, καὶ περιέρχῃ τὴν πόλιν ταύτην, οὐκ ἄξιος ὤν; ὃς ἐν δημοκρατίᾳ μὲν συκοφαντῶν ἔζης, ἐν ὀλιγαρχίᾳ δὲ, ὡς μὴ ἀναγκασθείης τὰ χρήματα ἀποδοῦναι, ὅσα συκοφαντῶν ἔλαβες, ἐδούλευες τοῖς τριάκοντα. Εἶτα σὺ περὶ ἑταιρίας ἐμοὶ μνείαν ποιῇ, καὶ κακῶς τινας λέγεις; ὃς ἐνὶ μὲν οὐχ ἑταιρήσας, (καλῶς γὰρ ἄν σοι εἶχε), πραττόμενος δ' οὐ πολὺ ἀργύριον τὸν βουλόμενον ἀνθρώπων (ὡς οὗτοι ἴσασιν) ἐπὶ τοῖς αἰσχίστοις ἔργοις ἔζης· καὶ ταῦτα, οὕτω μοχθηρὸς ὢν τὴν ἰδέαν. Ἀλλ' ὅμως οὗτος ἑταίρων ἐτόλμα κατηγορεῖν, ᾧ κατὰ τοὺς νόμους τοὺς ἡμετέρους οὐδ' αὐτῷ ὑπὲρ αὑτοῦ ἔστιν ἀπολογεῖσθαι.

§ 29. Ἀλλὰ γὰρ, ὦ ἄνδρες, καθήμενος ἡνίκα μου κατηγόρει, βλέπων εἰς αὐτὸν, οὐδὲν ἄλλο ἢ ἀπὸ τῶν τριάκοντα συνειλημμένος, ἔδοξα κρίνεσθαι.[2] Εἰ γὰρ[3] τότε ἠγωνιζόμην, τίς ἄν μου κατηγόρει; οὐχ οὗτος ὑπῆρχεν,[4] εἰ μὴ ἐδίδουν ἀργύριον; καὶ γὰρ νῦν,[5] ἀντέκρινε δ' ἄν μέ τις ἄλλος, ἢ Χαρικλῆς;[6] ἐρωτῶν· εἰπέ μοι, ὦ Ἀνδοκίδη, ἦλθες εἰς Δεκέλειαν; καὶ ἐπετείχισας τῇ πατρίδι τῇ σεαυτοῦ; Οὐκ ἔγωγε. Τί δὲ ἔτεμες τὴν χώραν, καὶ ἐλῄσω ἢ κατὰ γῆν ἢ κατὰ θάλασσαν τοὺς πολίτας τοὺς σεαυτοῦ; Οὐ δῆτα. Οὐδ' ἐναυμάχησας ἐναντία τῇ πόλει; οὐδὲ συγκατέσκαψας τὰ τείχη; οὐδὲ συγκατέλυσας τὸν δῆμον; οὐδὲ βίᾳ κατῆλθες εἰς τὴν πόλιν; οὐδὲν τούτων πεποίηκας; Οὐδέν. Δοκεῖς οὖν χαιρήσειν, ἢ οὐκ ἀποθανεῖσθαι, ὡς ἕτεροι πολλοί; Ἆρ' οἴεσθε,[7] ὦ ἄνδρες, ἄλλων τινῶν τυχεῖν δι' ὑμᾶς, εἰ ἐλήφθην ὑπ' αὐτῶν; Οὐκοῦν δεινὸν, εἰ ὑπὸ μὲν τούτων διὰ τοῦτ' ἂν ἀπωλόμην, ὅτι εἰς τὴν πόλιν οὐδὲν ἥμαρτον, ὥσπερ καὶ ἑτέρους ἀπέκτειναν· ἐν ὑμῖν δὲ κρινόμενός, οὓς οὐδὲν κακὸν πεποίηκα, οὐ σωθήσομαι; Πάντως δήπου·[8] ἢ σχολῇ γε[9] τις ἄλλος ἀνθρώπων.

§ 30. Ἀλλὰ γὰρ, ὦ ἄνδρες, τὴν μὲν ἔνδειξιν ἐποιήσαντό μου κατὰ νόμον κείμενον· τὴν δὲ κατηγορίαν, κατὰ τὸ ψήφισμα καὶ πρότερον γεγενημένον περὶ ἑτέρων. Εἰ οὖν ἐμοῦ καταψηφιεῖσθε, ὁρᾶτε, μὴ οὐκ ἐμοὶ μάλιστα τῶν πολιτῶν προσήκει λόγον δοῦναι[2] τῶν γεγενημένων, ἀλλὰ πολλοῖς ἑτέροις μᾶλλον· τοῦτο

---

§ 29. 2. Ἔδοξα κρίνεσθαι.) Ὅτε δηλονότι μου κατηγόρει, ἐγὼ καθήμενος καὶ ὁρῶν εἰς αὐτὸν, ἔννοιαν ἐλάμβανον ὅτι κρίνομαι, συνειλημμένος ὑπὸ τῶν τριάκοντα τυράννων, καὶ οὐδὲν ἐνενόουν ἄλλο ἢ τοῦτο. — 3. Εἰ γάρ.) Τούτου ἡ ἀπόδοσις ἐστὶ τὸ Ἆρ' οἴεσθαι, ὦ ἄνδρες. — 4. Ὑπῆρχεν.) Κατήγορος δηλ. — 5. Καὶ γὰρ νῦν.) Δοκεῖ ἐνταῦθα ἐλλείπειν τι· οἷον τὸ, Ὁρᾶτε οἷός ἐστι πρὸς ἐμέ· ἢ Οὗτος ὑπάρχει κατήγορος, ἀπὸ κοινοῦ. — 6. Ἢ Χαρικλῆς.) Οὗτοι γὰρ ἀνέκρινον τὸν Σωκράτην. Ἀνύτου, καὶ Μελίτου κατηγορούντων αὐτοῦ ὡς ἀσεβοῦς, διαφθείροντος τοὺς νέους. — 7. Ἆρ' οἴεσθε.) Εἰ ταῦτα ἐγίνετο, καὶ ἠγωνιζόμην τότε, ἆρα οἴεσθε. — 8. Πάντως δήπου.) Ἐλλείπει Σωθήσομαι ἐν ὑμῖν. — 9. Ἢ σχολῇ γε.) Ἢ οὐδεὶς ἄλλως ἀνθρώπων σωθήσεται ἐν ὑμῖν· εἰ μὴ ἐγὼ σωθήσομαι.

§ 30. 2. Λόγον δοῦναι.) Κριθῆναι, ἢ

μὲν,[3] οἷς ὑμεῖς ἐναντία μαχεσάμενοι[4] διηλλάγητε, καὶ ὅρκους ὠμόσατε· τοῦτο δὲ, οὓς φεύγοντας κατηγάγετε· τοῦτο δὲ, οὓς ἀτίμους ὄντας, ἐπιτίμους ἐποιήσατε. Ὧν ἕνεκα καὶ στήλας ἀνείλετε, καὶ νόμους ἀκύρους ἐποιήσατε, καὶ τὰ ψηφίσματα ἐξηλείψατε· οἱ νυνὶ μένουσιν ἐν τῇ πόλει πιστεύοντες ὑμῖν, ὦ ἄνδρες. Εἰ οὖν γνώσονται ὑμᾶς ἀποδεχομένους τὰς κατηγορίας τῶν πρότερον γεγενημένων, τίνα αὐτοὺς οἴεσθε γνώμην ἕξειν περὶ σφῶν αὐτῶν; ἢ τίνα αὐτῶν ἐθελήσειν εἰς ἀγῶνας καθίστασθαι ἕνεκα τῶν πρότερον γεγενημένων; Φανήσονται γὰρ πολλοὶ μὲν ἐχθροί, πολλοὶ δὲ συκοφάνται, οἳ καταστήσουσιν αὐτῶν ἕκαστον εἰς ἀγῶνα. Ἥκουσι δὲ νυνὶ ἀκροασόμενοι ἀμφότεροι,[5] οὐ τὴν αὐτὴν γνώμην ἔχοντες ἀλλήλοις· ἀλλ' οἱ μὲν,[6] εἰσόμενοι, εἰ χρὴ πιστεύειν τοῖς νόμοις τοῖς κειμένοις, καὶ τοῖς ὅρκοις, οὓς ὠμόσατε ἀλλήλοις· οἱ δὲ, ἀποπειρώμενοι τῆς ἡμετέρας γνώμης, εἰ αὐτοὺς ἐξέσται ἀδεῶς συκοφαντεῖν καὶ γράφεσθαι, τοὺς δὲ ἐνδεικνύναι, τοὺς δὲ ἀπάγειν. Οὕτως οὖν ἔχει, ὦ ἄνδρες· ὁ μὲν ἀγὼν ἐν τῷ σώματι τῷ ἐμῷ καθέστηκεν, ἡ δὲ ψῆφος ἡ ὑμετέρα δημοσίᾳ κρίνει, πότερον χρὴ τοῖς νόμοις τοῖς ὑμετέροις πιστεύειν, ἢ τοὺς συκοφάντας παρασκευάζεσθαι, ἢ φεύγειν αὐτοὺς ἐκ τῆς πόλεως καὶ ἀπιέναι ὡς τάχιστα.

§ 31. Ἵνα δὲ εἰδῆτε, ὦ ἄνδρες, ὅτι τὰ πεποιημένα ὑμῖν εἰς ὁμόνοιαν, οὐ κακῶς ἔχει, ἀλλὰ τὰ προσήκοντα καὶ τὰ συμφέροντα ὑμῖν αὐτοῖς ἐποιήσατε, βραχέα βούλομαι καὶ περὶ τούτων εἰπεῖν. Οἱ γὰρ πατέρες οἱ ὑμέτεροι, γενομένων τῇ πόλει κακῶν μεγάλων, ὅτε οἱ τύραννοι[2] μὲν εἶχον τὴν πόλιν, ὁ δὲ δῆμος ἔφυγε, νικήσαντες μαχόμενοι τοὺς τυράννους ἐπὶ Παλληνίῳ, στρατηγοῦντος Λεωγόρου τοῦ προπάππου τοῦ ἐμοῦ, καὶ Χαρίου, οὗ ἐκεῖνος τὴν θυγατέρα εἶχεν, ἐξ ἧς ὁ ἡμέτερος ἦν πάππος, κατελθόντες εἰς τὴν πατρίδα, τοὺς μὲν ἀπέκτειναν, τῶν δὲ φυγὴν κατέγνωσαν· τοὺς δὲ, μένειν ἐν τῇ πόλει ἐάσαντες, ἠτίμωσαν. Ὕστερον δὲ, ἡνίκα βασιλεὺς[3] ἐπεστράτευσεν ἐπὶ τὴν Ἑλλάδα, γνόντες τῶν συμφορῶν τῶν ἐπιουσῶν τὸ μέγεθος, καὶ τὴν παρασκευὴν

---

ἀπολογηθῆναι. — 3. Τοῦτο μὲν, τοῦτο δέ.) Κατὰ παρολκὴν κεῖται ἀντὶ ἁπλῶς τοῦ Μὲν, καὶ Δὲ, οἷον· λόγον δοῦναι ἐκείνοις τε οἷς μαχεσάμενοι διηλλάγητε, καὶ ἐκείνοις οὓς καὶ τλ. ἔστι, δέ τοι τὸ Τοῦτο ἐλλειπτικὸν τῆς Κατά. — 4. Οἷς . . . μαχεσάμενοι.) Τοὺς μετὰ Θρασυβούλου ἐκ τοῦ Πειραιῶς ἀνελθόντας εἰς τὸ ἄστυ λέγει. — 5. Ἀμφότεροι.) Καὶ οἱ συκοφάνται, καὶ οἱ φοβούμενοι τούτους. — 6. Ἀλλ' οἱ μέν.) Φοβούμενοι τοὺς συκοφάντας.

§ 31. 2. Οἱ τύραννοι.) Περὶ τῶν Πεισιστρατιδῶν λέγει Ἱππίου, καὶ Ἱππάρχου· ὧν ὁ μὲν Ἵππαρχος ἐφονεύθη ὑπὸ Ἁρμοδίου καὶ Ἀριστογείτωνος, ὁ δὲ Ἱππίας ἐφυγαδεύθη σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ. — 3. Βασιλεύς.) Ὁ Ξέρξης δηλαδή, βασιλεὺς Περσῶν· οὕτω γὰρ σύνηθες τοῖς Ἕλλησι χρῆσθαι τὸ ὀνόματι

τοῦ βασιλέως, ἔγνωσαν τούς τε φυγόντας καταδέξασθαι, καὶ τοὺς ἀτίμους ἐπιτίμους ποιῆσαι, καὶ κοινὴν τήν τε σωτηρίαν, καὶ τοὺς κινδύνους ποιήσασθαι. Πράξαντες δὲ ταῦτα, καὶ δόντες ἀλλήλοις πίστεις καὶ ὅρκους μεγάλους, ἠξίουν σφᾶς αὐτοὺς προτάξαντας πρὸ τῶν Ἑλλήνων ἁπάντων ἀπαντῆσαι τοῖς Βαρβάροις Μαραθῶνάδε· νομίσαντες τὴν σφετέραν αὐτῶν ἀρετὴν ἱκανὴν εἶναι τῷ πλήθει τῷ ἐκείνων ἀντιτάξασθαι. Μαχεσάμενοί τε ἐνίκων, καὶ τήν τε Ἑλλάδα ἠλευθέρωσαν, καὶ τὴν πατρίδα ἔσωσαν. Ἔργον δὲ τοιοῦτον ἐργασάμενοι, οὐκ ἠξίωσάν τινι τῶν πρότερον γενομένων μνησικακῆσαι. Τοιγάρτοι διὰ ταῦτα τὴν πόλιν ἀνάστατον παραλαβόντες, ἱερά τε κατακεκαυμένα, τείχη τε καὶ οἰκίας καταπεπτωκυίας, ἀφορμὴν τε οὐδεμίαν ἔχοντες, διὰ τὸ ἀλλήλοις ὁμονοεῖν, τὴν ἀρχὴν τῶν Ἑλλήνων κατειργάσαντο, καὶ τὴν πόλιν ὑμῖν τοιαύτην καὶ τοσαύτην παρέδωσαν. Ὑμεῖς οὖν καὶ αὐτοὶ ὕστερον, κακῶν οὐκ ἐλαττόνων ἢ ἐκείνοις γεγενημένων, ἀγαθοὶ ἐξ ἀγαθῶν ὄντες, ἀπέδοτε τὴν ὑπάρχουσαν ἀρετήν. Ἠξιώσατε γὰρ τούς τε φεύγοντας καταδέξασθαι, καὶ τοὺς ἀτίμους ἐπιτίμους ποιῆσαι. Τί οὖν ὑμῖν ὑπόλοιπόν ἐστι τῆς ἐκείνων ἀρετῆς; μὴ μνησικακῆσαι, εἰδότας, ὦ ἄνδρες, ὅτι ἡ πόλις ἐκ πολὺ ἐλάττονος ἀφορμῆς ἐν τῷ ἔμπροσθεν χρόνῳ μεγάλη καὶ εὐδαίμων ἐγένετο· ἃ νῦν αὐτῇ ὑπάρχει, εἰ ἐθέλοιμεν οἱ πολῖται σωφρονεῖν τε καὶ ὁμονοεῖν ἀλλήλοις.

§ 32. Κατηγόρησαν δέ μου καὶ περὶ τῆς ἱκετηρίας,[2] ὡς καταθείην ἐγὼ ἐν τῷ Ἐλευσινίῳ· νόμος δὲ ἦν πάτριος, ὃς ἂν θῇ ἱκετηρίαν μυστηρίοις, τεθνάναι. Καὶ οὕτως εἰσὶ τολμηροί, ὥσθ' ἃ αὐτοὶ κατεσκεύασαν, οὐκ ἀρκεῖ αὐτοῖς, ὅτι οὐ κατέσχον, ἃ ἐπεβούλευσαν,[3] ἀλλὰ καὶ κατηγορίαν ἐμοῦ ποιοῦνται ὡς ἀδικοῦντος. Ἐπειδὴ γὰρ ἤλθομεν Ἐλευσινόθεν, καὶ ἡ ἔνδειξις ἐγεγένητο, προσῄει ὁ βασιλεὺς[4] περὶ τῶν γεγενημένων ἐν Ἐλευσῖνι κατὰ τὴν τελετήν, ὥσπερ ἔθος ἐστίν. Οἱ δὲ πρυτάνεις προσάξειν ἔφασαν αὐτὸν πρὸς τὴν βουλήν, ἀπαγγεῖλαι τ' ἐκέλευον ἐμοί τε καὶ Κηφισίῳ παρεῖναι εἰς τὸ Ἐλευσίνιον. Ἡ γὰρ βουλὴ ἐκεῖ καθεδεῖσθαι ἔμελλε, κατὰ τὸν Σόλωνος νόμον, ὃς κελεύει τῇ ὑστεραίᾳ τῶν μυστηρίων ἕδραν ποιεῖν ἐν τῷ Ἐλευσινίῳ. Καὶ παρῆμεν κατὰ

---

Βασιλεὺς καὶ δηλοῦν τὸν βασιλέα τῶν Περσῶν.

§ 32. 2. Ἱκετηρίας.) Ἱκετηρία ἐστὶ κλάδος ἐλαίας ἐρίῳ πεπλεγμένος, ὃν οἱ δεόμενοι κατετίθεντό που, ἢ μετὰ χεῖρας εἶχον. Βαρῖνος. — 3. Ἃ ἐπεβούλευσαν.) Περιττὸν δοκεῖ ταῦτο· θεραπεύεται δὲ κατ' ἐπεξήγησιν ληφθέν· οἷον· ὥστε οὐκ ἀρκεῖ αὐτοῖς ὅτι οὐ κατέσχον ἃ κατεσκεύασαν, ὅπερ ἐστὶν ἃ ἐπεβούλευσαν ἐμοί, ἀλλὰ καὶ κατηγοροῦσιν ὡς ἀδικοῦντος. — 4. Προσῄει ὁ βασιλεύς.) Ἐλλείπει, πρὸς τοὺς πρυτάνεις ἀναφέρων

τὰ προειρημένα· καὶ ἡ βουλὴ ἐπειδὴ ἦν πλήρης, ἀναστὰς Καλλίας ὁ Ἱππονίκου τὴν σκευὴν ἔχων,[5] λέγει, ὅτι ἱκετηρία κεῖται ἐπὶ τοῦ βωμοῦ· καὶ ἔδειξεν[6] αὐτοῖς, τίς τὴν ἱκετηρίαν καταθείη, καὶ οὐδεὶς ὑπήκουεν. Ὑμεῖς δὲ περιέστημεν· καὶ οὗτος[7] ὑμᾶς ἑώρα. Ἐπειδὴ δὲ οὐδεὶς ὑπήκουεν, καὶ ᾤχετο[8] εἰσιὼν, ἐπεξελθὼν Εὐκλῆς οὑτοσί.[9] Καί μοι κάλει αὐτόν. Πρῶτα μὲν οὖν ταῦτα εἰ ἀληθῆ λέγω, μαρτύρησον, Εὔκλεις. Μαρτυρία.

§ 33. Ὡς μὲν ἀληθῆ λέγω μεμαρτύρηται· πολὺ δέ μοι δοκεῖ τὸ ἐναντίον εἶναι, ἢ οἱ κατήγοροι εἶπον. Ἔλεξαν γάρ, εἰ μέμνησθε, ὅτι αὐτὼ μὲν τὼ θεὼ περιαγάγοιεν,[2] ὥστε θεῖναι τὴν ἱκετηρίαν μὴ εἰδότα τὸν νόμον, ἵνα δῶ[3] δίκην. Ἐγὼ δὲ, ὦ ἄνδρες, εἰ ὡς μάλιστα ἀληθῆ λέγουσιν οἱ κατήγοροι, ὑπ' αὐτοῖν με φημὶ τοῖν θεοῖν[4] σεσῶσθαι. Εἰ γὰρ ἔθηκα μὲν τὴν ἱκετηρίαν, ὑπήκουσα δὲ μή, ἄλλο τι ἢ[5] αὐτὸς μὲν αὑτὸν[6] ἀπώλλυον, τιθεὶς τὴν ἱκετηρίαν, ἐσωζόμην δὲ τῇ τύχῃ, διὰ τὸ μὴ ὑπακοῦσαι, δηλονότι διὰ τὼ θεώ;[7] Εἰ γὰρ ἐβουληθήτην με ἀπολεῖν καὶ τὼ θεὼ, ἐχρῆν δήπου καὶ θέντα με τὴν ἱκετηρίαν ὁμολογῆσαι. Ἀλλ' οὔτε ὑπήκουσα, οὔτ' ἔθηκα. Ἐπειδὴ δ' ἔλεγε τῇ βουλῇ Εὐκλῆς, ὅτι οὐδεὶς ὑπακούει, πάλιν ὁ Καλλίας στὰς ἔλεγεν, ὅτι εἴη νόμος πάτριος, εἴτις ἱκετηρίαν θείη ἐν τῷ Ἐλευσινίῳ, ἄκριτον ἀποθανεῖν· καὶ ὁ πατήρ ποτ' αὐτοῦ Ἱππόνικος ἐξηγήσατο ταῦτα Ἀθηναίοις. Ἀκούσειε δὲ, ὅτι ἐγὼ θείην τὴν ἱκετηρίαν. Ἐντεῦθεν ἀναπηδᾷ Κέφαλος οὑτοσί, καὶ λέγει· Ὦ Καλλία, πάντων ἀνθρώπων ἀνοσιώτατε, πρῶτον μὲν ἐξηγῇ κηρύκων, ὧν οὐχ ὅσιόν σοι[8] ἐξηγεῖσθαι· ἔπειτα δὴ νόμον πάτριον λέγεις.[9] Ἡ δὲ στήλη, παρ' ᾗ ἕστηκας, χιλίας δραχμὰς κελεύει ὀφείλειν ἐάν τις ἱκετηρίαν θῇ ἐν τῷ Ἐλευσινίῳ. Ἔπειτα δὲ τίνος ἤκουσας, ὅτι Ἀνδοκίδης θείη τὴν ἱκετηρίαν; κάλεσον αὐτὸν[10] τῇ βουλῇ, ἵνα καὶ ἡμεῖς ἀκούσωμεν.

---

πρὸς αὐτοὺς περὶ τῶν γεγενημ. — 5. Τὴν σκευὴν ἔχων.) Τὴν Ἱερὰν δηλονότι στολὴν· καθὰ Ἱεροφάντης. — 6. Καὶ ἔδειξεν.) Καὶ ἔδειξε δηλαδὴ αὐτοῖς κειμένην ἐπὶ τοῦ βωμοῦ τὴν ἱκετηρίαν, ἐρωτῶν· τίς τὴν ἱκετηρ. — 7. Καὶ οὗτος.) Ὁ Κηφίσιος δηλ. — 8. Καὶ ᾤχετο.) Καλλίας δηλ. — 9. Εὐκλῆς οὑτοσί.) Ἐννοεῖται Ἔλεγεν, διὰ γὰρ γοργότητα παρέλιπε τὸ ῥῆμα κατὰ παρασιώπησιν· ὅτε δὲ Ἔλεγεν ἐννοεῖται φανερὸν, ἐκ τοῦ ἑξῆς ἔνθα λέγει, ἐπειδὴ δ' ἔλεγε τῇ βουλῇ Εὐκλῆς.

§ 33. 2. Αὐτὼ μὲν τὼ θεὼ περιαγάγοιεν.) Δυϊκὸν πρὸς ῥῆμα πληθυντικὸν διὰ τὸ σημαίνειν πλῆθος καὶ τὰ δυϊκά. — 3. Δῶ.) Ἄνευ ὑπογεγραμμένης ὡς πρωτοπροσωποῦν. — 4. Ὑπ' αὐτοῖν .... τοῖν θεοῖν.) Ἀντὶ Ὑπ' αὐταῖν ταῖν θεαῖν· ἔστι δὲ Ἀττικὸν τὸ χρῆσθαι ἀρσενικοῖς δυϊκοῖς ἀντὶ θηλυκῶν. — 5. Ἄλλο τι ἤ.) Ἄλλο τι δηλονότι ἐποίουν, ἤ. — 6. Αὐτὸς μὲν αὐτόν.) Τὸ Αὐτὸν ἀντὶ Ἐμαυτὸν, ἀλλὰ σπανιώτατον τοῦτο. — 7. Διὰ τὼ θεώ.) Πρὸς τὸ Ἀπώλλυον ἀναφέρεται· ἤτοι· Ἢ ἀπώλλυον αὐτὸς ἐμαυτὸν δηλονότι διὰ τὼ θεώ. — 8. Οὐχ ὅσιόν σοι.) Ἱεροφάντῃ ὄντι τὰ τῶν κηρύκων πράττειν. — 9. Λέγεις.) Ψευδῶς δηλαδή. — 10. Αὐτόν.) Οὐ φῂς οὐκ ἀκηκοέναι λέγοντος.

Ἐπειδὴ δὲ ἀνεγνώσθη ἡ στήλη, κἀκεῖνος οὐκ εἶχεν εἰπεῖν, ὅτου ἤκουσε, καταφανὴς ἦν τῇ βουλῇ αὐτός τι θεὶς τὴν ἱκετηρίαν.

34. Φέρε δὴ τοίνυν, ὦ ἄνδρες, (τάχα γὰρ ἂν αὐτὸ βούλεσθε πυθέσθαι.) Ὁ δὲ Καλλίας τί βουλόμενος ἐτίθη τὴν ἱκετηρίαν; Ἐγὼ δὲ ὑμῖν διηγήσομαι, ὧν ὑπ' αὐτοῦ ἕνεκα ἐπεβουλεύθην. Ἐπίλυκος ἦν ὁ Τισάνδρου, θεῖός μοι, ἀδελφὸς τῆς μητρὸς τῆς ἐμῆς. Ἀπέθανε δὲ ἐν Σικελίᾳ ἄπαις ἀῤῥένων παίδων, θυγατέρας δὲ δύο καταλιπών, αἳ ἐγίνοντο εἴς τε ἐμὲ καὶ Λέαγρον. Τὰ δὲ πράγματα τὰ οἴκοι πονήρως εἶχε. Τὴν μὲν γὰρ φανερὰν οὐσίαν οὐδὲ δυοῖν ταλάντοιν κατέλιπε, τὰ δὲ ὀφειλόμενα πλέον ἦν ἢ πέντε τάλαντα. Ὅμως δ' ἐγὼ καλέσας Λέαγρον ἐναντίον τῶν φίλων, ἔλεγον, ὅτι ταῦτ' εἴη ἀνδρῶν ἀγαθῶν, ἐν τοῖς τοιούτοις δεικνῦναι τὰς οἰκειότητας ἀλλήλοις. Ἡμᾶς γὰρ οὐ δίκαιόν ἐστιν οὔτε χρήματα ἕτερα,[2] οὔτ' εὐτυχίαν ἀνδρὸς[3] ἑλέσθαι, ὥστε καταφρονῆσαι τῶν Ἐπιλύκου θυγατέρων. Καὶ γὰρ εἰ ἔζη Ἐπίλυκος, ἢ τεθνεὼς πολλὰ κατέλιπε χρήματα, ἀξιοῦμεν ἄν, γένει ὄντες ἐγγυτάτω, ἔχειν τὰς παῖδας. Τοί γάρ τοι ἐκεῖνα μὲν δι' Ἐπίλυκον ἂν ἦν, ἢ διὰ τὰ χρήματα· νῦν δὲ διὰ τὴν ἡμετέραν ἀρετὴν τάδε ἔσται. Τῆς μὲν οὖν σὺ ἐπιδικάζου,[4] τῆς δ' ἐγώ. Ὡμολόγησέ μοι, ὦ ἄνδρες· ἐπιδικασάμεθα ἄμφω, κατὰ τὴν πρὸς ἡμᾶς ὁμολογίαν. Καὶ ἧς μὲν ἐγὼ ἐπεδικασάμην, ἡ παῖς τύχῃ χρησαμένη, καμοῦσα ἀπέθανεν· ἡδ' ἑτέρα ἔστιν ἔτι. Ταύτην Καλλίας ἔπειθε Λέαγρον, χρήματα ὑπισχνούμενος, ἐᾶν αὐτὸν λαβεῖν· αἰσθόμενος δ' ἐγώ, εὐθὺς ἔθηκα παράστασιν.[5] Καὶ ἔλαχον προτέρῳ μὲν Λεάγρῳ, ὅτι εἰ μὲν σὺ βούλει ἐπιδικάζεσθαι, ἔχε τύχῃ ἀγαθῇ· εἰδὲ μή, ἐγὼ ἐπιδικάσομαι. Γνοὺς ταῦτα Καλλίας λαγχάνει τῷ υἱεῖ τῷ ἑαυτοῦ τῆς ἐπικλήρου,[6] τῇ δεκάτῃ ἱσταμένου, ἵνα μὴ δικάσωμαι ἐγὼ· ταῖς δ' εἰκάσι, μυστηρίοις τούτοις,[7] δοὺς Κηφισίῳ χιλίας δραχμάς,

§ 34. 2. Οὔτε χρήματα ἕτερα.) Ὅπερ ἐστιν· ἄλλην Γυναῖκα πλουσίαν. — 3. Εὐτυχίαν ἀνδρός.) Πλοῦτον δηλ. ἄλλου τινὸς πενθεροῦ τῶν πλουσίων. — 4. Ἐπιδικάζου.) Ἐπίδικός ἐστιν ἡ ἀμφισβητουμένη κόρη· ὀρφανὴ ἐγκαταλελυμένη, μὴ ὄντος αὐτῇ ἀδελφοῦ, οὕτω χρὴ γραφθῆναι· ἣν δὲ ἀπορουμένην ἐξεδίδοσαν οἱ ἄγχιστα γένους, πέντε μνᾶς ἐπιδιδόντες. Βαρῖνος, ἐν τῷ Ἐπίδικος. — 5. Παράστασιν.) Παράστασίς ἐστι δραχμὴ καταβαλλομένη ὑπὸ τῶν δικαζομένων τὰς ἰδίας δίκας. Βαρῖνος. — 6. Τῆς ἐπικλήρου.) Ἐπίκληρος λέγεται, ὅταν παῖς ὀρφανὴ πατρὸς καὶ ἀδελφῶν ἔρημος οὖσα, ἐπὶ παντὶ τῷ κλήρῳ ἐστί. Βαρῖνος. Ἐπίδικος, καὶ Ἐπίκληρος. — 7. Μυστηρίοις τούτοις.) Ἐν τοῖς μυστηρίοις τούτοις, ὅτε δηλαδὴ ἐγίνοντο τὰ μυστήρια· ταῦτα γὰρ ἤγοντο κατὰ τὴν 15 Βοηδρομιῶνος ἀντεξεταζομένου τῷ καθ' ἡμᾶς Σεπτεμβρίῳ. ἐν ἡμέραις ἐννέα, ἐν Ἐλευσῖνι εἰς τιμὴν Δήμητρος καὶ Περσεφόνης, τῆς θυγατρός· τὰς πρώτας τέσσαρας ἡμέρας ἔθυον, καὶ ἐποίουν τινὰς τελετὰς κατὰ μέρους· τὴν πέμπτην ἐλαμπαδοφόρουν· τῇ ἕκτῃ ἔθυον τῷ Διονύσῳ, στέφοντες τὸ ἄγαλμα μυρσίναις, λιτανεύοντες ἀπὸ τοῦ Κεραμικοῦ μέχρι Ἐλευσῖνος διὰ τῆς πόλεως ὁδεύοντες· ᾄδοντες ἐν τῇ ὁδῷ, καὶ χορεύοντες· τῇ ἑβδόμῃ ἐτίθεσαν ἀγῶνας γυμνικούς· ταῖς δὲ λοιπαῖς δυσὶ ἐν τελεταῖς διῆγον μερικαῖς

ἐνδείκνυσί με, καὶ εἰς τὸν ἀγῶνα τοῦτον καθίστησιν. Ἐπειδὴ δ' ἑώρα με ὑπομένοντα, τίθησι τὴν ἱκετηρίαν, ὡς ἐμὲ μὲν ἀποκτενῶν ἄκριτον, ἢ ἐξελὼν, αὐτὸς δὲ πείσων Λέαγρον χρήμασι, συνοικήσων τῇ Ἐπιλύκου θυγατρί. Ἐπειδὴ δ' οὕτως ἑώρα ἄνευ ἀγῶνος ἐσόμενα τὰ πράγματα, τότε δὴ προσιὼν Λυσίστρατον ἡγεμόνα, Ἐπιχάρη, ὁρῶν φίλους[8] ὄντας ἐμοὶ χρωμένους. Εἰς τοῦτο βδελυρίας ἦλθε καὶ παρανομίας, ὥστ' ἔλεγε πρὸς τούτους, ὡς, εἰ ἔτι καὶ νῦν βουλοίμην ἀποστῆναι τῆς Ἐπιλύκου θυγατρὸς, ἕτοιμος εἴη παύσασθαί με κακῶς ποιῶν· ἀπαλλάξαι δὲ Κηφίσιον, δίκην δ' ἐν τοῖς φίλοις[9] δοῦναί μου τῶν πεποιημένων. Εἶπον αὐτῷ[10] καὶ κατηγορεῖν καὶ παρασκευάζειν ἄλλους. Εἶθ', ἐγὼ αὐτὸν ἀποφθέγξομαι, καὶ γνώσονται Ἀθηναῖοι περὶ ἐμοῦ τὰ δίκαια, καὶ ἐγὼ αὐτὸν οἴομαι περὶ τοῦ σώματος τοῦ ἑαυτοῦ ἐν τῷ μέρει κινδυνεύσειν. Ἅπερ αὐτῷ οὐ ψεύσομαι,[11] ἐὰν ὑμῖν, ὦ ἄνδρες, δοκῇ. Ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τοὺς μάρτυρας. Μάρτυρες.

§ 35. Ἀλλὰ γὰρ τὸν υἱὸν αὐτοῦ τοῦτον, ὃν λαχεῖν ἠξίωσε τῆς Ἐπιλύκου θυγατρὸς, σκέψασθε, πῶς γέγονε, καὶ πῶς ἐποιήσατ' αὐτόν. Ταῦτα γὰρ καὶ ἄξιον ἀκοῦσαι, ὦ ἄνδρες. Γαμεῖ μὲν Ἰσχομάχου θυγατέρα· ταύτῃ δὲ συνοικήσας οὐδ' ἐνιαυτὸν, τὴν μητέρα αὐτῆς ἔλαβε· καὶ συνῴκει ὁ πάντων σχετλιώτατος ἀνθρώπων τῇ μητρὶ καὶ τῇ θυγατρί, ἱερεὺς ὢν[2] τῆς μητρὸς καὶ τῆς θυγατρός· καὶ εἶχεν ἐν τῇ οἰκίᾳ ἀμφοτέρας. Καὶ οὗτος μὲν οὐκ ᾐσχύνθη, οὐδ' ἔδεισε τὼ θεώ. Ἡ δὲ Ἰσχομάχου θυγάτηρ τεθνάναι νομίσασα λυσιτελεῖν, ἢ ζῆν ὁρῶσα τὰ γενόμενα, ἀπαγχομένη μεταξὺ κατεκλίθη· καὶ ἐπειδὴ ἀνεβίω, ἀποδράσασα ἐκ τῆς οἰκίας ᾤχετο, καὶ ἐξήλασεν ἡ μήτηρ τὴν θυγατέρα. Ταύτης δ' αὖ διαπεπλησμένος, ἐξέβαλε καὶ ταύτην. Ἡ δ' ἔφη κύειν ἐξ αὐτοῦ· καὶ ἐπειδὴ ἔτεκεν υἱὸν, ἔξαρνος ἦν μὴ εἶναι ἐξ αὐτοῦ τὸ παιδίον· λαβόντες δὲ οἱ προσήκοντες τῇ γυναικὶ τὸ παιδίον, ἧκουν ἐπὶ τὸν βωμὸν Ἀπατουρίοις, ἔχοντες ἱερεῖον, καὶ ἐκέλευον κατάρξασθε τὸν Καλλίαν. Ὁ δ' ἠρώτα τίνος εἴη τὸ παιδίον· ἔλεγον, Καλλίου τοῦ Ἱππονίκου. Ἐγώ εἰμι οὗτος· καὶ ἔστι γε σὸν τὸ παιδίον. Λαβόμενος τοῦ βωμοῦ ὤμοσεν ἦ μὴν μὴ εἶναι υἱὸν ἄλλον, μηδὲ γενέσθαι πώποτε, εἰμὶ Ἱππόνικον ἐκ τῆς Γλαύκωνος θυγατρός· ἢ

κἀντεῦθεν δῆλον ὅτι ἀπὸ τῆς ἑνδεκάτης ἀρχόμενοι μέχρι τῆς εἰκοστῆς ἐνησχολοῦντο εἰς τὴν ἑορτὴν ταύτην. — 8. Ὁρῶν φίλους.) Τοῦτο δέ ἐστιν ὡσανεὶ ἔλεγεν· ὁρῶν αὐτοὺς ἐμοὶ χρωμένους διὰ τὸ εἶναί μοι φίλους. — 9. Δίκην δ' ἐν τοῖς φίλοις.) Καὶ κολασθῆναι ἐν τοῖς φίλοις ὑπὲρ ὧν ἔπραξε κατ' ἐμοῦ — 10. Εἶπον αὐτῷ.) Ἐγὼ δὲ ἀπεκρίθην πρὸς ταῦτα αὐτῷ· ἀσυνδέτως διὰ τὸ περιπαθές. — 11. Ἅπερ αὐτῷ οὐ ψεύσομαι.) Ταῦτα δὲ λέγων αὐτῷ οὐ ψεύσομαι.

§ 35. 2. Ἱερεὺς ὢν.) Ἦν γὰρ Καλλίας ἱερεὺς Δήμητρος, καὶ Περσεφόνης μητρὸς δηλονότι καὶ θυγατρός.

ἐξώλη εἶναι καὶ αὐτὸν καὶ τὴν οἰκίαν, ὥσπερ ἔσται. Μετὰ ταῦτα τοίνυν, ὦ ἄνδρες, ὑστέρῳ πάλιν χρόνῳ τῆς γραὸς τολμηροτάτης γυναικὸς ἀνηράσθη, καὶ κομίζεται αὐτὴν εἰς τὴν οἰκίαν· καὶ τὸν παῖδα ἤδη μέγαν ὄντα, εἰσάγει εἰς κήρυκας, φάσκων εἶναι υἱὸν αὐτοῦ· ἀντεῖπε μὲν Καλλίδης μὴ εἰσδέξασθαι, ἐψηφίσαντο δὲ οἱ κήρυκες κατὰ τὸν νόμον, ὅς ἐστιν, αὐτὸν τὸν πατέρα ὀμόσαντα εἰσάγειν· ἦ μὴν υἱὸν οὕτως ἑαυτοῦ εἰσάγειν. Λαβόμενος τοῦ βωμοῦ ὤμοσεν ἦ μὴν τὸν παῖδα ἑαυτοῦ εἶναι γνήσιον, ἐκ Χρυσιάδος γεγονότα· ὃν ἀπώμοσε. Καί μοι τούτων ἁπάντων τοὺς μάρτυρας κάλει. Μάρτυρες.

§ 36. Φέρε δὴ τοίνυν, ὦ ἄνδρες, σκεψώμεθα, εἴποτε ἐν Ἕλλησι πρᾶγμα τοιοῦτον ἐγένετο, ὅπου γυναῖκά τις γήμας, ἐπέγημε τῇ θυγατρὶ τὴν μητέρα, καὶ ἐξήλασεν ἡ μήτηρ τὴν θυγατέρα· ταύτῃ δὲ συνοικῶν, βούλεται τὴν Ἐπιλύκου θυγατέρα λαβεῖν, ἵν' ἐξελάσῃ τὴν τήθην ἡ θυγατριδῆ. Ἀλλὰ γὰρ τῷ παιδίῳ αὐτοῦ τί χρὴ τοὔνομα θέσθαι; Οἶμαι γὰρ ἔγωγε οὐδένα οὕτως ἀγαθὸν εἶναι λογίζεσθαι, ὅς τις ἐξευρήσει τοὔνομα αὐτοῦ. Τριῶν γὰρ οὐσῶν γυναικῶν, αἷς συνῳκηκὼς ἔσται ὁ πατὴρ αὐτοῦ, τῆς μὲν υἱός ἐστιν, ὥς φησι, τῆς δ' ἀδελφὸς, τῆς δὲ θεῖος. Τίς ἂν εἴη οὗτος; Οἰδίπους, ἢ Αἴγισθος;[2] ἢ τί χρὴ αὐτὸν ὀνομάσαι; Ἀλλὰ γὰρ, ὦ ἄνδρες, βραχύ τι ὑμᾶς ἀναμνῆσαι περὶ Καλλίου βούλομαι. Εἰ γὰρ μέμνησθε, ὅτε ἡ πόλις ἦρχε τῶν Ἑλλήνων, καὶ εὐδαιμόνει μάλιστα, Ἱππόνικος δὲ ἦν πλουσιώτατος τῶν Ἑλλήνων, τότε μέντοι πάντες ἴστε, ὅτι παρὰ τοῖς παιδαρίοις τοῖς μικροτάτοις καὶ τοῖς γυναίοις κληδὼν ἐν ἁπάσῃ τῇ πόλει κατέσχεν, ὅτι Ἱππόνικος ἐν τῇ οἰκίᾳ ἀλιτήριον[3] τρέφει, ὃς αὐτοῦ τὴν τράπεζαν ἀνατρέπει. Μέμνησθε ταῦτα, ὦ ἄνδρες. Πῶς οὖν ἡ φήμη ἡ τότε οὖσα δοκεῖ ὑμῖν ἀποβῆναι; Οἰόμενος γὰρ Ἱππόνικος υἱὸν αὐτῷ τρέφειν, ἀλιτήριον αὐτῷ ἔτρεφεν· ὃς ἀνατέτροφεν ἐκείνου τὸν πλοῦτον, τὴν σωφροσύνην, τὸν ἄλλον βίον ἅπαντα. Οὕτως οὖν χρὴ περὶ τούτου γινώσκειν, ὡς ὄντος Ἱππονίκου ἀλιτηρίου!

§ 37. Ἀλλὰ γὰρ, ὦ ἄνδρες, διὰ τί ποτε τοῖς ἐμοὶ νυνὶ ἐπιτιθεμένοις μετὰ Καλλίου, καὶ συμπαρασκευάσασι τὸν ἀγῶνα, καὶ χρήματα εἰσενεγκοῦσιν ἐπ' ἐμοὶ, τρία μὲν ἔτη ἐπιδημῶν καὶ

§ 36. 2. Οἰδίπους ἢ Αἴγισθος;) Ὁ μὲν γὰρ Οἰδίπους ἄκων καὶ μὴ εἰδὼς, τὸν μὲν πατέρα Λάϊον ἐφόνευσε, τὴν δὲ μητέρα Ἰοκάστην ἔγημεν, ἐξ ἧς ἔτεκε Πολυνείκη, καὶ Ἐτεοκλέα. Αἴγισθος δὲ τὸν πατέρα καὶ Θυέστην ἐφόνευσε. — 3. Ἀλιτήριον.) Λιμὸς κατέλαβέ ποτε Ἀθηναίους, καὶ οἱ πένητες τὰ τῶν ἀπωλούντων ἄλευρα διήρπαζον· ἀπὸ γοῦν ἐκείνων καταχρηστικῶς τοὺς πονηροὺς ἀλιτηρίους ἐκάλουν· παρέτεινε δὲ τὸ ὄνομα καὶ ἐπὶ τῶν μετὰ βίας τι ποιούντων, ἀπὸ σιτοδοσίας τῆς κατὰ τὸν Αἰτωλικὸν πόλεμον γενομένης. Βαρῖνος.

ἥκων ἐκ Κύπρου, οὐκ ἀσεβεῖν ἐδόκουν αὐτοῖς, μυῶν μὲν ἀδελφὸν, ἔτι δὲ ἄλλους ξένους ἐμαυτοῦ, καὶ εἰσιὼν εἰς τὸ Ἐλευσίνιον, καὶ θύων ὥσπερ ἐμαυτὸν ἄξιον νομίζω εἶναι· ἀλλὰ τοὐναντίον λειτουργεῖν οὗτοι προὐβάλλοντο, πρῶτον μὲν γυμνασιαρχον Ἡφαιστείοις, ἔπειτα ἀρχιθέωρον εἰς Ισθμὸν καὶ Ὀλυμπιάζε· εἶτα δὲ ταμίαν ἐν πόλει τῶν ἱερῶν χρημάτων· νῦν δὲ ἀσεβῶ καὶ ἀδικῶ εἰσιὼν εἰς τὰ Ἱερά. Ἐγὼ ὑμῖν ἐρῶ, διότι οὗτοι ταῦτα νῦν γινώσκουσιν· Ἀγύρριος γὰρ οὑτοσί, ὁ καλὸς κἀγαθὸς ἄρχων, εἰς ἐγένετο τῆς πεντηκοστῆς[2] τρίτον ἔτος, καὶ ἐπρίατο τριάκοντα ταλάντων. Μετέσχον δ' αὐτοὶ οὗτοι πάντες οἱ παρασυλλεγέντες ὑπὸ τὴν λευκὴν τὸ, πόσους ὑμεῖς ἴστε οἷοι εἰσίν· οἳ διὰ τοῦτο ἔμοι γε δοκοῦσι συλλεγῆναι ἐκεῖσε, ἵν' αὐτοῖς ἀμφότερα ᾖ,[3] καὶ μὴ ὑπερβάλλουσι λαβεῖν ἀργύριον, καὶ ὀλίγου πραθείσης μετασχεῖν. Κερδάναντες δὲ δύο τάλαντα, γνῶναι τὸ πρᾶγμα οἷον εἴη, ὡς πολλοῦ ἄξιον, συνέστησαν πάντες· καὶ μεταδόντες[4] τοῖς ἄλλοις,[5] ἐωνοῦντο πάλιν τριάκοντα ταλάντων. Ἐπειδ' οὐκ ἀντωνεῖτο οὐδεὶς, παρελθὼν ἐγὼ εἰς τὴν βουλὴν, ὑπερέβαλλον, ἕως ἐπριάμην ἓξ καὶ τριάκοντα ταλάντων. Ἀπελάσας καὶ τούτους, καὶ καταστήσας ὑμῖν ἐγγυητὰς, ἐξέλεξα τὰ χρήματα, καὶ κατέβαλον τῇ πόλει· καὶ αὐτὸς οὐκ ἐζημιώθην, ἀλλὰ καὶ βραχέα ἀπεκερδαίνομεν οἱ μετασχόντες· τούτους δ' ἐποίησα τῶν ὑμετέρων μὴ διανείμασθαι ἓξ τάλαντα ἀργυρίου. Ἃ οὗτοι γνόντες, ἔδοσαν σφίσιν αὐτοῖς λόγον, ὅτι ἄνθρωπος οὑτοσὶ οὔτε αὐτὸς λήψεται τῶν κοινῶν χρημάτων, οὔθ' ἡμᾶς ἐάσει, φυλάξει δὲ καὶ ἐμποδὼν ἔσται διανείμασθαι[6] τὰ κοινά. Πρὸς δὲ τούτοις, ὃν ἂν ὑμῶν ἀδικοῦντα λάβῃ, εἰσάξει εἰς τὸ πλῆθος τῶν Ἀθηναίων καὶ ἀπολεῖ. Δεῖ οὖν τοῦτον ἐκποδὼν ὑμῖν εἶναι καὶ δικαίως, καὶ ἀδίκως. Ταῦτα μὲν οὖν, ὦ ἄνδρες δικασταί, τούτοις ποιητέα ἦν· ὑμῖν δέ γε ἐναντίον τούτων· τοὺς γὰρ πλείστους εἶναι ὑμῖν ἤθελον ἂν τοιούς δε, οἷός περ ἐγὼ, τούτους δὲ μάλιστα ἀπολωλέναι· εἰδὲ μή,[7] εἶναι τοὺς μὴ ἐπιτρέψοντας αὐτοῖς· οἷς[8] καὶ προσήκει ἀνδράσιν εἶναι καὶ ἀγαθοῖς καὶ δικαίοις περὶ τὸ πλῆθος τὸ ὑμέτερον· καὶ βουλόμενοι[9] δυνήσονται εὖ ποιεῖν ὑμᾶς. Ἐγὼ οὖν ὑμῖν ὑπισχνοῦμαι, ἢ παύσειν τούτους

§ 37. 2. Τῆς πεντηκοστῆς.) Ὅπερ ἐστὶ πεντηκοστολόγος· ὁ τὴν πεντηκοστὴν τέλος τι οὖσαν ἐκλέγων. — 3. Ἀμφότερα ᾖ.) Καὶ λαβεῖν δηλαδὴ ἀργύριον, διότι οὐχ ὑπερέβαλον τὴν τιμὴν, καὶ μετασχεῖν τῆς πεντηκοστῆς ὀλίγου πραθείσης. — 4. Καὶ μεταδόντες.) Τοῦ κέρδους δηλαδὴ τοῦ ἑαυτοῖς προσγενημένου, ἐκ τῆς προτέρας ὠνῆς. — 5. Τοῖς ἄλλοις.) Τοῖς ἐν τῇ μετὰ ταῦτα πράσσει τῆς πεντηκοστῆς ἀντωνεῖσθαι καὶ ὑπερβάλλειν βουλομένοις ἐπὶ τῷ μὴ τοῦτο ποιεῖν, ἀλλ' ἡσυχάζειν καὶ σιγᾷν, καὶ τούτους ἐᾷν ἐλαχίστου ὠνεῖσθαι. — 6. Διανείμασθαι.) Ὡς ἂν εἰ ἔλεγεν· ἐμποδὼν ἡμῖν ἔσται τοῦ διανείμασθαι· ἢ πρὸς τὸ διανείμ. — 7. Εἰ δὲ μή.) Ἀπολοῦνται, ἤθελον εἶναι τοὺς μὴ ἐπιτρ. — 8. Οἷς.) Κατ' ἐκείνων δηλαδὴ, οἷς. — 9. Καὶ βουλόμενοι.)

ταῦτα ποιοῦντας, καὶ βελτίους παρέξειν, ἢ εἰς ὑμᾶς εἰσαγαγὼν, κολάσειν[10] τοὺς ἀδικοῦντας αὐτῶν.

§ 38. Κατηγόρησαν δέ μου καὶ περὶ τῶν ναυκληριῶν, καὶ περὶ τῆς ἐμπορίας, ὡς ἄρα οἱ θεοὶ διὰ τοῦτό με ἐκ τῶν κινδύνων σώσαιεν, ἵνα ἐλθὼν δεῦρο, ὡς ἔοικεν, ὑπὸ Κηφισίου ἀπολοίμην. Ἐγὼ δὲ, ὦ Ἀθηναῖοι, οὐκ ἀξιῶ τοὺς θεοὺς τοιαύτην γνώμην ἔχειν, ὥστ' εἰ ἐνόμιζον ὑπ' ἐμοῦ ἀδικεῖσθαι, λαμβάνοντάς με ἐν τοῖς μεγίστοις κινδύνοις μὴ τιμωρεῖσθαι. Τίς γὰρ κίνδυνος μείζων ἀνθρώποις, ἢ χειμῶνος ὥραν πλὴν τὴν θάλατταν; ἐν οἷς[2] ἔχοντες μὲν τὸ σῶμα τοὐμὸν, κρατοῦντες δὲ τοῦ βίου καὶ τῆς οὐσίας τῆς ἐμῆς, εἶτα ἔσωζον. Οὐκ ἐξῆν αὐτοῖς ποιῆσαι μηδὲ ταφῆς τὸ σῶμα ἀξιωθῆναι; Ἔτι δὲ πολέμου γενομένου, καὶ τριηρῶν ἀεὶ κατὰ θάλασσαν οὐσῶν, καὶ λῃστῶν, ὑφ' ὧν πολλοὶ ληφθέντες ἀπολέσαντες τὰ ὄντα, δουλεύοντες τὸν βίον διετέλεσαν· οὔσης δὲ χώρας βαρβάρου, εἰς ἣν πολλοὶ ἤδη ἐκπεσόντες αἰκίαις ταῖς μεγίσταις περιέπεσον, καὶ τὰ σφέτερα αὐτῶν σώματα αἰκισθέντα, ἀπέθανον· εἶτα οἱ μὲν θεοὶ ἐκ τῶν τοσούτων κινδύνων ἔσωζόν με, σφῶν δὲ αὐτῶν προὐστήσαντο τιμωρὸν γενέσθαι Κηφίσιον, τὸν πονηρότατον Ἀθηναίων, ὧν οὗτός φησι πολίτης εἶναι, οὐκ ὤν· ᾧ οὐδ' ὑμῶν τῶν καθημένων οὐδεὶς ἂν ἐπιτρέψειεν οὐδὲν τῶν ἰδίων, εἰδὼς τοῦτον οἷός ἐστιν. Ἐγὼ μὲν οὖν, ὦ ἄνδρες, ἡγοῦμαι χρῆναι νομίζειν τοὺς τοιούτους κινδύνους,[3] ἀνθρωπίνους· τοὺς δὲ κατὰ θάλατταν, θείους. Εἴπερ οὖν δεῖ τὰ τῶν θεῶν ὑπονοεῖν, πολὺ ἂν αὐτοὺς οἶμαι ἐγὼ ὀργίζεσθαι καὶ ἀγανακτεῖν, εἰ τοὺς ὑφ' ἑαυτῶν σωζομένους, ὑπ' ἄλλων ἀπολλυμένους ὁρῷεν.

§ 39. Καὶ μὲν δὴ καὶ τάδε ὑμῖν ἄξιον, ὦ ἄνδρες, ἐνθυμηθῆναι, ὅτι νυνὶ πᾶσι τοῖς Ἕλλησιν ἄνδρες ἄριστοι καὶ εὐβουλότατοι δοκεῖτε γεγενῆσθαι, οὐκ ἐπὶ τιμωρίαν τραπόμενοι τῶν γεγενημένων, ἀλλ' ἐπὶ σωτηρίαν τῆς πόλεως, καὶ ὁμόνοιαν τῶν πολιτῶν. Συμφοραὶ μὲν γὰρ ἤδη καὶ ἄλλοις πολλοῖς ἐγένοντο, οὐκ ἐλάττους ἢ καὶ ἡμῖν,[2] τὸ δὲ τὰς γενομένας διαφορὰς πρὸς ἀλλήλους θέσθαι καλῶς, τοῦτ' εἰκότως ἤδη δοκεῖ ἀνδρῶν ἀγαθῶν καὶ σωφρόνων ἔργον εἶναι. Ἐπειδὴ τοίνυν παρὰ πάντων ὁμολογουμένως ταὔθ' ὑμῖν ὑπάρχει, καὶ εἴ τις φίλος ὢν τυγχάνει καὶ εἴ τις ἐχθρὸς, μὴ μεταγνῶτε, μηδὲ βουλεύεσθαι τὴν πόλιν ἀποστερῆσαι ταύτης τῆς δόξης, μηδὲ αὐτοὶ δοκεῖν[3] τύχῃ ταῦτα μᾶλλον ἢ γνώμῃ

Καὶ οἱ βουλόμενοι. — 10. Κολάσειν.) Ὑπισχνοῦμαι δηλ. ἀπὸ κοινοῦ.

§ 38. 2. Ἐν οἷς.) Κινδύνοις. — 3. Τοὺς τοιούτους κινδύνους.) Λῃσταῖς περιπεσεῖν· βαρβάροις δουλεύειν, βασάνοις ὑποπεσεῖν, ἀποθανεῖν, διαβάλλουσι καὶ συκοφάνταις καταδιώκεσθαι.

§ 39. 2. Οὐκ ἐλάττους ἢ καὶ ἡμῖν.) Οὐκ ἐλάττους τῶν, ὅσαι ἡμῖν ἐγένοντο· οὐκ ἐλάττους ἢ ὅσαι ἡμῖν. — 3. Αὐτοὶ

ψηφίσασθαι. Δέομαι οὖν ἁπάντων[4] περὶ ἐμοῦ τὴν αὐτὴν γνώμην ἔχειν, ἥνπερ καὶ περὶ τῶν ἐμῶν προγόνων, ἵνα κἀμοὶ ἐγγένηται ἐκείνους μιμήσασθαι· ἀναμνησθέντες[5] αὐτῶν, ὅτι ὅμοιοι τοῖς πλείστων καὶ μεγίστων ἀγαθῶν αἰτίοις τῇ πόλει γεγένηνται, πολλῶν ἕνεκα σφᾶς αὐτοὺς παρέχοντες τοιούτους, μάλιστα δὲ τῆς εἰς ὑμᾶς εὐνοίας· καὶ ὅπως εἴ ποτέ τις αὐτοῖς ἢ τῶν ἐξ ἐκείνων τινὶ κίνδυνος γένηται, ἢ συμφορὰ, σώζοιντο, συγγνώμης παρ' ὑμῶν τυγχάνοντες. Εἰκότως δ' ἂν αὐτῶν μεμνῆσθε. Καὶ γὰρ τῇ πόλει ἁπάσῃ αἱ τῶν ἡμετέρων προγόνων ἀρεταὶ πλείστου ἄξιαι ἐγένοντο. Ἐπειδὴ γὰρ, ὦ ἄνδρες, αἱ νῆες διεφθάρησαν, πολλῶν βουλομένων τὴν πόλιν ἀνηκέστοις συμφοραῖς περιβαλεῖν, Λακεδαιμόνιοι ἔγνωσαν, ὅμως τότε ἐχθροὶ ὄντες σώζειν τὴν πόλιν διὰ τὰς ἐκείνων τῶν ἀνδρῶν ἀρετὰς, οἳ ὑπῆρξαν τῆς ἐλευθερίας ἁπάσῃ τῇ Ἑλλάδι.

§ 40. Ἐπειδὴ τοίνυν καὶ ἡ πόλις ἐσώθη δημοσίᾳ διὰ τὰς τῶν προγόνων τῶν ἡμετέρων ἀρετὰς, ἀξιῶ κἀμοὶ διὰ τὰς τῶν προγόνων τῶν ἐμῶν ἀρετὰς σωτηρίαν γενέσθαι. Καὶ γὰρ αὐτῶν τῶν ἔργων, δι' ἅπερ ἡ πόλις ἐσώθη, οὐκ ἐλάχιστον μέρος οἱ ἐμοὶ πρόγονοι συνεξέβαλλοντο. Ὧν ἕνεκα καὶ ἐμοὶ δίκαιον ὑμᾶς μεταδοῦναι τῆς σωτηρίας, ἧσπερ καὶ αὐτοὶ παρὰ τῶν Ἑλλήνων ἐτύχετε. Σκέψασθε τοίνυν καὶ τάδε· ἂν μὲ σώσητε, οἷον ἕξετε πολίτην· ὃς πρῶτον μὲν ἐκ πολλοῦ πλούτου, ὅσον ὑμεῖς ἴστε, οὐ δι' ἐμαυτὸν, ἀλλὰ διὰ τὰς τῆς πόλεως συμφορὰς εἰς πενίαν πολλὴν καὶ ἀπορίαν κατέστην. Ἔπειτα δὲ καὶ βίον εἰργασάμην[2] ἐκ τοῦ δικαίου, τῇ γνώμῃ καὶ ταῖν χεροῖν ταῖν ἐμαυτοῦ. Ἔτι εἰδότα μὲν, οἷόν ἐστι πόλεως τοιαύτης πολίτην εἶναι, εἰδότα[3] δὲ, οἷόν ἐστι ξένον εἶναι καὶ μέτοικον ἐν τῇ τῶν πλησίον· ἐπιστάμενον δὲ, οἷον τὸ σωφρονεῖν, καὶ ὀρθῶς βουλεύεσθαι· ἐπιστάμενον δ', οἷον τὸ ἁμαρτόντα πρᾶξαι κακῶς, πολλοῖς συγγενόμενον· καὶ πλείστων πειραθεὶς, ἀφ' ὧν ἐμοὶ ξενίαι καὶ φιλότητες πρὸς πολλοὺς καὶ βασιλέας, καὶ πόλεις, καὶ ἄλλους ἰδίᾳ ξένους γεγένηνται· ὧν ἐμὲ σώσαντες, μεθέξετε, καὶ ἔστιν ὑμῖν χρῆσθαι τούτοις, ὅπου ἂν ἐν καιρῷ τι ὑμῖν γένηται. Ἔχει δὲ καὶ ὑμῖν, ὦ ἄνδρες, οὕτως· ἐὰν με νυνὶ διαφθείρητε, οὐκ ἔστιν ὑμῖν ἔτι λοιπὸς τοῦ γένους τοῦ ἡμετέρου οὐδεὶς, ἀλλ' οἴχεται πανπρόρριζον. Καί τοι οὐκ ὄνειδος ὑμῖν ἐστιν ἡ Ἀνδοκίδου καὶ Λεωγόρου οἰκία οὖσα· ἀλλὰ πολὺ μαλ-

---

δοκεῖν.) Ἀπὸ κοινοῦ τὸ βούλεσθε. — 4. Ἁπάντων.) Ὑμῶν δηλαδὴ ἁπάντων. — 5. Ἀναμνησθέντες.) Πρὸς τὸ Ἔχειν, ἀπαρεμφατικῶς.

§ 40. 2. Καὶ βίον εἰργασάμην.) Καὶ ἔζων, εἶχον τὰ πρὸς τὸν βίον. — 3. Εἰδότα.) Πρὸς τὸ Οἷον ἕξετε

λον τότ' αὖ ὄνειδος, ὅτ' ἐμοῦ φεύγοντος, Κλεοφῶν αὐτὴν ὁ λυροποιὸς ᾤκει. Οὐ γάρ ἐστιν, ὅς τις πώποτε ὑμῶν παριὼν τὴν οἰκίαν τὴν ἡμετέραν ἀνεμνήσθη ἢ ἰδίᾳ τι ἢ δημοσίᾳ κακὸν παθὼν ὑπ' ἐκείνων· οἱ πλείστας μὲν στρατηγήσαντες στρατηγίας, πολλὰ τρόπαια τῶν πολεμίων καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν ὑμῖν ὑπέδειξαν, πλείστας δὲ ἄλλας ἀρχὰς ἄρξαντες, καὶ χρήματα διαχειρήσαντες τὰ ὑμέτερα, οὐδὲν ἂν πώποτε ὦφλον. Οὐδ' ἡμάρτηται οὐδὲν οὔτε ἡμῖν εἰς ὑμᾶς, οὔτε ὑμῖν εἰς ἡμᾶς· οἰκία δὲ πασῶν ἀρχαιοτάτη καὶ κοινοτάτη ἀεὶ τῶν δεομένων. Οὐδ' ἔστιν ὅπου ἐκείνων τις τῶν ἀνδρῶν καταστὰς εἰς ἀγῶνα ἀπῄτησεν ὑμᾶς χάριν τούτων τῶν ἔργων.[4]

§ 41. Μήτοινυν, εἰ αὐτοὶ τεθνᾶσι, καὶ περὶ τῶν πεπραγμένων αὐτοῖς ἐπιλάθησθε· ἀλλ' ἀναμνησθέντες τῶν ἔργων, νομίσατε, τὰ σώματα αὐτῶν ὁρᾷν αἰτουμένων ἐμὲ παρ' ὑμῶν σῶσαι. Τίνα γὰρ καὶ ἀναβιβάσομαι δεησόμενον ὑπὲρ ἐμαυτοῦ; τὸν πατέρα; ἀλλὰ τέθνηκε· τοὺς ἀδελφούς; ἀλλ' οὐκ εἰσίν· ἀλλὰ τοὺς παῖδας; ἀλλ' οὔπω γεγένηνται. Ὑμεῖς τοίνυν καὶ ἀντὶ πατρὸς ἐμοὶ καὶ ἀντὶ ἀδελφῶν καὶ ἀντὶ παίδων γένεσθε. Εἰς ὑμᾶς καταφεύγω, καὶ ἀντιβολῶ, καὶ ἱκετεύω· ὑμεῖς με παρ' ὑμῶν αὐτῶν αἰτησάμενοι σώσατε· καὶ μὴ βούλεσθε Θετταλοὺς καὶ Ἀνδρείους πολίτας ποιεῖσθαι δι' ἀπορίαν ἀνδρῶν· τοὺς δὲ ὄντας πολίτας ὁμολογουμένως, οἷς προσήκει ἀνδράσιν ἀγαθοῖς εἶναι, καὶ βουλόμενοι δυνήσονται, τούτους δὲ ἀπόλλυτε· μὴ δῆτα. Ἔπειτα καὶ ταῦτ' ὑμῶν δέομαι, εὖ ποιῶν ὑμᾶς, ὑφ' ὑμῶν τιμᾶσθαι. Ὥστ' ἐμοὶ μὲν πειθόμενοι, οὐκ ἀποστερεῖσθε, εἴ τι ἐγὼ δυνήσομαι ὑμᾶς εὖ ποιεῖν· ἐὰν δὲ τοῖς ἐχθροῖς τοῖς ἐμοῖς πεισθῆτε, οὐδ' ἂν ὑστέρῳ χρόνῳ μεταμελήσῃ, οὐδὲν ἔτι πλέον ποιήσετε. Μὴ τοίνυν μήθ' ὑμᾶς αὐτοὺς τῶν ἀπ' ἐμοῦ ἐλπίδων ἀποστερήσητε, μήτ' ἐμὲ τῶν εἰς ὑμᾶς. Ἀξιῶ δ' ἔγωγε τούτους, οἵ τινες ὑμῖν ἀρετῆς ἤδη τῆς μεγίστης εἰς τὸ πλῆθος τὸ ἡμέτερον ἔλεγχον ἔδοσαν·[2] ἀναβάντας ἐνταυθοῖ, συμβουλεύειν ὑμῖν, ἃ γινώσκουσι περὶ ἐμοῦ. Δεῦρο[3] Ἄνυτε, Κέφαλε, ἔτι δὲ καὶ οἱ φυλέται οἱ ᾑρημένοι μοι συνδικεῖν, Θρασύλλος, καὶ οἱ ἄλλοι.

---

πολίτην ἀναφέρεται. — 4. Τῶν ἔργων.) Ἐννοεῖται Ἐκείνων τῶν προγόνων τῶν ἐμῶν.

§ 41. 2. Ἔλεγχον ἔδοσαν.) Ἠλέγχθησαν, ἐφάνησαν σπουδαῖοι. — 3. Δεῦρο) Ἄγε εἰπὲ, ἢ ἐλθὲ Ἄνυτε.

# ΔΕΙΝΑΡΧΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ

## Κατὰ Δημοσθένους λόγος.

### Ὑπόθεσις.

Ἅρπαλος καταλειφθεὶς ὑπὸ Ἀλεξάνδρου τοῦ μεγάλου διοικητὴς ἐν Βαβυλῶνι, τῶν ἐμπιστευθέντων αὐτῷ θησαυρῶν πολλοὺς κατηνάλωσεν ἐν ἀσωτίαις, ἀπογνοὺς τὴν Ἀλεξάνδρου ἀπὸ τῶν Ἰνδῶν ἐπάνοδον· ἐπανελθόντος δ' ἐκείνου ἐξ Ἰνδῶν, φοβηθεὶς οὗτος, καὶ συσκευασάμενος ἀργυρίου τάλαντα πεντακισχίλια, μισθοφόρους τε ἀθροίσας ἑξακισχιλίους κατέπλευσεν εἰς τὴν Ἀττικήν· οὐδενὸς δ' αὐτῷ προσέχοντος, τοὺς μισθοφόρους ἀπέλιπε περὶ Ταίναρον τῆς Λακωνικῆς· αὐτὸς δὲ μέρος τῶν χρημάτων λαβὼν, ἱκέτης ἐγένετο τοῦ δήμου· ἐξαιτούμενος δὲ ὑπ' Ἀντιπάτρου τοῦ καταλειφθέντος ὑπὸ Ἀλεξάνδρου εἰς Μακεδονίαν, καὶ τῆς μητρὸς αὐτοῦ Ὀλυμπιάδος, πολλὰ χρήματα διαδοὺς τοῖς ὑπὲρ αὐτοῦ δημηγοροῦσι ῥήτορσιν, διέδρα, καὶ εἰς Κρήτην ἐλθὼν, ὑπό τινος τῶν φίλων Θίμβρωνος ἐδολοφονήθη· οἱ δ' Ἀθηναῖοι τῶν τοῦ Ἁρπάλου χρημάτων λόγον ἀναζητοῦντες, Δημοσθένη καὶ ἄλλους τινὰς τῶν ῥητόρων κατεδίκασαν, ὡς εἰληφότας τῶν Ἁρπάλου χρημάτων. Διόδωρ. Σικελ. βιβλ. ΙΖ'. κεφ. ρή. Σημείωσαι δὲ ὅτι τὸν λόγον τοῦτον Ὑπερήδου εἶναι λέγουσί τινες.

§ 1. Ὁ μὲν δημαγωγός[2] ὑμῖν, ὦ Ἀθηναῖοι, καὶ θανάτου τετιμημένος[3] ἑαυτῷ ἤν ἐξελεγχθῇ ὁτιοῦν εἰληφὼς παρ' Ἁρπάλου, οὗτος[4] φανερῶς ἐξελήλεγκται δῶρα εἰληφὼς παρὰ τούτων,[5] οἷς ἐναντία πράττειν ἔφη τὸν ἄλλον χρόνον. Πολλῶν δ' ὑπὸ Στρατοκλέους εἰρημένων, καὶ τῶν πλείστων προκατειλημμένων κατηγορημάτων, καὶ περὶ μὲν αὐτῆς τῆς ἀποφάσεως,[6] τῆς ἐξ Ἀρείου πάγου βουλῆς δικαίας καὶ ἀληθεῖς ἀποδείξεις εἰρηκυίας, περὶ δὲ τῶν ἀκολούθων τούτοις Στρατοκλέους εἰρηκότος καὶ τὰ Ψηφίσματα ἀνεγνωκότος ἤδη τὰ περὶ τούτων, ὑπόλοιπον ἡμῖν, ὦ Ἀθηναῖοι, (καὶ ταῦτα,[7] ἀγωνιζομένοις ἀγῶνα τηλικοῦτον, ἡλίκος οὐδεπώποτε γέγονε τῇ πόλει) κοινῇ πᾶσιν ἡμῖν παρακελεύεσθαι, πρῶτον μὲν, ἡμῖν τοῖς λοιποῖς[8] συγγνώμην ἔχειν, ἂν τῶν αὐτῶν ἐνίοις περιπίπτωμεν·[9] (οὐ γὰρ ἵνα ἐνοχλῶμεν ὑμᾶς, ἀλλ' ἵνα ὀργίζησθε μαλ-

---

§ 1. 2. Ὁ μὲν δημαγωγός.) Τὸν Δημοσθένη λέγει, ὡς ἀπ' αὐτοῦ δῆθεν τὸν δῆμον ἀγόμενον· εἰρωνικῶς δὲ τοῦτο. — 3. Θανάτου τετιμημένος.) Φράσις σημαίνουσα τὸ, Ἄξιον θανάτου κατεδίκασεν ἑαυτόν. — 4. Οὗτος.) Ἐπανάληψις, ὁ εἰρημένος δηλαδὴ δημαγωγός· ὁ Δημοσθένης δηλ. — 5 Παρὰ τούτων.) Παρ' Ἁρπάλου δηλαδὴ, Μακεδόνος μὲν ὄντος, ἀποστάτου δὲ καὶ δραπέτου. — 6. Καὶ περὶ.... τῆς ἀποφάσεως.) Τῆς τε ἐξ Ἀρείου πάγου βουλῆς εἰρηκυίας ἀληθεῖς καὶ δικαίας ἀποδείξεις περὶ αὐτῆς τῆς ἀποφάσεως, καὶ τοῦ Στρατοκλέους εἰρηκότος περὶ τῶν ἀκολούθων τούτοις, καὶ τὰ ψηφ. — 7. Καὶ ταῦτα.) Συμβάνει ἢ γίνεται. — 8. Ἡμῖν τοῖς λοιποῖς.) Τοῖς μετὰ Στρατοκλέα λέγουσι, καὶ κατηγοροῦσιν ἐν ὑμῖν εἰδόσι. — 9. Ἐνίοις περιπίπτωμεν.) Περιπίπτομεν ἐνίοις τῶν αὐτῶν.

λον παροξυνόμενοι, δὶς περὶ τῶν αὐτῶν ἐροῦμεν) ἔπειτα, μὴ προΐεσθαι τὰ κοινὰ τῆς πόλεως ἁπάσης δίκαια, μηδὲ τὴν κοινὴν σωτηρίαν ἀντικαταλλάξασθαι τῶν τοῦ κρινομένου λόγων.

§ 2. Ὁρᾶτε γάρ, ὦ Ἀθηναῖοι, ὅτι παρὰ μὲν ὑμῖν Δημοσθένης οὑτοσὶ κρίνεται, παρὰ δὲ τοῖς ἄλλοις ὑμεῖς·[2] οἱ σκοποῦσι, τίνα ποτὲ γνώμην ἕξετε περὶ τῶν τῇ πατρίδι συμφερόντων· καὶ πότερον τὰς ἰδίας τούτων δωροδοκίας καὶ πονηρίας ἀναδέχεσθε εἰς ὑμᾶς αὐτούς, ἢ φανερὸν πᾶσιν ἀνθρώποις ποιήσετε, διότι[3] μισεῖτε τοὺς κατὰ τῆς πολιτείας δῶρα λαμβάνοντας· καὶ οὐχ ἵν' ἀφῆτε, ζητεῖν προσετάξατε τῇ ἐξ Ἀρείου πάγου βουλῇ, ἀλλ' ἵνα ἀποφηνάντων τούτων, ὑμεῖς τιμωρήσησθε τῶν ἀδικημάτων ἀξίως. Νυνὶ τοῦτο ἐφ' ὑμῖν ἐστι.[4] Ψηφισαμένου γὰρ τοῦ δήμου δίκαιον ψήφισμα, καὶ πάντων τῶν πολιτῶν βουλομένων, εὑρεῖν τίνες εἰσὶ τῶν Ῥητόρων οἱ τολμήσαντες ἐπὶ διαβολῇ καὶ κινδύνῳ τῆς πόλεως χρήματα παρὰ Ἁρπάλου λαβεῖν, καὶ πρὸς τούτοις, ψήφισμά τι γράψαντος, ὦ Δημόσθενες, σοῦ, καὶ ἑτέρων πολλῶν, ζητεῖν τὴν βουλὴν περὶ αὐτῶν, ὡς αὐτῇ πάτριόν ἐστιν, εἴ τινες εἰλήφασι παρὰ Ἁρπάλου χρυσίον, ζητεῖ ἡ βουλή, οὐκ ἐκ τῶν προκλήσεων μαθοῦσα τὸ δίκαιον, οὐδὲ τὴν ἀλήθειαν καὶ τὴν πίστιν τὴν περὶ αὐτῆς ἐπὶ σοῦ[5] καταλῦσαι βουλομένη, ἀλλ' (ὅπερ καὶ αὐτοὶ οἱ Ἀρεοπαγῖται εἶπον) προορῶσα ἡ βουλή, ὦ ἄνδρες, τὴν τούτων ἰσχὺν τὴν ἐν τῷ λέγειν καὶ πράττειν· οὐκ οἰομένη δὲ δεῖν οὐδεμίαν ὑπολογίζεσθαι τῶν περὶ αὐτῆς ἐσομένων βλασφημιῶν, εἴ τις μέλλοι τῇ πατρίδι αὐτῆς αἰτία μοχθηρὰ καὶ κίνδυνος ἔσεσθαι.

§ 3. Τούτων ὡς ἐδόκει τῷ δήμῳ καλῶς καὶ συμφερόντως πεπραγμένων, αἰτίαι νῦν καὶ προκλήσεις καὶ συκοφαντίαι παρὰ Δημοσθένους ἥκουσιν, ἐπειδὴ οὗτος ἀποπέφανται[2] εἴκοσι τάλαντα ἔχων χρυσίου. Καὶ ἡ τῶν ἐκ προνοίας φόνων ἀξιόπιστος οὖσα βουλὴ τὸ δίκαιον καὶ ἀληθὲς εὑρεῖν, καὶ κυρία δικάσαι τε περὶ τοῦ σώματος καὶ τῆς ψυχῆς ἑκάστου τῶν πολιτῶν, καὶ τοῖς μὲν βιαίῳ θανάτῳ τετελευτηκόσι βοηθῆσαι, τοὺς δὲ παράνομόν τι τῶν ἐν τῇ πόλει διαπεπραγμένους ἐκβαλεῖν, ἢ θανάτῳ ζημιῶσαι, νῦν ἐπὶ τοῖς κατὰ Δημοσθένους ἀποπεφασμένοις χρήμασιν ἄκυρος ἔσται τοῦ δικαίου; Ναὶ κατέψευσται γὰρ ἡ βουλὴ Δημοσθένους. Τουτὶ γὰρ

---

§ 2. 2. Ὑμεῖς.) Κρίνετε. — 3. Διότι.) Ἀντὶ τοῦ Ὅτι. — 4. Ἐφ' ὑμῖν ἐστίν.) Ἐν τῇ ὑμετέρᾳ ἐξουσίᾳ. — 5. Ἐπὶ σοῦ.) Κατὰ τοὺς σεαυτοῦ χρόνους· τὸ παρ' ἡμῖν, Εἰς τὸν καιρόν σου.

§ 3. 2. Οὗτος ἀποπέφανται.) Ὁμοφωνεῖ μὲν τῷ τρίτῳ τῶν πληθυντικῶν, ἔστι δὲ ἑνικὸν τὸ Ἀποπέφανται· ἀπὸ τοῦ Φαίνω, φυλάσσων τὸ Ν· ὡς καὶ τὸ ἐξήρανται ἡ χείρ, καὶ κατῄσχυνται ὁ δεῖνα, καὶ κατέξανται δέμας· καὶ ὅσα τοιαῦτα, οἷς πᾶσι συμβέβηκεν ὁμοφωνεῖν τοῖς αὐτῶν πληθυντικοῖς τρίτοις προσώποις, διὰ τὸ φυσικῶς ἔχειν ἐγκείμενον τὸ Ν, ἀμε-

ἐστιν ὑπερβολὴ τοῦ πράγματος. Σοῦ κατέψευσται καὶ Δημάδου; καθ' ὧν οὐδὲ τἀληθὲς εἰπεῖν, ὡς ἔοικεν, ἀσφαλές ἐστιν, οἱ πολλὰ πρότερον τῶν κοινῶν ἐκείνῃ[3] ζητεῖν προσετάξατε, καὶ διὰ τὰς γινομένας ζητήσεις ἐπῃνέσατε; Οὓς δ' ἡ πόλις ἅπασα οὐ δύναται ἀναγκάσαι τὰ δίκαια ποιεῖν, κατὰ τούτων ἡ βουλὴ ψευδεῖς ἀποφάσεις πεποίηται; ὦ Ἡράκλεις!

§ 4. Διὰ τί οὖν ἐν τῷ δήμῳ συνεχώρεις, ὦ Δημόσθενες, ἐὰν ἀποφήνῃ σοῦ ἡ βουλή, θάνατον ἑαυτῷ τὴν ζημίαν;[2] Καὶ διὰ τί πολλοὺς ἀνῄρηκας σὺ ταῖς τῆς βουλῆς ἰσχυριζόμενος ἀποφάσεσιν, ἢ ποῖ νῦν ἐλθὼν ὁ δῆμος, ἢ τίσι προστάξας ζητεῖν περὶ τῶν ἀφανῶν καὶ μεγάλων ἀδικημάτων, εὕροι τὴν ἀλήθειαν; Τὸ μὲν γὰρ συνέδριον τὸ πρότερον δοκοῦν εἶναι πιστὸν σὺ καταλύεις, ὁ δημοτικὸς εἶναι φάσκων· ᾧ τὴν τῶν σωμάτων φυλακὴν ὁ δῆμος παρακαταθήκην δέδωκεν, ᾧ τὴν πολιτείαν καὶ δημοκρατίαν πολλάκις ἐγκεχείρικεν, ὃ διαπεφύλαχε[3] τὸ σὸν σῶμα τοῦ βλασφημεῖν περὶ αὐτοῦ[4] τοῦ μέλλοντος,[5] πολλάκις (ὡς σὺ φῄς) ἐπιβουλευθέν· ὃ φυλάττει[6] τὰς ἀποῤῥήτους διαθήκας, ἐν αἷς τὰ τῆς πόλεως σωτήρια κεῖται.

§ 5. Δίκαια μὲν οὖν, δίκαια τρόπον γέ τινα πάσχει τὸ συνέδριον. Εἰρήσεται γάρ, ἃ γινώσκω. Δυοῖν γὰρ θάτερον ἐχρῆν αὐτούς, ἢ καὶ τὴν προτέραν ζήτησιν τὴν ὑπὲρ τῶν τριακοσίων ταλάντων τῶν παρὰ τοῦ Περσῶν βασιλέως ἀφικομένων ζητεῖν, καθάπερ συνέταξεν ὁ δῆμος· ἵνα τότε δόντος δίκην τοῦ θηρίου τούτου, καὶ τῶν μερισαμένων ἐκεῖνα τὰ χρήματα φανερῶν γενομένων, καὶ τῆς περὶ Θηβαίους προδοσίας[2] ἐξελεγχθείσης, ἣν οὗτος προδέδωκεν, ἀπηλλάγμεθα τούτου τοῦ δημαγωγοῦ, δίκην ἀξίαν δόντος· ἤ, εἰ ταῦθ' ὑμεῖς ἐβούλεσθε Δημοσθένει συγχωρεῖν, καὶ πολλοὺς ἐν τῇ πόλει τοὺς καθ' ὑμῶν δωροδοκήσοντας εἶναι, τὴν περὶ τῶν νῦν ἀποπεφασμένων ζήτησιν χρημάτων μὴ προσδέχεσθαι, πεῖραν ὑμῶν ἐν τοῖς πρότερον εἰληφότας·[3] ὅπου γε οὕτω καλῶς καὶ δικαίως τῆς

---

τάβολον. Βαρῦν. ἐν τῷ Πέφανται. — 3. Ἐκείνῃ.) Τῇ βουλῇ δηλ.

§ 4. 2. Τὴν ζημίαν;) Ἐννοεῖται, Εἶναι. — 3. Ὃ διαπεφύλαχε.) Τὸ ἐγκεχειρικέναι σοι τὸν δῆμον τὴν πολιτείαν καὶ δημοκρατίαν πολλάκις — 4. Περὶ αὐτοῦ.) Τοῦ δήμου. — 5. Τοῦ μέλλοντος.) Προηγουμένης κτητικῆς ἀντωνυμίας, ἐάν τι ἐπάγηται τὸν κτήτορα δηλοῦν, κατὰ γενικὴν λέγεται. — 6. Ὃ φυλάττει.) Ὁ Συνέδριον. Διαθήκας ἐνταῦθα λέγει βιβλία ἱερὰ καὶ ἀπόῤῥητα· ἔνθα ἦσαν τὰ μυστήρια γεγραμμένα καθ' ὃν λόγον καὶ ἡμεῖς λέγομεν ἡ παλαιὰ καὶ καινὴ διαθήκη. Τινὲς δὲ φασι χρησμούς τινας εἶναι τὰς διαθήκας ταύτας κατὰ καιροὺς δοθέντας ἐπὶ σωτηρίᾳ τῆς πόλεως, οὓς ὡς ἱεροὺς ἐφύλαττον, ἵνα μή τι τούτων παραβάντες, ἀπόλλωνται.

§ 5. 2. Προδοσίας.) Δηλοῖ δέ, ὅτι τοῖς τριακοσίοις ἐκείνοις ταλάντοις, τοῖς παρὰ Ἀρταξέρξου τοῦ Μνήμονος σταλεῖσι πρὸς τοὺς Θηβαίους, αἰτήσαντας παρ' αὐτοῦ χρήματα, ἐχρήσαντο οἱ Θηβαῖοι πρὸς Δημοσθένη, καὶ τοὺς τῆς αὐτοῦ δυτας πατρίας — 3. Εἰληφότας.) Ἀναφέ-

ἀποφάνσεως τῆς κατὰ τούτου καὶ τῶν ἄλλων νυνὶ γεγενημένης, καὶ τῆς ἐξ Ἀρείου πάγου βουλῆς, οὔτε τὴν Δημοσθένους, οὔτε τὴν Δημάδου δύναμιν ὑποστειλαμένης, ἀλλὰ τὸ δίκαιον αὐτὸ καὶ τἀληθὲς προὐργιαίτερον πεποιημένης, οὐδὲν ἧττον περιέρχεται Δημοσθένης περί τε τῆς βουλῆς βλασφημῶν, καὶ περὶ ἑαυτοῦ λέγων. Οἷσπερ ἴσως καὶ πρὸς ὑμᾶς αὐτίκα χρήσεται λόγοις,[4] ἐξαπατῶν ὑμᾶς, ὡς ἐγὼ Θηβαίους ὑμῖν ἐποίησα συμμάχους. Οὐκ· ἀλλὰ τὸ κοινῇ συμφέρον ἀμφοτέραις ἐλυμήνω ταῖς πόλεσιν, ὦ Δημόσθενες. Ἐγὼ παρέταξα πάντας εἰς Χαιρώνειαν. Οὐκ· ἀλλὰ ἔλιπες μόνος αὐτὸς[5] τὴν ἐκεῖ τάξιν. Ἐγὼ πολλὰς ὑπὲρ ὑμῶν ἐπρέσβευσα πρεσβείας. Ἐφ' αἷς[6] οὐκ οἶδ', ὅ,τι ποτ' ἂν ἐποίει, ἢ τίνας ἂν εἶπε λόγους, εἰ συνέβη κατορθῶσαι αὐτῷ ἃ συνεβούλευσεν. Ὃς ἐπὶ τοῖς τοιούτοις ἀτυχήμασι καὶ κακοῖς ἅπασαν ἐπεληλυθὼς τὴν οἰκουμένην, ὅμως ἀξιοῖ δωρεὰς αὐτῷ δεδόσθαι τὰς μεγίστας, λαμβάνειν[7] δῶρα κατὰ τῆς πατρίδος, καὶ λέγειν καὶ πράττειν κατὰ τοῦ δήμου, ἃ ἂν βούληται.

§ 6. Καὶ Τιμοθέῳ μὲν, ὦ Ἀθηναῖοι, Πελοπόννησον περιπλεύσαντι, καὶ τὴν ἐν Κερκύρᾳ ναυμαχίαν νικήσαντι Λακεδαιμονίους, καὶ Κόνωνος υἱεῖ, τοῦ τοὺς Ἕλληνας ἐλευθερώσαντος, καὶ Σάμον λαβόντος, καὶ Μεθώνην, καὶ Πύδναν, καὶ Ποτίδαιαν, καὶ πρὸς ταύταις ἑτέρας εἴκοσι πόλεις, οὐκ ἐποιήσασθε[2] ὑπόλογον,[3] οὐδὲ τῆς τότε ἐνεστώσης κρίσεως, οὐδὲ τῶν ὅρκων, οὓς ὀμωμοκότες ἐφέρετε τὴν ψῆφον, ἀντικατηλλάξασθε τὰς τοιαύτας εὐεργεσίας· ἀλλ' ἑκατὸν ταλάντων ἐτιμήσατε, ὅτι χρήματ' αὐτὸς ἔφη[4] παρὰ Χίων εἰληφέναι καὶ Ῥοδίων· τὸν δὲ κατάπτυστον τοῦτον καὶ Σκύθην (ἐξάγομαι γάρ[5]) ὃν οὐχ εἷς ἀνὴρ, ἀλλὰ πᾶσα ἡ ἐξ Ἀρείου πάγου βουλὴ ζητήσασα ἀποπέφανται χρήματα ἔχειν καθ' ὑμῶν; καὶ ὃς ἀποπέφανται μισθαρνῶν καὶ δωροδοκῶν κατὰ τῆς πόλεως, καὶ ταῦτα ἐξελήλεγκται, τοῦτον οὐ τιμωρησάμενοι παράδειγμα ποιήσετε τοῖς ἄλλοις; Ὃς οὐκ ἐκ τῶν βασιλικῶν μόνον εἰληφὼς χρυσίον φανερός ἐστιν, ἀλλὰ καὶ ἐξ αὐτῆς τῆς πόλεως κεχρηματισμένος; ὁ νῦν[6] οὐδὲ τῶν ὑπὸ Ἁρπάλου κομισθέντων χρημάτων εἰς τὴν

ρεται εἰς τὸ προειρημένον Πολλούς. — 4. Οἷσπερ ... λόγοις.) Ἀντὶ Καὶ περὶ ἑαυτοῦ λέγων λόγους, οἷς χρήσεται ἴσως· ὑπεδύθη δὲ τὴν τοῦ ἀναφορικοῦ πτῶσιν ἐπιτεθὲν τὸ ὄνομα. — 5. Μόνος αὐτός.) Μόνος σύ· τὸ γὰρ Αὐτὸς λαμβάνεται καὶ ἀντὶ τοῦ Ἐγὼ, Σύ. — 6. Ἐφ' αἷς.) Πρεσβείαις. — 7. Λαμβάνειν.) Κατ' ἐπεξήγησιν· ὡς ἂν λέγει· δηλονότι τὴν ἐξουσίαν τοῦ λαμβάνειν δῶρα κατὰ τῆς Πατρίδος, καὶ ἄδειαν τοῦ λέγειν καὶ πράττειν ὅ,τι ἂν βούληται.

§ 6. 2. Καὶ Τιμοθέῳ ..... οὐκ ἐποιήσασθε ὑπόλογον.) Ἀντὶ τοῦ, Οὐκ ἐφείσασθε τοῦ Τιμοθέου τοῦ υἱοῦ τοῦ Κόνωνος. — 3. Ὑπόλογον.) Ὑπακούεται τοῦτο τὸ περιπεπλευκέναι δηλονότι τὴν Πελοπόννησον, καὶ τὴν ναυμαχίαν, καὶ τὸ εἶναι Κίμωνος τοῦ τοσαῦτα ὑμᾶς εὐηργετηκότος. — 4. Αὐτὸς ἔφη.) Ἤτοι Ὁμολόγει. — 5. Ἐξάγομαι γάρ.) Βιάζομαι γὰρ ἵνα τοιαῦτα περὶ αὐτοῦ εἴπω. — 6. Ὁ νῦν.) Ἐνταῦθα δοκεῖ προϋπακούεσθαι. Πῶς γὰρ τῶν ὑμετέρων ἀπείχετο χρη—

πόλιν ἀποσχόμενος. Καί τοι τί μέρος ἐστὶ τῶν ὑπὸ Τιμοθέου πεπραγμένων ἀγαθῶν, ἃς Δημοσθένης ἐπρέσβευσεν εἰς Θήβας πρεσβείας; ἢ τίς οὐκ ἂν καταγελάσειεν ὑμῶν τῶν τοῦτο τολμώντων ἀκούειν,[7] ἀντιθεὶς ἐφ' αἷς οὗτος σεμνύνεται πράξεσιν ἐκείνας, ἃς Τιμόθεος ὑμᾶς καὶ Κόνων εὐηργέτησαν; Ἀλλὰ γὰρ οὐ πρὸς τοῦτο τὸ κάθαρμα παραβάλλειν δεῖ τοὺς ἄξια καὶ τῆς πόλεως καὶ τῶν προγόνων ὑπὲρ ὑμῶν πράξαντας. Παρασχόμενος σὺν τὸ ψήφισμα τὸ Τιμοθέῳ γενόμενον,[8] πάλιν ἐπὶ τοὺς περὶ τούτου λόγους βαδιοῦμαι. Λέγε. Ψήφισμα. Ὁ τοιοῦτος, ὦ Δημόσθενες, πολίτης, ὃς δικαίως ἂν καὶ συγγνώμης καὶ χάριτος ἐτύγχανε παρὰ τῶν ἐν ἐκείνοις τοῖς χρόνοις συμπολιτευομένων, οὐ λόγοις, ἀλλ' ἔργοις μεγάλα τῇ πόλει ἀγαθὰ ποιήσας, καὶ διαμείνας ἐπὶ τῆς πολιτείας, καὶ οὐκ ἄνω καὶ κάτω μεταβαλλόμενος, ὥσπερ σύ, ἐτελεύτησεν, οὐ τηλικαύτας τὸν δῆμον αἰτήσας δωρεάς, ὥστε τῶν νόμων εἶναι κρείττων, οὐδ' οἰόμενος δεῖν τοὺς ὀμωμοκότας κατὰ τοὺς νόμους οἴσειν τὴν ψῆφον, ἀλλ' ὑπομένων καὶ κρίνεσθαι, εἰ δόξειε τοῖς δικασταῖς· καὶ οὐ καιροὺς λέγων,[9] οὐδ' ἕτερα φρονῶν καὶ δημηγορῶν.

§ 7. Οὐκ ἀποκτενεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν μιαρὸν τοῦτον ἄνθρωπον; Ὃς πρὸς ἑτέροις πολλοῖς καὶ μεγάλοις ἁμαρτήμασι, καὶ τὴν Θηβαίων πόλιν περιεῖδεν ἀνάστατον γενομένην, τριακόσια τάλαντα λαβὼν εἰς τὴν ἐκείνων σωτηρίαν παρὰ τοῦ Περσῶν βασιλέως· καὶ Ἀρκάδων ἡκόντων εἰς Ἰσθμόν, καὶ τὴν μὲν παρὰ Ἀντιπάτρου πρεσβείαν ἄπρακτον ἀποστειλάντων, τὴν δὲ παρὰ Θηβαίων τῶν ταλαιπώρων προσδεξαμένων, οἳ κατὰ θάλατταν μόλις ἀφίκοντο πρὸς ἐκείνους, ἱκετηρίαν ἔχοντες, καὶ κηρύκια συμπεπλεγμένα (ὡς ἔφασαν) ἐκ τῶν θαλλῶν, ἐροῦντες τοῖς Ἀρκάσιν, ὅτι οὐ τὴν πρὸς Ἕλληνας φιλίαν Θηβαῖοι διαλῦσαι βουλόμενοι, τοῖς πράγμασιν[2] ἐπανέστησαν, οὐδ' ἐναντίον τῶν Ἑλλήνων οὐδὲν πράξοντες· ἀλλὰ τὰ παρ' αὐτοῖς ὑπὸ τῶν Μακεδόνων ἐν τῇ πόλει γενόμενα φέρειν οὐκέτι δυνάμενοι, οὐδὲ τὴν δουλείαν ὑπομένειν, οὐδὲ τὰς ὕβρεις ὁρῶντες εἰς τὰ ἐλεύθερα σώματα γινομένας. Οἷς ἑτοίμων γενομένων τῶν Ἀρκάδων βοηθεῖν, καὶ ἐλεησάντων, ἐν οἷς ἤκουσαν κακοῖς,[3] καὶ φανερὸν ποιησάντων ὅτι τοῖς μὲν σώμασι μετὰ Ἀλεξάνδρου διὰ τοὺς καιροὺς ἀκολουθεῖν ἠναγκάζοντο, ταῖς δ' εὐνοίαις μετὰ Θηβαίων

---

μάτων ὃ νῦν οὐδέ. — 7. Ἀκούειν.) Ὑμῶν τῶν τολμώντων ἀκούειν αὐτοῦ λέγοντος τοῦτο, ὅτι ἐπρέσβευσεν εἰς Θήβας, πᾶς τις ἂν καταγελάσειεν ἀντιτιθεὶς ταῖς τούτου πράξεσιν, ἐφ' αἷς σεμνύνεται, ἐκείνας ἃς Τιμόθ. — 8. Γενόμενον.) Τιμόθεος ἑκατὸν ταλάντων ζημίαν κατεδικάσθη. — 9. Καιροὺς λέγων.) Οὐδ' αἰτιώμενος τὴν κοινὴν δυστυχίαν τῶν χρόνων, καθ' οὓς συνέπεσε.

§ 7. 2. Τοῖς πράγμασι.) Τοῖς καθεστηκόσι. — 3. Ἐν οἷς ἤκουσαν κακοῖς.) Οἷον· ἐλεησάντων αὐτοὺς ὄντας ἐν τούτοις τοῖς κακοῖς, ἃ ἤκουσα ἢ Ἐφ' οἷς

καὶ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἦσαν. Καὶ τοῦ στρατηγοῦ αὐτῶν Ἀστύλου ὠνίου ὄντος (ὥσπερ καὶ Στρατοκλῆς εἶπε) καὶ δέκα τάλαντα αἰτοῦντος, ὥστε ἀγαγεῖν τὴν βοήθειαν τοῖς Θηβαίοις, καὶ τῶν πρεσβευτῶν[4] ὡς τοῦτον[5] ἐλθόντων, ὃν ᾔδεσαν ἔχοντα τὸ βασιλικὸν χρυσίον, καὶ δεομένων καὶ ἱκετευόντων δοῦναι τὰ χρήματα εἰς τὴν τῆς πόλεως σωτηρίαν· οὐκ ἐτόλμησεν ὁ μιαρὸς οὗτος καὶ ἀσεβὴς καὶ αἰσχροκερδὴς ἀπὸ τῶν πολλῶν χρημάτων, ὧν εἶχε, δέκα μόνον τάλαντα δοῦναι, τοσαύτας ὁρῶν ἐλπίδας ὑποβαινούσας εἰς τὴν Θηβαίων σωτηρίαν· ἀλλὰ περιεῖδεν ἑτέρους δόντας[6] τοῦτο τὸ ἀργύριον (ὥσπερ καὶ Στρατοκλῆς εἶπεν) ὑπὲρ τοῦ πάλιν ἀπελθεῖν οἴκαδε τοὺς ἐξεληλυθότας Ἀρκάδων, καὶ μὴ βοηθῆσαι τοῖς Θηβαίοις.

§ 8. Ἆρ' ὑμῖν δοκεῖ μικρῶν κακῶν ἢ τῶν τυχόντων ὅλῃ τῇ Ἑλλάδι αἴτιος γεγενῆσθαι Δημοσθένης, καὶ ἡ τούτου φιλαργυρία; ἢ προσήκειν αὐτὸν ὑφ' ὑμῶν ἐλέου τινὸς τυγχάνειν, τοιαῦτα πεπραγμένον, ἀλλ' οὐ τῆς ἐσχάτης τιμωρίας, καὶ ὑπὲρ τῶν νῦν καὶ ὑπὲρ τῶν πρότερον γεγενημένων ἀδικημάτων; Ἀκούσονται τὴν κρίσιν, ὦ Ἀθηναῖοι, τὴν ὑφ' ὑμῶν ἐν τῇ σήμερον ἡμέρᾳ γεγενημένην πάντες ἄνθρωποι· θεωρήσουσιν ὑμᾶς τοὺς κρίνοντας, ὅπως χρῆσθαι τῷ τοιαῦτα διαπεπραγμένῳ. Ὑμεῖς ἔσθ' οἱ διὰ πολλῷ τῶν ὑπὸ τούτου πεπραγμένων ἀδικημάτων ἐλάττω[2] μεγάλας καὶ ἀπαραιτήτους ἐνίοις ἐπιτεθεικότες τιμωρίας. Ὑμεῖς Μένωνα[3] μὲν τὸν μυλωθρὸν ἀπεκτείνατε, διότι παῖδα ἐλεύθερον ἐκ Πελλήνης ἔσχεν ἐν τῷ μύλωνι. Θεμίστιον δὲ τὸν Ἀφιδναῖον, διότι τὴν Ῥοδίαν κιθαρίστριαν ὕβρισεν Ἐλευσινίοις, θανάτῳ ἐζημιώσατε· Εὐθύμαχον δέ, διότι τὴν Ὀλυνθίαν παιδίσκην ἔστησεν ἐπ' οἰκήματος·[4] διὰ δὲ τοῦτον τὸν προδότην παῖδες καὶ γυναῖκες αἱ Θηβαίων ἐπὶ τὰς σκηνὰς τῶν βαρβάρων διενεμήθησαν· πόλις ἀστυγειτόνων καὶ συμμάχων ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται, ἀροῦται καὶ σπείρεται τὸ Θηβαίων ἄστυ, τῶν κοινωνησάντων ἡμῖν τοῦ πρὸς Φίλιππον πολέμου. Ἀροῦται, φημί, καὶ σπείρεται·[5] καὶ οὐκ ἠλέησε, φημί,

ἤκουσαν κακοῖς. — 4. Τῶν πρεσβευτῶν.) Τῶν Θηβαίων. — 5. Ὡς τοῦτον.) Τὸν Δημοσθένη. — 6. Ἑτέρους δόντας.) Τοὺς Μακεδόνας δοκεῖ λέγειν, δόντας ἀργύριον τοῖς Ἀρκᾶσιν, ἵνα ἀπέλθωσιν οἴκαδε.

§ 8. 2. Οἱ διὰ πολλῷ.. ἐλάττω.) Οἱ ἐπιτεθεικότες ἐνίοις μεγάλας καὶ ἀπαραιτήτους τιμωρίας δι' ἀδικήματα, πολλῷ ἐλάττω τῶν ἀδικημάτων, ἃ οὗτος ἔπραξε. — 3. Ὑμεῖς Μένωνα.) Κατασκευή ἐστι τῶν εἰρημένων. — 4. Ἔστησεν ἐπ' οἰκήματος.) Μισθαρνεῖν καὶ ἐργάζεσθαι τῷ σώματι ἠνάγκασεν. — 5. Ἀροῦται . . . καὶ σπείρεται.) Ἀλέξανδρος γὰρ ὁ μέγας, ἀποδειχθεὶς στρατηγὸς Ἑλλήνων κατὰ τῶν Περσῶν, εἰς Θρᾴκας διέτριβε, βουλόμενος κἀκεῖθεν καθησυχάσειν τὰ πράγματα· ἐν τούτῳ Θηβαῖοι ἀπέστησαν, οὔτε Ἀρκάδες μέχρις Ἰσθμοῦ ἦλθον βοηθήσοντες, καὶ οἱ ἄλλοι Ἕλληνες, καὶ Ἀθηναῖοι διε-

ὁ μιαρὸς οὗτος πόλιν οἰκτρῶς ἀπολλυμένην οὕτως, εἰς ἣν ἐπρέσβευσεν ὑφ' ὑμῶν ἀποσταλείς· οἷς ὁμόσπονδος[6] καὶ ὁμοτράπεζος πολλάκις γέγονεν· ἣν αὐτὸς φησὶ σύμμαχον ὑμῖν ποιῆσαι. Ἀλλὰ πρὸς οὓς εὐτυχοῦντας πολλάκις ἦλθε, τούτους ἀτυχοῦντας προδέδωκε. Κἀκεῖνοι (ὡς οἱ πρεσβύτεροι λέγουσι) καταλελυμένης τῆς δημοκρατίας τῆς παρ' ἡμῖν, καὶ συνάγοντος ἐν Θήβαις Θρασυβούλου τοὺς φυγάδας ἐς τὴν Φυλῆς κατάληψιν, καὶ Λακεδαιμονίων ἰσχυόντων, καὶ ἀπαγορευόντων μηδένα Ἀθηναίων ὑποδέχεσθαι, μηδ' ἐκπέμπειν,[7] ὅμως συνέπραττον τῷ δήμῳ τὴν κάθοδον· καὶ τὸ πολλάκις ἀνεγνωσμένον παρ' ἡμῖν ἐψηφίσαντο ψήφισμα, μὴ περιορᾶν, ἐάν τις ὅπλα διὰ τῆς χώρας τῆς Ἀθηναίων ἔχων πορεύηται.[8] Οὗτος δὲ, ὁ κοινὸν αὐτὸν τοῖς συμμάχοις (ὡς αὐτίκα φήσει) παρέχων, οὐδὲν τοιοῦτον ἔπραξεν, οὐδὲ τῶν χρημάτων, ὧν ἔλαβεν εἰς τούτων σωτηρίαν, οὐδὲν ἠθέλησε προέσθαι.

§ 9. Ὧν ὑμεῖς, ὦ ἄνδρες, μνησθέντες καὶ τὰ ἀτυχήματα τὰ γινόμενα διὰ τοὺς προδότας θεωρήσαντες ἐν ταῖς Ὀλυνθίων καὶ Θηβαίων συμφοραῖς, ὑπὲρ ὑμῶν αὐτῶν ὀρθῶς νυνὶ βουλεύσασθε· καὶ τοὺς δωροδοκεῖν ἐθέλοντας κατὰ τῆς πατρίδος, ἀνελόντες, ἐν ὑμῖν αὐτοῖς καὶ τοῖς θεοῖς τὰς ἐλπίδας τῆς σωτηρίας ἔχετε. Μόνως γὰρ οὕτως, ὦ ἄνδρες Ἀθηναῖοι, μόνως καὶ τοὺς ἄλλους ποιήσετε βελτίους, ἐὰν τοὺς ἐνδόξους τῶν πονηρῶν ἐξελέγξαντες, κολάσητε τῆς πονηρίας ἀξίως. Τοὺς μὲν γὰρ τυχόντας τῶν κρινομένων, ὅταν ἁλῶσιν, οὐδεὶς οἶδεν οὐδὲ ζητεῖ πυθέσθαι τί πεπόνθασι· τοὺς δ' ἐνδόξους πάντες πυνθάνονται· καὶ τοὺς δικάζοντας ἐπαινοῦσιν, ὅταν τὸ δίκαιον μὴ πρόωνται ταῖς τῶν κρινομένων δόξαις. Ἀνάγνωθι τὸ ψήφισμα[2] τὸ Θηβαίων. Λέγε τὰς μαρτυρίας.[3] Ἀναγίνωσκε τὰς ἐπιστολάς.[4] Ψήφισμα. Μαρτυρίαι. Ἐπιστολαί.

---

νοσοῦντο· ἐλθόντος δὲ Ἀλεξάνδρου, ἐφοβήθησαν, καὶ τὰς μὲν Θήβας ἠλέουν, βοηθεῖν δὲ οὐκ ἐτόλμων· οὕτως οὖν Ἀλέξανδρος ἑλὼν Θήβας, οὕτω κατέσκαψεν, φασὶν, ἵνα φοβήσῃ τοὺς λοιποὺς Ἕλληνας, ὥστε καὶ ἀροῦν, καὶ σπείρειν ἐπὶ τὸν τόπον αὐτῆς. — 6. Οἷς ὁμόσπονδος.) Σὺν οἷς ἐσπείσατο τοῖς θεοῖς, εἴτ' ἐν θυσίαις, εἴτ' ἐν εὐωχίαις· τὸ δὲ Οἷς πρὸς τοὺς πολίτας ἀναφέρεται, ἀπὸ τοῦ Πόλις ἀφῃρημένου πρὸς τὸ Πολίτας συγκεκριμένον μεταβαλόντος τοῦ λόγου. — 7. Ἐκπέμπειν.) Οἱ γὰρ Λακεδαιμόνιοι ἀπηγόρευσαν ταῖς πόλεσι ταῖς Ἑλληνικαῖς μήτε δέχεσθαι τὸν ἅπαξ φυγαδευθέντα ἀπ' Ἀθηνῶν, μήτε ἐκπέμπειν ὅπλοις, ἀνδράσι, χρήμασι παρασκευασθέντα πρὸς ἐπανάληψιν τῆς ἐλευθερίας τῆς πατρίδος. — 8. Πορεύηται.) Ἐπὶ κακῷ δηλαδὴ, ἢ καταλύσει τοῦ δήμου.

§ 9. 2. Τὸ ψήφισμα.) Τὸ τῶν Θηβαίων δηλαδὴ, ἐν ᾧ ἔλεγε μὴ περιορᾶν, ἐάν τις ὅπλα διὰ τῆς χώρας τῶν Ἀθηναίων ἔχων πορεύηται ἐπὶ καταλύσει τοῦ δήμου. — 3. Μαρτυρίας.) Τὰς περὶ τῆς ἀδικίας καὶ σκληροκαρδίας Δημοσθένους πρὸς τοὺς Θηβαίων πρέσβεις, ὁπότε πρὸς αὐτὸν ἀφίκοντο περὶ τῶν δέκα ταλάντων ὑπὲρ τοῦ Ἀρκαδικοῦ στρατεύματος δεόμενοι — 4. Τὰς ἐπιστολάς.)

§ 10. Μισθωτὸς οὗτος, ὦ Ἀθηναῖοι, μισθωτὸς οὗτός ἐστι παλαιός. Οὗτος ἦν ὁ τὴν πρεσβείαν τὴν παρὰ τοῦ Φιλίππου πορευομένην ὡς ἡμᾶς ἐκ Θηβῶν καλέσας, καὶ τοῦ λυθῆναι τὸν πρῶτον πόλεμον αἴτιος γενόμενος. Οὗτος Φιλοκράτει συνανεκοινολογεῖτο τῷ γράψαντι πρὸς Φίλιππον εἰρήνην, δι' ἣν ὑμεῖς ἐκεῖνον ἐξεβάλετε, καὶ ζεύγη τοῖς πρέσβεσιν ἐμισθώσατο τοῖς μετὰ Ἀντιπάτρου δεῦρ' ἐλθοῦσιν, ἀναλαμβάνων[2] αὐτούς, καὶ τὸ κολακεύειν τοὺς Μακεδόνας πρῶτος εἰς τὴν πόλιν εἰσάγων. Μὴ ἀφῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ ἀφῆτε τὸν ἐπὶ τοῖς τῆς πόλεως καὶ τῶν ἄλλων Ἑλλήνων ἐντυχήμασιν ἐπιγεγραμμένον,[3] ἀτιμώρητον, εἰλημμένον ἐπ' αὐτοφόρῳ δῶρα ἔχοντα κατὰ τῆς πόλεως. Μηδὲ, τῆς ἀγαθῆς τύχης ἡμᾶς ἐπὶ τὸ βέλτιον ἀγούσης, καὶ τὸν μὲν ἕτερον[4] τῶν τὴν πατρίδα λελυμασμένων ἐκ τῆς πόλεως ἐκβεβληκυίας, τοῦτον δ' ὑμῖν ἀποκτεῖναι παραδούσης, αὐτοὶ τοῖς πᾶσι συμφέρουσιν[5] ἐναντιωθῆτε· ἀλλὰ μετοιωνίσασθε[6] τὰς τῆς πόλεως πράξεις, εἰς τούτους τοὺς ἡγεμόνας τὰς ἀποτυχίας τρέψαντες.

§ 11. Εἰς ποῖον γὰρ καιρὸν ἀποθήσεσθε τοῦτον ὑπολαβόντες χρήσιμον ὑμῖν αὐτοῖς ἔσεσθαι; ἔχοι τις ἂν εἰπεῖν ἢ ὑμῶν ἢ τῶν περιεστηκότων, εἰς ποῖα οὗτος πράγματα εἰσελθὼν ἢ ἴδια, ἢ κοινά, οὐκ ἀνατέτραφεν; Οὐκ, εἰς μὲν τὴν Ἀριστάρχου οἰκίαν εἰσελθών, βουλεύσας τὸν Νικοδήμου θάνατον κατασκευασθέντα[2] (ὃν ἴστε πάντες) ἐξέβαλε τὸν Ἀρίσταρχον ἐπὶ ταῖς αἰσχίσταις αἰτίαις; καὶ τοιούτῳ φίλῳ Δημοσθένει ἐχρήσατο, ὥστε δαίμονα[3] αὐτῷ τοῦτον καὶ τῶν γεγενημένων συμφορῶν ἡγεμόνα νομίσαι προσελθεῖν; Οὐκ, ἐπειδὴ τῷ δήμῳ συμβουλεύειν ἤρξατο (ὡς μή ποτε ὤφειλεν.[4] Ἀφήσω γὰρ αὐτοῦ τὰ ἴδια· ὁ γὰρ χρόνος οὐκ ἐπιδέχεται μακρολογεῖν) ἀγαθὸν μέν, ἁπλῶς εἰπεῖν, οὐδὲν γέγονε τῇ πόλει, ἐν κινδύνοις δὲ καὶ κακ..ς καὶ ἀδοξίᾳ πᾶσα ἡ Ἑλλάς, οὐ μόνον ἡ πόλις, καθέστηκε; Καὶ πλείστοις καιροῖς[5] ἐν ταῖς

---

Τὰς ὑπ' αὐτοῦ καὶ τῶν Θηβαίων γεγραμμένας ἐν τῇ περὶ τῶν δέκα ταλάντων πρεσβείᾳ.

§ 10. 2. Ἀναλαμβάνων.) Θεραπεύων καὶ ὑποδεχόμενος αὐτούς. — 3. Ἐπιγεγραμμένον.) Ὃ ἐστι τὸν αἴτιον γενόμενον τῶν ἀτυχημάτων, μὴ ἀφῆτε ἀτιμώρητον· τὸ γὰρ Ἐπιγράφεσθαι τοιοῦτό τι δηλοῖ. — 4. Καὶ τὸν μὲν ἕτερον.) Τὸν Δημάδην δηλαδή· οὗτος γὰρ εἰς Μακεδονίαν ἐλθών· ἵνα πείσῃ τὸν Ἀντίπατρον, ὅπως ἀπαλλάξῃ τὴν φρουράν· τὸν μὲν Ἀντίπατρον οὐχ εὗρεν, ὑπὸ Κασσάνδρου δὲ συλληφθείς, ἀπεκτάνθη, πρότερος τοῦ υἱοῦ Δημέου, ἔμπροσθεν αὐτοῦ φονευθέντος· Εὗρε γὰρ Κάσσανδρος αὐτοῦ ἐπιστολὴν πρὸς Ἀντίγονον κατὰ Ἀντιπάτρου. Πλουτάρχ. Φωκίων. κεφ. 30. — 5. Τοῖς πᾶσι συμφέρουσιν.) Ὡς εἰ ἔλεγε· πρὸς τὰ πᾶσι συμφέροντα. — 6. Μετοιωνίσασθε.) Τοὺς κακοὺς δηλονότι οἰωνισμοὺς ἀφ' ὑμῶν πρὸς τούτους τρέψατε τοὺς ἡγεμόνας τῶν κακῶν.

§ 11. 2. Κατασκευασθέντα.) Ἐκ κατασκευῆς γενόμενον, ὡς πάντες ἴστε. — 3. Ὥστε δαίμονα.) Ἀλάστορα δηλαδὴ καὶ κακόν. — 4. Ὡς μὴ ποτ' ὤφειλεν.) Ἀπευκτικὸν τοῦτο. — 5. Καιροῖς.) Ἐπιτηδείοις δηλ. ὥστε ὑπὲρ ὑμῶν πολε

δημηγορίαις χρώμενος, ἅπαντας ἀφῆκε τοὺς ὑπὲρ ὑμῶν καιρούς; καὶ ἐν οἷς τις ἂν φιλόπολις ἀνὴρ καὶ κηδεμὼν προείλετό τι πρᾶξαι, τοσοῦτον ἐδέησεν ὁ δημαγωγὸς καὶ χρήσιμος αὐτίκα φήσων ὑμῖν γεγενῆσθαι, πρᾶξίν τινα προφέρειν, ὥστε καὶ τοὺς πράττοντας ὑπὲρ ὑμῶν τι τῆς ἑαυτοῦ τύχης ἀνέπλησεν. Ἀπῆρε Χαρίδημος πρὸς τὸν Περσῶν βασιλέα, χρήσιμος ὑμῖν οὐ λόγοις, ἀλλ' ἔργοις βουλόμενος γενέσθαι, καὶ τοῖς ἰδίοις τοῖς αὐτοῦ κινδύνοις ὑμῖν καὶ τοῖς ἄλλοις Ἕλλησι βουλόμενος τὴν σωτηρίαν παρασκευάσαι, περιιὼν οὗτος κατὰ τὴν ἀγορὰν ἐλογοποίει, καὶ τῶν πραττομένων εἰσεποίει κοινωνὸν αὐτόν· οὕτω κατέστρεψεν ἡ τύχη ταῦτα, ὡς τἀναντία γίνεσθαι τοῖς προσδοκωμένοις. Ἐξέπλευσεν Ἐφιάλτης, μισῶν μὲν τοῦτον, ἀναγκαζόμενος δὲ τῶν πραγμάτων κοινωνεῖν· ἀφείλετο καὶ τοῦτον[6] ἡ τύχη[7] τῆς πόλεως. Εὐθύδικος προῃρεῖτο τὰς ὑπὲρ τοῦ δήμου πράξεις· ἔφη τούτῳ Δημοσθένης φίλος εἶναι· οὗτος ἀπώλετο.

§ 12. Καὶ ταῦθ' ὑμεῖς ὁρῶντες, καὶ ἐπιστάμενοι, πολὺ βέλτιστον ἢ ἐγώ, οὐ λογίζεσθε, οὐ σκοπεῖσθε πρὸς ὑμᾶς αὐτοὺς, τεκμαιρόμενοι τὰ μέλλοντα ἐκ τῶν γεγενημένων, ὅτι οὐδὲν οὗτος χρήσιμος, ἀλλ' ἢ τοῖς ἐχθροῖς κατὰ τῆς πόλεως συστῆσαι κατασκευὴν ἑτέραν, οἷα ἐπ' Αἰγὸς[2] ἐγένετο, ὅτε Λακεδαιμόνιοι μὲν ἅπαντες ἐξεστράτευσαν,[3] Ἀχαιοὶ δὲ καὶ Ἠλεῖοι τῶν πραγμάτων[4] ἐκοινώνουν, ὑπῆρχον δὲ[5] ξένοι μύριοι· Ἀλέξανδρος δὲ, ὡς οἱ λέγοντες,[6] ἐν Ἰνδοῖς ἦν· ἡ δὲ Ἑλλὰς ἅπασα, διὰ τοὺς ἐν ἑκάστῃ τῶν πόλεων προδότας, ἀχθομένη τοῖς παροῦσι πράγμασιν, ἠσμένει μεταβολήν τινα τῶν κακῶν, τῶν περιεστηκότων. Νῦν οὖν ἐν τούτοις τοῖς καιροῖς, Δημόσθενες, τίς ἦν ὁ τοῦ συμβουλεῦσαι καὶ γράψαι κύριος, καὶ φήσων αὐτίκα δεῖν μισεῖν τὰ καθεστῶτα πράγματα. Ἐῶ γὰρ τοὺς ἄλλους κινδύνους. Ἔγραψάς τι περὶ του τῶν κινδύνων; συνεβούλευσας; ἐπόρισας χρήματα; μικρόν τι χρήσιμος ἐγένου τοῖς ὑπὲρ τῆς κοινῆς σωτηρίας πράττουσιν; Οὐδ' ὁτιοῦν, ἀλλὰ περιήεις κατασκευάζων λογοποιοὺς, καὶ παρ' αὐτῷ[7]

τεύεσθαι. — 6. Τοῦτον.) Τὸν Δημοσθένη δηλ. — 7. Ἡ τύχη.) Τοῦ Δημοσθένους ἐναντία ἀεὶ οὖσα.

§ 12. 2. Ἐπ' Αἰγός.) Ποταμοῖς· ἔνθα τοῦ ναυτικοῦ τῶν Ἀθηναίων ὑπὸ Λυσάνδρου ἁλόντος, καὶ ἡ πόλις ὑπὸ Λακεδαιμονίων ἐγένετο· Ὁ δὲ νοῦς· εἰς τοῦτο μόνον χρήσιμος ἐγένετο, ὥστε κατὰ τῆς πόλεως ἄλλην συστῆσαι κατασκευὴν ὁμοίαν τῇ ἐπὶ τοῦ ἐν Αἰγὸς ποταμοῖς συμβεβηκυίᾳ, καὶ ταύτην συστῆσαι ὅτε, Λακεδ. καὶ τλ. Τινὲς δὲ φασὶ μὴ τοῦτο δηλοῦν, ἀλλ' ἐπὶ Αἰγός τινος ἄρχοντος· ἐκ τῶν ἑπομένων λαμβάνοντες τὴν ἀφορμήν. — 3. Ἐξεστράτευσαν.) Κατ' Ἀντιπάτρου δηλ. καὶ Μακεδόνων. — 4. Τῶν πραγμάτων.) Δι' ὧν δηλονότι παρεσκευάζοντο οἱ Ἕλληνες ἀποσεῖσαι τὸν τῶν Μακεδόνων ζυγὸν, καὶ τὴν ἐλευθερίαν ἑαυτοῖς ἀποκαταστῆσαι. — 5. Ὑπῆρχον δέ.) Τοῖς Ἕλλησι σύμμαχοι κατὰ τὸν πόλεμον τοῦτον συνελθόντες. — 6. Ὡς οἱ λέγοντες.) Ἐννοεῖται Ἦσαν· ἀντὶ Ὥς τινες ἔλεγον· ὡς ἐλέγετο. — 7. Παρ' αὐτῷ.) Ἀντὶ Παρὰ σεαυτῷ· Σημείωσαι δὲ ὅτι

γράφων ἐπιστολήν· καὶ καταισχύνων τὴν τῆς πόλεως δόξαν, χρυσὸν ἐκ τῶν δακτύλων ἀναψάμενος περιεπορεύετο· τρυφῶν ἐν τοῖς τῆς πόλεως κακοῖς, καὶ ἐπὶ φορείου κατακομιζόμενος τὴν εἰς Πειραιᾶ ὁδὸν, καὶ τὰς τῶν πενήτων ἀπορίας ὀνειδίζων. Εἶθ' οὗτος εἰς τοὺς μέλλοντας ὑμῖν καιροὺς ἔσται χρήσιμος, παραβεβηκὼς ἅπαντας τοὺς παρεληλυθότας; Τοιούτων, ὦ δέσποιν' Ἀθηνᾶ, καὶ Ζεῦ σῶτερ, συμβούλων καὶ ἡγεμόνων ὤφελον τυχεῖν οἱ πολεμήσαντες τὴν πόλιν,[8] καὶ μηδέποτε βελτιόνων.

§ 13. Οὐκ ἀναμνήσεσθε, ὦ ἄνδρες, τὰς τῶν πρεσβυτέρων πράξεις; οἱ μεγάλων καὶ πολλῶν κινδύνων καταλαμβανόντων τὴν πόλιν, ἀξίως τῆς πατρίδος καὶ τῆς αὐτῶν ἐλευθερίας καὶ τῆς δόξης τῆς δικαίας, ὑπὲρ τῶν τοῦ δημοσίου συμφερόντων ἐκινδύνευσαν; Ὧν τοὺς μὲν ἀρχαίους ἐκείνους μακρὸν ἂν εἴη λέγειν, Ἀριστείδην καὶ Θεμιστοκλέα, τοὺς ὀρθώσαντας τὰ τείχη τῆς πόλεως, καὶ τοὺς φόρους εἰς ἀκρόπολιν ἀνενεγκόντας παρ' ἑκόντων καὶ βουλομένων τῶν Ἑλλήνων· ἀλλὰ ταυτὶ[2] τὰ μικρὸν πρὸ τῆς ἡμετέρας ἡλικίας γεγενημένα ὑπὸ Κεφάλου τοῦ ῥήτορος, καὶ Θράσωνος τοῦ Ἐρχιέως, καὶ Ἡλίου Φορμισίου καὶ ἑτέρων ἀνδρῶν ἀγαθῶν, ὧν ἐνίων ἔτι καὶ νῦν ζῇ τὰ σώματα.[3] Τούτων γὰρ οἱ μὲν, φρουρουμένης ὑπὸ Λακεδαιμονίων τῆς Καδμείας, βοηθήσαντες τοῖς εἰς Θήβας κατιοῦσι τῶν φυγάδων τοῖς ἰδίοις κινδύνοις, ἠλευθέρωσαν πόλιν ἀστυγείτονα, καὶ πολὺν χρόνον δουλεύουσαν· οἱ δὲ[4] πείσαντες ἐξελθεῖν ὑμῶν τοὺς προγόνους, Κεφάλου τούτου[5] ψήφισμα γράψαντος, ὃς οὐ καταπλαγεὶς τὴν Λακεδαιμονίων δύναμιν, οὐδὲ λογισάμενος ὅτι τὸ κινδυνεύειν καὶ τὸ γράφειν ὑπὲρ τῆς πόλεως ἐπισφαλές ἐστιν, ἔγραψεν ἐξιέναι βοηθήσοντας Ἀθηναίους τοῖς κατειληφόσι τῶν φυγάδων Θήβας· καὶ ἐξελθόντων ἐκεῖ τῶν ἡμετέρων πατέρων, ὀλίγαις ἡμέραις ἐξεβλήθη ὁ τῶν Λακεδαιμονίων φρούραρχος, ἠλευθεροῦντο Θηβαῖοι· διεπέπρακτο ἡ πόλις ἡ ἡμετέρα ἄξια τῶν προγόνων. Ἐκεῖνοι ἦσαν, ἐκεῖνοι, ὦ Ἀθηναῖοι, ἄξιοι σύμβουλοι καὶ ἡγεμόνες ὑμῶν καὶ τοῦ δήμου· μὰ Δί' οὐ τὰ τοιαῦτα κινάδη, οἳ πεποιήκασι[6] μὲν οὐδὲν, οὐδὲ πράξουσιν

---

τὸ τρίτον τῆς συνθέτου ἑνικῶς σπανιώτατα εὑρίσκεται ἀντὶ πρώτου, ἢ δευτέρου προσώπου λαμβανόμενον. — 8. Οἱ πολεμήσαντες τὴν πόλιν.) Τὸ Πολεμῶ δοτικῇ συντάσσεται πρὸς αἰτιατικὴν δὲ φερόμενον ἔλλειψιν δοκεῖ ἔχειν προθέσεως τῆς Πρός· ἢ γοῦν οὐ κατ' ἀντίδρασιν λαμβάνεται τὸ ῥῆμα, ἀλλὰ κατ' ἐνέργειαν εἴς τι μεταβαζομένην κατὰ τὰ αἰτιατικῇ συντασσόμενα.

§ 13. 2. Ἀλλὰ ταυτί.) Ὑπακούεται, Ὁρᾶτε, ἢ σκοπεῖτε, ἢ βούλομαι λέγειν, ἢ, καιρὸς εἴη λέγειν. — 3. Τὰ σώματα.) Ἀντὶ τοῦ, ὧν ἔνιοι ἔτι νῦν ζῶσι, τῷ δὲ Σώματα ἀντὶ τῶν ἀνθρώπων πολλάκις χρῶνται Ἕλληνες. — 4. Οἱ δέ.) Ἀπὸ κοινοῦ ἐννοεῖται τὸ, Ἠλευθέρωσαν τὰς Θήβας. — 5. Τούτου.) Τῇ ἐπὶ παρόντος δεικτικῇ ἐχρήσατο ἀντὶ τῇ ἐπὶ ἀπόντος, πρὸς ἐπίτασιν τοῦ λεγομένου καὶ βεβαίωσιν. — 6. Οἳ πεποιήκασι.) Τὸ Κίναδος ἐστὶν οὐδέτερον· ἔδει οὖν

ἀγαθὸν ὑπὲρ τῆς πόλεως, τὴν δὲ αὑτῶν ἀσφάλειαν τηροῦντες καὶ πάντοθεν ἀργυριζόμενοι, καὶ πεποιηκότες τὴν πόλιν ἀδοξοτέραν ἑαυτῶν, καὶ νῦν εἰλημμένοι δῶρα καθ' ὑμῶν εἰληφότες, παρακρούονται ὑμᾶς, καὶ ἀξιοῦσι τοιοῦτοι γεγενημένοι, περὶ τῆς ἑαυτῶν πλεονεξίας παραγγέλλειν.[7] Οὓς χρὴ τεθνάναι κατὰ τὸ ἑαυτῶν ψήφισμα πάλαι, τοιαῦτα διαπεπραγμένους.

§ 14. Οὐκ αἰσχύνεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν κατὰ Δημοσθένους τιμωρίαν ἐκ τῶν ἡμετέρων λόγων μόνον ἡγούμενοι δεῖν κρίνειν; Οὐκ ἴστε τοῦτον αὐτοὶ δωροδόκον ὄντα, καὶ κλέπτην καὶ προδότην φίλων, καὶ τῆς πόλεως ἀνάξιον; καὶ αὐτὸν καὶ τὴν περὶ τοῦτον τύχην[2] γεγενημένην; Ἀπὸ ποίων ψηφισμάτων οὗτος, ἢ ποίων νόμων οὐκ εἴληφεν ἀργύριον; Εἰσί τινες ἐν τῷ δικαστηρίῳ τῶν ἐν τοῖς τριακοσίοις γεγενημένων, ὅθ' οὗτος ἐτίθει τὸν περὶ τριηράρχων νόμον, οὐ φράσετε τοῖς πλησίον, ὅτι τρία τάλαντα λαβὼν, μετέγραφε καὶ κατεσκεύαζε τὸν νόμον καθ' ἑκάστην ἐκκλησίαν; καὶ τὰ μὲν ἐπώλει, ὧν εἰλήφει τὴν τιμὴν,[3] τὰ δ' ἀποδόμενος[4] οὐκ ἐβεβαίου. Εἴπατέ μοι πρὸς Διὸς, ὦ ἄνδρες, προῖκα τοῦτον οἴεσθαι γράψαι Διφίλῳ τὴν ἐν Πρυτανείῳ σίτησιν, καὶ τὴν εἰς τὴν ἀγορὰν ἀναθησομένην εἰκόνα; ἢ τὸ ποιῆσαι πολίτας ὑμᾶς Χαιρέφιλον καὶ Φείδωνα καὶ Πάμφιλον καὶ Φίλιππον· καὶ πάλιν Ἐπιγένη καὶ Κόνωνα, τοὺς τραπεζίτας; ἢ τὸ χαλκοῦς ἐν ἀγορᾷ καταστῆσαι Βηρισάδην καὶ Σάτυρον καὶ Γόργιππον, τοὺς ἐχθίστους τυράννους; παρ' ὧν αὐτῷ χίλιοι μέδιμνοι τοῦ ἐνιαυτοῦ πυρῶν ἀποστέλλονται τῷ οὐδ' ὅπῃ καταφύγῃ[5] αὐτίκα φήσοντι εἶναι; ἢ τὸ γράψαι Ταυροσθένην Ἀθηναῖον εἶναι, τοὺς μὲν αὐτῷ[6] πολίτας καταδουλωσάμενον, τῆς δ' Εὐβοίας ὅλης μετὰ τοῦ ἀδελφοῦ Καλλίου προδότην Φιλίππῳ γεγενημένον, ὃν[7] οὐκ ἐῶσιν οἱ νόμοι τῆς Ἀθηναίων χώρας ἐπιβαίνειν· εἰ δὲ μὴ, τοῖς αὐτοῖς[8] ἔνοχον εἶναι κελεύουσιν, οἷσπερ ἄν τις τῶν φευγόντων ἐξ Ἀρείου πάγου κατίῃ. Καὶ τοῦτον οὗτος ὁ δημοτικὸς ὑμέτερον ἔγραψε πολίτην εἶναι. Περὶ τούτων οὖν μάρτυρας ὑμῖν δεῖ καλεῖν, ἢ περὶ τῶν ἄλλων,

---

εἰπεῖν Ἅ· ἐπειδὴ δὲ πρὸς Δημοσθένη καὶ τοὺς ὁμοίους αὐτῷ ἀναφέρει τὸ λεχθὲν, πρὸς αὐτοὺς καὶ τὴν ἀναφορὰν ἐποιήσατο. — 7. Παραγγέλλειν.) Ὑμῖν δηλαδή· ἵνα συγγνώμην αὐτοῖς ἔχητε.

§ 14. 2. Καὶ τὴν περὶ τοῦτον τύχην.) Καὶ τὴν τούτου τύχην. — 3. Ὧν εἰλήφει τὴν τιμήν.) Ἐκεῖνα δηλονότι ἐπώλει, ὧν τὴν τιμὴν εἰλήφει· παλιγκάπηλος τρόπον τινὰ γενόμενος. — 4. Τὰ δὲ ἀποδόμενος.) Ὧν δὲ ἀπεδίδοτο τὴν τιμὴν, ταῦτα οὐκ ἐβεβαίου. — 5. Τῷ οὐδ' ὅπῃ καταφύγῃ.) Τῷ αὐτίκα φήσοντι οὐκ εἶναι αὐτῷ οὐδ' ὅπῃ καταφύγῃ. — 6. Τοὺς μὲν αὐτῷ.) Ὁ γὰρ πολίτης τῶν ἐξ ἴσου τι δηλούντων ὢν, δοτικῇ συντάσσεται κατὰ τὰ ἐξ ἴσου. — 7. Ὃν.) Καλλίαν ἀδελφὸν Ταυροσθένους· περὶ τούτων ὅρα Αἰσχύνην κατὰ Κτησιφῶντος. — 8. Τοῖς αὐτοῖς.) Νόμοις, οἳ ἀτίμους ποιοῦσι τοὺς ἐξ Ἀρείου πάγου φεύγοντας, ὡς ἔστιν εἰκάσαι ἐκ τοῦ νόμου τοῦ Σόλωνος τοῦ παρὰ Πλουτάρχῳ ἐν

ὅσους οὗτος γέγραφε προξένους εἶναι καὶ Ἀθηναίους; Πρὸς τῆς Ἀθηνᾶς, οἴεσθε αὐτὸν ἀργύριον μὲν χαίρειν λαμβάνοντα, χρυσίου δ' εἴκοσι τάλαντα οὐκ ἂν λαβεῖν; ἢ κατὰ μικρὸν μὲν δωροδοκεῖν, ἀθρόον δ' οὐκ ἂν προσδέξασθαι τοσοῦτον λῆμμα; ἢ τὴν ἐξ Ἀρείου[9] πάγου βουλὴν Δημοσθένην καὶ Δημάδην καὶ Κηφισοφῶντα ζητήσασαν ἓξ μῆνας, ἀδίκως εἰς ὑμᾶς πεποιῆσθαι τὰς ἀποφάσεις;

§ 15. Πολλοί, ὦ ἄνδρες, πολλοὶ τῶν πολιτῶν καὶ τῶν ἄλλων Ἑλλήνων (ὅπερ καὶ πρότερον εἶπον) θεωροῦσιν ὑμᾶς πῶς τοῦτον δικάσετε τὸν ἀγῶνα· καὶ πότερον εἰσαγωγίμους[2] καὶ τὰς τῶν ἄλλων δωροδοκίας ποιήσετε, ἢ ἀνέδην ἐξέσται δῶρα λαμβάνειν καθ' ὑμῶν· καὶ τὰ πρότερον δοκοῦντα πιστὰ καὶ βέβαια εἶναι, νῦν ἄπιστα διὰ τὴν Δημοσθένους κρίσιν γενήσεται· ὃν ἐκ τῶν ἄλλων[3] προσῆκεν ἀπολωλέναι τῶν πεπολιτευμένων αὐτῷ· ὃς ἁπάσαις ταῖς ἀραῖς ταῖς ἐν τῇ πόλει γενομέναις ἔνοχος καθέστηκεν, ἐπιωρκηκὼς μὲν τὰς σεμνὰς θεὰς[4] ἐν Ἀρείῳ πάγῳ, καὶ τοὺς ἄλλους θεούς, οὓς ἐκεῖ διόμνυσθαι νόμιμόν ἐστι, κατάρατος δὲ καθ' ἑκάστην ἐκκλησίαν γενόμενος, ἐξεληλεγμένος δῶρα κατὰ τῆς πόλεως εἰληφώς, ἐξηπατηκὼς δὲ καὶ τὸν δῆμον καὶ τὴν βουλὴν παρὰ τὴν ἀράν.[5] Καὶ ἕτερα μὲν λέγων, ἕτερα δὲ φρονῶν· ἰδίᾳ δὲ συμβεβουλευκὼς Ἀριστάρχῳ δεινὰς καὶ παρανόμους συμβουλάς, αὖθις (εἴπερ ἐστί που δικαία τιμωρία κατὰ τῶν ἐπιόρκων καὶ πονηρῶν, ὥσπερ ἐστὶ) δώσει δίκην οὗτος, ἐν δὲ τῇ σήμερον ἡμέρᾳ. Ἀκούσατε, ἄνδρες δικασταί, τὰς ἀράς. Ἀ ρ ά.

§ 16. Ἀλλ' ὅμως, ὦ ἄνδρες δικασταί, οὕτω Δημοσθένης τῷ ψεύδεσθαι καὶ μηδὲν ὑγιὲς λέγειν, ἑτοίμως χρῆται· καὶ οὔτε αἰσχύνης, οὔτε ἐλέγχου, οὔτε ἀρᾶς, οὐδὲν αὐτῷ μέλει, ὥστε καὶ περὶ ἐμοῦ τολμῆσαι λέγειν, (ὡς ἀκούω) ὡς ἄρα κἀμοῦ κατέγνω πρότερον ἡ βουλή· καὶ ποιῶ πάντων ἀτοπώτατον, ὡς οὗτός φησι· πρότερον μὲν ἐναντίον τῇ τῆς βουλῆς ἀποφάσει ἀγῶνα ἀπολογούμενος ὑπὲρ ἐμαυτοῦ, νυνὶ δὲ συνηγορῶν αὐτῇ, κατηγορῶν τούτου περὶ τῆς γεγενημένης ἀποφάσεως· πρᾶγμα κατασκευάζων οὐ γεγενημένον, ἀλλὰ ψεύδεσθαι πρός τινας τολμῶν.[2] Ἵν' οὖν, ἐὰν ἐπὶ

Σόλωνι κεφ. ιθ'. — 9. Ἢ τὴν ἐξ Ἀρείου.) Ἐννοεῖται ἀπὸ κοινοῦ τὸ Οἴεσθε.

§ 15. 2. Εἰσαγωγίμους.) Ἀντὶ τοῦ Ὑποδίκους καὶ ὑπευθύνους. — 3. Ἐκ τῶν ἄλλων.) Ὡς εἰ ἔλεγεν· ὄν, εἰ καὶ μὴ ἐκ ταύτης τῆς κατηγορίας, ἐκ γοῦν τῶν ἄλλων προσῆκ. — 4. Τὰς σεμνὰς θεάς.) Σεμνὰς θεὰς ἐκάλουν τὰς Εὐμενίδας· εἴτ' οὖν τὰς Ἐριννύας κατ' εὐφημισμόν· ἦσαν δὲ τρεῖς Ἀληκτώ, Μέγαιρα, Τισιφόνη. Θυγατέρες τοῦ Ἅδου καὶ τῆς Νυκτός· ἐβασάνιζον δὲ τοὺς κακῶς βιώσαντας ἐν ᾅδου ὄφεσι, καὶ ἡμμέναις λαμπᾶσι. — 5. Παρὰ τὴν ἀράν.) Τῆς ἀρᾶς δηλαδὴ κωλυούσης.

§ 16. 2. Κατασκευάζων . . . τολμῶν.) Αἱ ὀνομαστικαὶ ἀποδίδονται πρὸς τὸ Οὗτος φησί· ἢ γοῦν πρὸς τὸ Ἑτοίμως χρῆται.

τούτων ἢ τὸν λόγον, μὴ ἐπιτρέπητε αὐτῷ ἀλλ' εἰδῆτε ἀκριβῶς, ὅτι οὔτ' ἐμὲ ἀπέφηνεν ἡ βουλὴ, οὔτ' ἐμέλλησεν, ἠδικήθην δὲ ὑφ' ἑνὸς ἀνθρώπου πονηροῦ, καὶ δίκην δεδωκότος παρ' ὑμῖν, ἀκούσατέ μου βραχέα. Ἔπειτ' ἐπὶ τοῦτον πάλιν βαδιοῦμαι.

§ 17. Ἀνάγκη τὴν βουλὴν, ὦ ἄνδρες, τὴν ἐξ Ἀρείου πάγου κατὰ δύο τρόπους ποιεῖσθαι τὰς ἀποφάσεις πάσας. Τίνας τούτους; Ἤτοι αὐτὴν προελομένην καὶ ζητήσασαν,[2] ἢ τοῦ δήμου προστάξαντος αὐτῇ. Χωρὶς τούτων οὐκ ἔστιν ὅν τινα τρόπον ποιήσειεν. Εἰ μὲν τοίνυν φῂς, ὦ μιαρὸν σὺ θηρίον, τοῦ δήμου προστάξαντος ζητήσασαν τὴν βουλὴν περὶ ἐμοῦ ποιήσασθαι τὴν ἀπόφασιν, δεῖξον τὸ ψήφισμα, καὶ τίνες ἐγένοντό μου κατήγοροι, γενομένης τῆς ἀποφάσεως, ὥσπερ νῦν[3] ἀμφότερα γέγονε, καὶ ψήφισμα, καθ' ὃ ἐζήτησεν ἡ βουλὴ, καὶ κατήγοροι, χειροτονήσαντος τοῦ δήμου, παρ' ὧν νῦν οἱ δικασταὶ τἀδικήματα πυνθάνονται. Κἂν ᾖ ταῦτα ἀληθῆ, ἀποθνήσκειν ἕτοιμός εἰμι· εἰ δ' αὐτὴν προελομένην ἀποφῆναί με φῂς, παράσχου μάρτυρας τοὺς Ἀρεοπαγίτας, ὥσπερ ἐγὼ παρέξομαι, ὅτι οὐκ ἀπεφάνθην.[4] Καταψευσάμενον[5] μέντοι κἀμοῦ καὶ τῆς βουλῆς, ὥσπερ σὺ,[6] καὶ πονηρὸν προδότην εἰσαγγείλας, καὶ ἐξελέγξας ἐν πεντακοσίοις τῶν πολιτῶν, ὅτι μισθώσας αὐτὸν Τιμοκλεῖ κατ' ἐμοῦ ταῦτ' ἔπραξεν, ἐτιμωρησάμην μετὰ τῶν τότε δικασάντων. Λάβε μοι σὺ τὴν μαρτυρίαν, ἣν καὶ πρότερον παρεσχόμην τοῖς δικασταῖς, καὶ οὐδεὶς ἐπεσκήψατο ὡς ψευδεῖ οὔσῃ, ἣν καὶ νῦν[7] παρέξομαι. Λέγε τὴν μαρτυρίαν.

Μαρτυρία.

§ 18. Εἶτ' οὐ δεινὸν, ὦ Ἀθηναῖοι, εἰ, ὅτι μὲν εἷς ἀνὴρ ἔφησε Πιστίας, Ἀρεοπαγίτης ὢν, ἀδικεῖν με, καταψευδόμενος κἀμοῦ καὶ τῆς βουλῆς, ἴσχυσεν ἂν[2] τὸ ψεῦδος τῆς ἀληθείας μᾶλλον, καὶ διὰ τὴν ἀσθένειαν τὴν τότε καὶ τὴν ἐρημίαν τὴν ἐμὴν, ἐπιστεύθησαν αἱ κατ' ἐμοῦ ψευδεῖς γινόμεναι κατασκευαί. Ἐπειδὴ δὲ τἀληθὲς παρὰ πάσης τῆς ἐξ Ἀρείου πάγου βουλῆς ὁμολογεῖται, Δημοσθένην εἰληφέναι εἴκοσι τάλαντα χρυσίου καθ' ὑμῶν, καὶ ταῦτα πεποιηκότα ἀδικεῖν· καὶ ὁ δημαγωγὸς ὑμῖν, ἐν ᾧ τὰς ἐλπίδας ἔχουσί τινες, ἐπ' αὐτοφώρῳ χρήματα λαμβάνων εἴληπται, νῦν τὰ νόμιμα τἀκεῖθεν, καὶ τὰ δίκαια καὶ τἀληθῆ ἀσθενέστερα γε-

---

§ 17. 2. Προελομένην καὶ ζητήσασαν.) Ἤτοι ἐκ τῆς αὐτῶν προαιρέσεως τῶν βουλευτῶν ζητησάντων· ἢ γοῦν αὐθαιρέτως ζητήσασαν. — Ὥσπερ νῦν.) Περὶ σοῦ δηλ. — 4. Οὐκ ἀπεφάνθην.) Παρὰ τῆς βουλῆς δηλ. — 5. Καταψευσάμενον.) Τὸν ἄνθρωπον ἐκεῖνον. — 6. Ὥσπερ σύ.) Κατεψεύσω κἀμοῦ καὶ τῆς βουλῆς. — 7. Ἣν καὶ νῦν.) Ὥσπερ δηλαδὴ καὶ πρότερον παρέσχον, οὕτω καὶ νῦν παρ.

§ 18. 2. Ἴσχυσεν ἄν.) Ὑποθετικῶς καὶ ἐλλειπτικῶς, Εἰ μὴ ἄρα ἐξήλεγξα ψευδόμενον τὸν Πιστίαν καὶ ψευδομάρ-

νήσεται τῶν Δημοσθένους λόγων; Καὶ ἰσχύσει μᾶλλον τῆς ἀληθείας ἡ παρὰ τούτου ῥηθησομένη κατὰ τοῦ συνεδρίου διαβολή. Ὡς ἄρα πολλοὺς ἡ βουλὴ ἀποπέφαγκεν ἀδικεῖν τὸν δῆμον, οἱ ἀποπεφεύγασιν εἰσελθόντες εἰς τὸ δικαστήριον, καὶ ἡ βουλὴ ἐπ' ἐνίων τὸ πέμπτον μέρος οὐ μετείληφε τῶν ψήφων; Τοῦτο δὲ ὃν τρόπον γίνεται, ῥᾳδίως ἅπαντες μαθήσεσθε. Ἡ βουλὴ, ὦ ἄνδρες, ζητεῖ τὰ προσταχθέντα ὑφ' ὑμῶν, καὶ τὰ γεγενημένα[3] παρ' αὐτοῖς ἀδικήματα, οὐχ ὡς ὑμεῖς (καί μοι μὴ ὀργισθῆτε) δικάζειν ἐνίοτε εἴθισθε, τῇ γνώμῃ[4] πλέον ἢ τῷ δικαίῳ ἀπονέμοντες· ἀλλ' ἁπλῶς τὸν ἔνοχον ὄντα τοῖς ζητουμένοις,[5] καὶ τὸν ὁποιονοῦν ἠδικηκότα τὰ πάτρια· νομίζουσα τὸν ἐν τοῖς μικροῖς συνεθιζόμενον ἀδικεῖν, τοῦτον τὰ μεγάλα τῶν ἀδικημάτων εὐτυχέστερον προσδέξασθαι. Διόπερ παρ' αὐτῶν[6] ἀποστερήσαντα τὸν ναῦλον τὸν πορθμέα ζημιώσασα, πρὸς ὑμᾶς ἀπέφηνε. Πάλιν τὸν τὴν πενταδραχμίαν ἐπὶ τῷ τοῦ μὴ παρόντος ὀνόματι λαβεῖν ἀξιώσαντα, καὶ τοῦτον ὑμῖν ἀπέφηνε· καὶ τὸν τὴν μερίδα τὴν ἐξ Ἀρείου πάγου τολμήσαντα ἀποδόσθαι, τὰ νόμιμα[7] τὸν αὐτὸν τρόπον ζημιώσασα ἐξέβαλε. Τούτους ὑμεῖς κρίναντες ἀφήκατε, οὐ τῆς ἐξ Ἀρείου πάγου βουλῆς καταγινώσκοντες ψεύδεσθαι, ἀλλὰ τῇ συγγνώμῃ μᾶλλον ἢ τῷ δικαίῳ προσθέμενοι, καὶ τὴν τιμωρίαν μείζω νομίζοντες εἶναι τῆς ὑπὸ τῶν κρινομένων γεγενημένης ἁμαρτίας. Ἦπου ἄρα ἡ βουλὴ, Δημόσθενες, τὰ ψευδῆ ἀπέφηνεν; Οὐ δήπου.

§ 19. Τούτους μέντοι, ὦ ἄνδρες, καὶ τοιούτους ἑτέρους ἀδικεῖν παρ' ἑαυτῇ[2] ἀποφηνάσης τῆς βουλῆς, ὑμεῖς ἀφήκατε. Πολύευκτον δὲ τὸν Κυδαντίδην τοῦ δήμου προστάξαντος ζητῆσαι τὴν βουλὴν, εἰ συνεισέρχεται τοῖς φυγάσιν εἰς Μέγαρα, καὶ ζητήσασαν ἀποφῆναι πρὸς ὑμᾶς, ἀπέφηνεν ἡ βουλὴ συνιέναι. Κατηγόρους εἵλεσθε κατὰ τοὺς νόμους, εἰσῆλθεν εἰς τὸ δικαστήριον· ἀπελύσασθ' ὑμεῖς, ὁμολογοῦντο Πολυεύκτου βαδίζειν εἰς Μέγαρα ὡς τὸν Νικοφάνην. Ἔχειν γὰρ τὴν αὐτοῦ μητέρα τοῦτον. Οὐδὲν οὖν ἄτοπον οὐδὲ δεινὸν ἐφαίνετο ποιεῖν ὑμῖν τῷ τῆς μητρὸς ἀνδρὶ διαλεγόμενος ἠτυχηκότι, καὶ

---

τυρα γενόμενον. — 3. Καὶ τὰ γεγενημένα.) Τὰ πραχθέντα παρὰ τοῖς κρινομένοις· τινὲς δὲ οὕτω φασί· τὰ εὑρημένα δηλαδὴ καὶ ἐγνωσμένα παρὰ τοῖς Ἀρεοπαγίταις, ἐλήφθη δὲ ὥς φασιν, ἀπὸ τῆς ἀριθμητικῆς, καθ' ἣν τὸ ἀπὸ πολλαπλασιασμοῦ εὑρεθὲν κεφάλαιον Γενόμενον λέγεται. — 4. Τῇ γνώμῃ.) Τῇ θελήσει καὶ προθυμίᾳ τῆς ψυχῆς. — 5. Τοῖς ζητουμένοις.) Ἐλλείπει μετὰ τοῦτο τὸ Ἀποφαίνει· ἢ τοιοῦτό τι ῥῆμα, οἷον Κολάζει οἷον· τὸν ἔνοχον ὄντα τοῖς ζητουμένοις, καὶ τὸν ὁποιονοῦν τι ἠδικηκότα κατὰ τὰ πατρια κολάζει, νομίζουσα. — 6. Διόπερ τὸν παρ' αὐτῶν.) Ἤτοι· ζημιώσασα τὸν ἐκ τῆς αὐτῶν ἑταιρείας ὄντα, ἐπειδὴ ἀπεστέρησε τὸν ναῦλον τὸν πορθμέα· τὸ Ἀποστερῶ αἰτιατικῇ καὶ γενικῇ συντάσσεται, ὅταν ἐννοῆται, Μέρος, ὅταν δὲ οὐδὲν ἐννοῆται, αἰτιατικῇ προσώπου καὶ αἰτιατικῇ πράγματος· ὡς ἐνταῦθα. — 7. Τὰ νόμιμα.) Κατὰ τὰ νόμιμα.

§ 19 2. Παρ' ἑαυτῇ.) Κατὰ τὸ Παρ' ἐμοὶ κριτῇ, Σημαίνει δὲ τὸ παρ' ἡμῖν,

συνευπορῶν, καθ' ὅσον δυνατὸς ἦν, ἀπεστερημένῳ τῆς πατρίδος. Αὕτη, Δημόσθενες, τῆς βουλῆς ἡ ἀπόφασις οὐκ ἐξηλέγχθη ψευδὴς οὖσα· ἀληθινῆς δὲ αὐτῆς οὔσης, ἔδοξε τοῖς δικασταῖς ἀφιέναι τὸν Πολύευκτον. Τὸ μὲν γὰρ ἀληθὲς τῇ βουλῇ προσετάχθη ζητεῖν· τὸ δὲ συγγνώμης[3] ἄξιον, ἢ μὴ, τὸ δικαστήριον ἔκρινε. Διὰ τοῦτο οὐ πιστευτέον τῇ βουλῇ περὶ τῶν γινομένων ἀποφάσεων, ἐπειδὴ σε καὶ τοὺς μετὰ σοῦ τὸ χρυσίον ἔχοντας ἀποπέφαγκε; Δεινὸν μέντ' ἂν εἴη. Δεῖξον γὰρ τοῖς δικασταῖς σὺ, Δημόσθενες, τὰ νυνὶ, ὡς τούτων τὶ τῶν ἡμαρτηκότων ὅμοιόν ἐστι τοῖς σοῖς ἀδικήμασι, καὶ ὡς τὸ δῶρα λαμβάνειν κατὰ τῆς πατρίδος συγγνώμης ἐστὶν ἄξιον· ὥστε ἀποφύγοις ἂν παρὰ τούτοις[4] εἰκότως.

§ 20. Ἀλλ' οἱ νόμοι περὶ μὲν τῶν ἄλλων ἀδικημάτων τῶν εἰς ἀργυρίου λόγον ἀνηκόντων διπλῆν τὴν βλάβην ὀφείλειν κελεύουσι· περὶ δὲ τῶν δωροδοκούντων δύο μόνον τιμήματα πεποιήκασιν, ἢ θάνατον, ἵνα ταύτης τυχὼν τῆς ζημίας ὁ λαβὼν, παράδειγμα γένηται τοῖς ἄλλοις· ἢ δεκαπλοῦν τοῦ ἐξ ἀρχῆς λήμματος τὸ τίμημα τῶν δώρων· ἵνα μὴ λυσιτελὲς ᾖ τοῖς τοῦτο τολμῶσι ποιεῖν. Ἢ τοῦτο μὲν οὐκ ἐπιχειρήσεις λέγειν· ὅτι δὲ τῶν πρότερον ἀποφανθέντων ὑπὸ τῆς βουλῆς, τοῖς μὲν ἄλλοις ὡμολογηκέναι συμβέβηκεν ἀξίαν[2] εἶναι τὴν τῆς βουλῆς ζήτησιν, σοὶ δὲ μόνῳ τὰ παρ' αὐτῆς[3] ἠναντιῶσθαι. Ἀλλὰ μόνος σὺ τῶν πώποτε ἀποπεφασμένων ἠξίωσας ἑκὼν σεαυτῷ τούτους κριτὰς καὶ ζητητὰς γενέσθαι, καὶ ἔγραψας κατὰ σαυτοῦ τὸ ψήφισμα· καὶ τὸν δῆμον ἐποιήσω μάρτυρα τῶν ὁμολογουμένων, ὁρισάμενος σεαυτῷ ζημίαν εἶναι θάνατον, ἐὰν ἀποφήνῃ ἡ βουλὴ, τῶν χρημάτων εἰληφότα τι τῶν εἰς τὴν χώραν ὑπὸ Ἁρπάλου κομισθέντων. Ἀλλὰ μὴν πρότερον ἔγραψας σὺ, ὦ Δημόσθενες, κατὰ πάντων τούτων καὶ τῶν ἄλλων Ἀθηναίων, κυρίαν εἶναι τὴν ἐξ Ἀρείου πάγου βουλὴν κολάσαι τὸν παρὰ τοὺς νόμους πλημμελοῦντα, χρωμένην τοῖς πατρῴοις νόμοις· καὶ παρέδωκας σὺ καὶ ἐνεχείρισας τὴν πόλιν ἅπασαν ταύτῃ,[4] ἣν αὐτίκα φήσεις ὀλιγαρχικὴν εἶναι· καὶ τεθνᾶσι κατὰ τὸ σὸν ψήφισμα δύο τῶν πολιτῶν, πατὴρ καὶ υἱὸς, παραδοθέντες τῷ ἐπὶ τῷ ὀρύγματι·[5] ἐδέθη τῶν ἐφ' Ἁρμοδίου γεγονότων εἷς κατὰ τὸ σὸν πρόσταγμα· ἐστρέβλωσαν Ἀντιφῶντα καὶ ἀπέ-

---

ὅσον ἐστὶν ἀπὸ μέρους αὐτῆς. — 3. Τὸ δὲ συγγνώμης.) Τὸ δὲ, ἐὰν ᾖ ἄξιος συγγνώμης, ἢ μὴ ᾖ ἄξιος, τοῦτο τὸ δικ. — 4. Παρὰ τούτοις.) Τοῖς κριταῖς, ἔνθα ὁ δῆμος διὰ τῶν κριτῶν τούτων κρίνει.

§ 20. 2. Ἀξίαν.) Ἀληθῆ δηλαδὴ ἢ ἀποδοχῆς ἀξίαν· ἤγουν ἀξιόπιστον. — 3. Τὰ παρ' αὐτοῖς.) Οἷον· σοὶ δὲ μόνῳ συμβέβηκεν, ὥστε ἐναντιωθῆναι· ἢ σὺ μόνος ἐτύγχανες ἐναντιούμενος τὰ παρ' αὐτῆς τῆς βουλῆς ἀποπεφασμένα. — 4. Ταύτῃ.) Τῇ βουλῇ δηλ. τῇ ἐξ Ἀρείου πάγου. — 5. Τῷ ἐπὶ τῷ ὀρύγματι.) Ἐπιστατοῦντι δημίῳ.

κτειναν οὗτοι, τῇ τῆς βουλῆς ἀποφάσει πεισθέντες· ἐξέβαλες σὺ Ἀρχῖνον ἐκ τῆς πόλεως ἐπὶ προδοσίᾳ κατὰ τὰς τῆς βουλῆς ἀποφάσεις καὶ τιμωρίας. Κατὰ δὲ σαυτοῦ, καὶ ταῦτα γράψας αὐτὸς, τὸ ψήφισμα ἀκυροῖς; Καὶ ποῦ ταῦτα δίκαια ἢ νόμιμά ἐστι;

§ 21. Μαρτύρομαι[2] τὰς σεμνὰς θεὰς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὸν τόπον ὃν ἐκεῖναι κατέχουσι, καὶ τοὺς ἥρωας τοὺς ἐγχωρίους, καὶ τὴν Ἀθηνᾶν τὴν πολῖτιδα,[3] καὶ τοὺς ἄλλους θεοὺς, οἱ τὴν χώραν καὶ τὴν πόλιν ἡμῶν εἰλήχασιν, ὅτι τοῦ δήμου παραδεδωκότος ὑμῖν, οὐκ ἐτιμωρήσασθε τὸν εἰληφότα τι κατὰ τῆς πατρίδος, τὸν λελυμασμένον καὶ ἐφθαρκότα τὴν τῆς πόλεως εὐδαιμονίαν, τὸν περικεχαρακωμένην παραδεδωκότα τὴν πατρίδα ταῖς αὐτοῦ συμβουλίαις· ὃν οἱ μὲν ἐχθροὶ καὶ κακόνοι τῆς πόλεως ζῆν ἂν βούλοιντο, συμφορὰν ἡγούμενοι τῆς πόλεως εἶναι· ὅσοι δὲ εὖνοι τοῖς ἡμετέροις πράγμασι, καὶ μεταπεσούσης τῆς τύχης ἐλπίζουσιν ἐπὶ τὸ βέλτιον ἂν τὰ τῆς πόλεως πράγματα ἐλθεῖν, τὴν ἀξίαν δίκην δόντα τῶν πεπραγμένων ἀπολωλέναι βούλονται, καὶ τοῦτ' εὔχονται τοῖς θεοῖς. Οὓς κἀγὼ συμπαρακαλῶ σῶσαι τὴν πατρίδα, κινδυνεύουσαν ὁρῶν ὑπὲρ σωτηρίας, ὑπὲρ παίδων, ὑπὲρ γυναικῶν, ὑπὲρ δόξης, ὑπὲρ τῶν ἄλλων ἀγαθῶν ἁπάντων. Τί γὰρ ἐροῦμεν, ὦ Ἀθηναῖοι, πρὸς τοὺς περιεστηκότας, ἐξελθόντες ἐκ τοῦ δικαστηρίου, ἐὰν (ὃ μὴ γένοιτο) παρακρουσθῆτε ὑπὸ τῆς τούτου γοητείας; Τίσιν ὀφθαλμοῖς ἕκαστος ὑμῶν τὴν πατρῴαν ἑστίαν οἴκαδε ἀπελθὼν ἰδεῖν τολμήσειεν, ἀπολελυκότες μὲν τὸν προδότην τὸν πρῶτον εἰς τὸν ἴδιον[4] εἰσενεγκάμενον τὸ δεδωροδοκημένον χρυσίον, κατεγνωκότες δὲ μηδὲν ἀληθὲς μηδὲ ζητεῖν μήθ' εὑρίσκειν τὸ παρὰ πᾶσιν ἀνθρώποις εἶναι σεμνότατον νομιζόμενον συνέδριον; Τίνας δὲ, ὦ Ἀθηναῖοι, (σκοπεῖτε γὰρ πρὸς ὑμᾶς αὐτοὺς) τίνας ἐλπίδας ἕξομεν, ἐὰν κίνδυνός τις καταλάβῃ τὴν πόλιν; τὸ μὲν δῶρα λαμβάνειν κατὰ τῆς πατρίδος, ἀσφαλὲς εἶναι πεποιηκότες, τὸ δὲ τὴν φυλακὴν ἔχον συνέδριον τῆς πόλεως ἐν τοῖς τοιούτοις κινδύνοις, ἀδόκιμον καταστήσαντες; Τί δὲ ἂν[5] (τιθῶμεν γὰρ ταῦτα) ἐὰν κατὰ τὸ ψήφισμα τὸ Δημοσθένους ἀπαιτῇ πέμψας ἡμᾶς Ἀλέξανδρος τὸ χρυσίον[6] τὸ κομισθὲν εἰς τὴν χώραν ὑπὸ Ἁρπάλου, καὶ

§ 21. 2. Μαρτύρομαι.) Ἀντὶ μέλλοντος· περὶ γὰρ μέλλοντος πράγματος ὑποθετικῶς λέγει. — 3. Πολῖτιδα.) Τὴν προστάτιν τῆς πόλεως· ἐκ γὰρ ταύτης καὶ ἡ πόλις Ἀθῆναι ἐκλήθη· δόξαν γὰρ τοῖς θεοῖς πόλις καταλαβέσθαι, ἐν αἷς ἔμελλον τιμὰς ἰδίας ἕχειν ἕκαστος, Ἀθηνᾶ τὰς Ἀθήνας ἐκληρώσατο. — 4. Εἰς τὸν ἴδιον.) Ἐλλείπει Οἶκον. — 5. Τί δὲ ἄν.) Ὑπεννοεῖται, εἴποιμεν, ὡς ἐκ τοῦ, Τί ἐροῦμεν; κατ' ἐπανάληψιν ληφθέντος, δῆλον. — 6. Ἀπαιτῇ ... ἡμᾶς ... τὸ χρυσίον.) Τὸ Ἀπαιτῶ παρὰ σοῦ χρή-

πρὸς τῷ γεγενῆσθαι[7] τὴν τῆς βουλῆς ἀπόφασιν, τοὺς παῖδας καταπέμψῃ[8] πρὸς ἡμᾶς τοὺς νῦν ὡς ἑαυτὸν ἀνακεκομισμένους, καὶ τούτων ἄξιοί πυνθάνεσθαι τὴν ἀλήθειαν ὑμᾶς, πρὸς Θεῶν, ὦ ἄνδρες, τί ἐροῦμεν; Γράψεις σὺ, Δημόσθενες, πολεμεῖν ἡμᾶς, ἐπειδὴ καὶ τοὺς πρότερον πολέμους καλῶς διῴκησας; Καὶ πότερόν ἐστι δικαιότερον, ἂν ταῦτα δόξῃ καὶ τοῖς ἄλλοις Ἀθηναίοις, εἰς τὸν πόλεμον ὑπάρχειν μετὰ τῶν ἄλλων καὶ τὸ παρὰ σοῦ χρυσίον, ἢ τοὺς μὲν ἄλλους ἀπὸ τῶν ἰδίων κτημάτων ἕκαστον[9] εἰσφέρειν, καὶ καταχωνεύειν τὸν ἴδιον κόσμον τῶν γυναικῶν, καὶ τὰ ἐκπώματα, καὶ πάντα τὰ ἐν τῇ χώρᾳ ἀναθήματα τῶν Θεῶν, ὥσπερ ἔφησθα σὺ γράψειν, αὐτὸς εἰσενεγκὼν πεντήκοντα δραχμὰς ἀπὸ τῆς οἰκίας τῆς ἐν Πειραιεῖ, καὶ τῆς ἐν ἄστει; Τοσοῦτον γὰρ κατὰ τὴν προτέραν εἰσφορὰν εἰσενήνοχώς, εἴκοσι τάλαντα ἔχεις. Ἢ πολεμεῖν μὲν σὺ γράψεις, ἀποδιδόναι δὲ κατὰ τὸ γεγραμμένον ὑπὸ σοῦ ψήφισμα κελεύσεις Ἀλεξάνδρῳ τὸ κεκομισμένον χρυσίον; Οὐκοῦν ὑπὲρ σοῦ τὸν δῆμον ἀποδιδόναι δεήσει. Καὶ ποῦ τοῦτ' ἔστι δίκαιον, ἢ κοινὸν ἢ δημοτικὸν, τοὺς μὲν ἐργαζομένους εἰσφέρειν, σὲ δὲ ἁρπάζειν; καὶ τοὺς μὲν φανερὰν κεκτῆσθαι τὴν οὐσίαν, καὶ ἀπὸ ταύτης εἰσφέρειν, σὲ δὲ πλείω ἢ πεντήκοντα καὶ ἑκατὸν τάλαντα, τὰ μὲν ἐκ τῶν βασιλικῶν, τὰ δὲ ἐκ τῶν Ἀλεξάνδρου πραγμάτων εἰληφότα, μηδὲν φανερὸν ἐν τῇ πόλει κεκτῆσθαι, ἀλλὰ διεσκευάσθαι[10] πρὸς τὸν δῆμον, ὡς οὐ πιστεύοντα τοῖς ἑαυτῷ πολιτευομένοις.[11] Καὶ τοὺς νόμους προλέγειν τῷ ῥήτορι καὶ τῷ στρατηγῷ, τὴν παρὰ τοῦ δήμου πίστιν ἀξιοῦντι λαμβάνειν, παιδοποιεῖσθαι κατὰ τοὺς νόμους, γῆν ἐντὸς ὅρων κεκτῆσθαι, πάσας τὰς δικαίας πίστεις παρακαταθέμενον, οὕτως ἀξιοῦν προεστάναι τοῦ δήμου· σὲ δὲ τὴν πατρῴαν γῆν πεπρακέναι, τοὺς δὲ οὐ γεγενημένους υἱεῖς σαυτῷ προσποιεῖσθαι[12] παρὰ τοὺς νόμους, τῶν ἐν ταῖς κρίσεσιν[13] ἕνεκα γινομένων ὅρκων· ἐπιτάττειν δὲ ἄλλοις στρατεύεσθαι, λιπόντα αὐτὸν τὴν κοινὴν τάξιν·

---

ματα, καὶ μεταβατικῶς, Ἀπετῶ σε χρήματα. — 7. Καὶ πρὸς τῷ γεγενῆσθαι.) Καὶ μετὰ τὸ γενέσθαι. — 8. Τοὺς παῖδας καταπέμψῃ.) Δοκεῖ δ' ὅτι Ἀλέξανδρος πρὸς ἀσφάλειαν ὁμήρους ἔλαβε παρ' Ἀθηναίων, κατά γε τὰ ὑπὸ τοῦ ῥήτορος λεγόμενα. — 9. Τοὺς μὲν ἄλλους . . . ἕκαστον.) Ἀντὶ τοῦ Τῶν μὲν ἄλλων ἕκαστον· προειπόντι γὰρ κατ' αἰτιατικὴν τὸ ὅλον, ὡς μηδ' ἐν νῷ αὐτῷ ἐλθόντος μεριστικόν τι εἰπεῖν, ἀπῆλθεν ἔπειτα καὶ τοῦτο προστιθέναι, καὶ οὕτως ἐποίησεν, ἐάσας τὸ ὅλον, καθ' ἣν προεξεφωνήθη πτῶσιν. — 10. Διασκευάσθαι.) Χωρίσαι δηλαδὴ τὴν σεαυτοῦ οὐσίαν τῆς τοῦ δήμου οὐσίας. — 11. Τοῖς ἑαυτῷ πολιτευομένοις.) Ἀντὶ Σεαυτῷ· ἀλλὰ σπανιώτατον τοῦτο, ὡς εἴρηται. — 12. Προσποιεῖσθαι.) Ὅτι εἰσὶν υἱοί σου. — 13. Τῶν ἐν ταῖς κρίσεσιν.) Ἦν γὰρ νόμος ἐν ταῖς κρίσεσιν ὀμνύειν κατὰ τῶν παίδων, παραστησάμενον αὐτούς.

§ 22. Ὦ Ἀθηναῖοι, παρὰ τί οἴεσθε τὰς πόλεις τοτὲ μὲν εὖ, τοτὲ δὲ φαύλως πράττειν; Οὐδὲν εὑρήσεται ἄλλο πλὴν παρὰ τοὺς συμβούλους,[2] καὶ τοὺς ἡγεμόνας. Ἐπιβλέψατε γὰρ ἐπὶ τὴν Θηβαίων πόλιν· ἐγένετο πόλις, ἐγένετο μεγίστη, καὶ τίνων τυχοῦσα ἡγεμόνων καὶ στρατηγῶν, ἅπαντες γὰρ ὁμολογήσαιεν πρεσβύτεροι, παρ' ὧν περ κἀγὼ τοὺς λόγους ἀκούων ἐρῶ, ὅτε Πελοπίδας, ὡς φασίν, ἡγεῖτο τοῦ ἱεροῦ λόχου, καὶ Ἐπαμινώνδας ἐστρατήγει, καὶ οἱ μετὰ τούτων, τότε τὴν ἐν Λεύκτροις μάχην ἐνίκησεν ἡ τῶν Θηβαίων πόλις, τότε εἰς τὴν ἀπόρθητον ὀνομαζομένην εἶναι Λακεδαιμονίων χώραν εἰσέβαλον· κατ' ἐκείνους τοὺς χρόνους πολλὰ καὶ καλὰ διεπράξαντο ἔργα· Μεσσήνην τετρακοσιοστῷ[3] ἔτει κατῴκισαν· Ἀρκάδας αὐτονόμους ἐποίησαν·[4] ἔνδοξοι παρὰ πᾶσιν ἦσαν. Πότε δ' αὖ τοὐναντίον ταπεινὰ καὶ τοῦ φρονήματος[5] ἀνάξια διεπράξαντο; Ὅτ' ἐδωροδόκει μὲν λαμβάνων χρήματα παρὰ τοῦ Φιλίππου Τιμόλαος, ὁ τούτων[6] φίλος, ἐπὶ δὲ τοῖς ξένοις τοῖς εἰς Ἄμφισσαν συλλεγεῖσι Πρόξενος ὁ προδότης ἐγένετο,[7] ἡγεμὼν[8] τῆς φάλαγγος κατεστάθη Θεαγένης, ἄνθρωπος ἀτυχὴς καὶ δωροδόκος, ὥσπερ οὗτος. Τότε διὰ τρεῖς γε ἀνθρώπους, οὓς εἶπον, ἅπασα ἡ πόλις μετὰ τῶν Ἑλλήνων ἁπάντων ἀπώλετο καὶ συνδιεφθάρη. Οὐ γὰρ ψεῦδός ἐστιν, ἀλλὰ καὶ λίαν ἀληθές, τὸ τοὺς ἡγεμόνας αἰτίους ἁπάντων γίνεσθαι καὶ τῶν ἀγαθῶν καὶ τῶν ἐναντίων τοῖς πολίταις. Θεωρήσατε δὴ

---

§ 22. 2. Πλὴν παρὰ τοὺς συμβούλους.) Πλὴν εὑρήσετε τοῦτο, ὅτι πράττουσι ποτὲ μὲν εὖ, ποτὲ δὲ φαύλως παρὰ τοὺς συμβούλ. — 3. Τετρακοσιοστῷ.) Ἐννοεῖσθαι δεῖ ἐνταῦθα τὸ Ὕστερον. Ἡ γὰρ Μεσσήνη, ἀνάστατος πολλάκις ὑπὸ Λακεδαιμονίων γενομένη, κατῳκίσθη τέλος ὑπὸ Ἐπαμινώνδου νικήσαντος τοὺς Λακεδαιμονίους, καὶ τὴν ἀρχαίαν χώραν τῶν Μεσσηνίων ἀποκαταστήσαντος· περὶ γὰρ τὰ 740. πρὸ τοῦ κοινοῦ ἔτους κατεπολεμήθησαν Μεσσήνιοι ὑπὸ Λακεδαιμονίων πόλεμον εἰκοσαετῆ, καὶ ἀνεστατώθη αὐτῶν ἡ πόλις· οἱ γὰρ Λακεδαιμόνιοι ὤμοσαν μὴ ἀνακάμψασθαι εἰς Σπάρτην, ἐὰν μὴ Μεσσήνην ἕλωσιν· ὕστερον δ' αὖ περὶ τὰ 680. Ἀριστομένους πείσαντος, ἀπέστησαν Μεσσήνιοι· ὕστατος δὲ πάντων πόλεμος ἐγένετο περὶ τὰ 460. πρὸ Χριστοῦ, ὅτε, σεισμοῦ γενομένου μεγάλου καὶ τῆς Σπάρτης ἁπάσης σχεδὸν συγχυθείσης, ἀνδρῶν τε ἐρήμου γενομένης, οἱ περιλειφθέντες Μεσσηνίων ᾤκισαν Ἰθώμην μετὰ τῶν Εἱλώτων δούλων Λακεδαιμονίων συναποστάντων· ἀναστάτου πολλοῖς ἔτεσιν οὔσης Μεσσήνης ἐκ τῶν εἰρημένων πολέμων· ἀτυχήσαντες δὲ καὶ ἐν τούτῳ τῷ πολέμῳ, κατῴκησαν εἰς Ναύπακτον, τινὲς δὲ καὶ ἐν Σικελίᾳ, Μεσσήνην ὀνομάσαντες τὴν χώραν, μέχρις οὗ Ἐπαμινώνδας περὶ τὰ 370 νικήσας Λακεδαιμονίους, συναγαγὼν πανταχόθεν αὐτούς, ᾤκισε Μεσσήνην· εἰσὶ δὲ ἀπὸ τοῦ πρώτου πολέμου μέχρι τοῦ οἰκισμοῦ περὶ τὰ τετρακόσια ἔτη· ὅρα δὲ καὶ Διόδωρ. Σικελ. Βιβλ. ΙΕ'. κεφ. ξς'. — 4. Ἐποίησαν.) Ὑπὸ Λακεδαιμονίων πολιτευομένους. — 5. Καὶ τοῦ φρονήματος.) Ἐννοεῖται δὲ ἤτοι τό, ἑαυτῶν, ἢ τό, προτέρου· ἤ τι τοιοῦτο. — 6. Ὁ τούτων.) Τῶν δωροδοκούντων κατὰ τῆς πατρίδος, πρὸς Δημοσθένη ἀναφέρει τὸν λόγον. — 7. Ἐπὶ δὲ τοῖς ξένοις . . . . ἐγένετο.) Ὅτε δὲ Πρόξενος ὁ προδότης ἐγένετο ἐπὶ τοῖς ξένοις, εἴτ' οὖν ἡγήσατο, ἢ ἐστρατήγησε τῶν ξένων συλλεγέντων εἰς Ἄμφισσαν. — 8. Ἡγεμών.) Καὶ ἐγένετο ἡγεμὼν τῆς φάλαγγος Θεαγ.

πάλιν καὶ ἐπὶ τῆς ἡμετέρας πόλεως, τὸν αὐτὸν τρόπον ἐξετάσαντες. Ἡ πόλις ἡμῶν ἦν μεγάλη καὶ ἔνδοξος παρὰ τοῖς Ἕλλησι, καὶ τῶν προγόνων ἀξία. Μετά γε τὰς ἀρχαίας ἐκείνας πράξεις, ὅτε Κόνων (ὡς οἱ πρεσβύτεροι λέγουσι) ἐνίκησε τὴν ἐν Κνίδῳ ναυμαχίαν, ὅτε Ἰφικράτης ἀνεῖλε τὴν Λακεδαιμονίων μόραν, ὅτε Χαβρίας ἐν Νάξῳ κατεναυμάχησε τὰς Λακεδαιμονίων τριήρεις, ὅτε Τιμόθεος τὴν ἐν Κερκύρᾳ ναυμαχίαν ἐνίκησε, τότε, ὦ Ἀθηναῖοι, τότε, οἱ μὲν πρότερον ὄντες λαμπροὶ διὰ τοὺς ἡγεμόνας Λακεδαιμόνιοι, καὶ ὑπὸ τοῖς ἐκείνων ἤθεσι τραφέντες, ταπεινοὶ πρὸς τὴν πόλιν ἡμῶν ἧκον, δεόμενοι τῆς παρὰ τῶν προγόνων ἡμῶν σωτηρίας· ὁ δὲ καταλυθεὶς ὑπ᾽ ἐκείνων δῆμος, διὰ τοὺς τότε γενομένους παρ᾽ ὑμῖν συμβούλους, πάλιν ἡγεμὼν ἦν τῶν Ἑλλήνων. Δικαίως, οἶμαι, στρατηγῶν μὲν τοιούτων τετυχηκὼς, οἵων εἶπον ἀρτίως, συμβούλους δ᾽ ἔχων Ἀρχῖνον καὶ Κέφαλον τὸν Κολυττέα. Μία γὰρ αὕτη σωτηρία καὶ πόλεως καὶ ἔθνους ἐστὶ, τὸ προστατῶν ἀνδρῶν ἀγαθῶν καὶ συμβούλων σπουδαίων τυχεῖν.

§ 23. Διόπερ, ὦ Ἀθηναῖοι, δεῖ ταῦθ᾽ ὑμᾶς ὁρῶντας καὶ λογιζομένους, μὴ μὰ Δία τὸν πλείω χρόνον τῆς Δημοσθένους δωροδοκίας καὶ ἀτυχίας κοινωνεῖν, μηδ᾽ ἐν τούτῳ τὰς ἐλπίδας τῆς σωτηρίας ἔχειν, μηδὲ οἴεσθαι ἀπορήσειν ἀνδρῶν ἀγαθῶν καὶ συμβούλων σπουδαίων· ἀλλὰ τὴν τῶν προγόνων λαβόντας ὀργὴν, τὸν ἐπ᾽ αὐτοφόρῳ κλέπτην εἰλημμένον καὶ προδότην, τὸν οὐκ ἀπεχόμενον τῶν εἰς τὴν πόλιν ἀφικνουμένων χρημάτων, τὸν εἰς τὰς δεινοτάτας ἀτυχίας ἐμβεβληκότα τὴν πόλιν, τὸν Ἑλλάδος ὄλεθρον ἀποκτείναντας, ἐξόριστον ἐκ τῆς πόλεως ποιῆσαι, καὶ μεταβαλέσθαι τὴν τῆς πόλεως τύχην ἐᾶσαι, καὶ προσδοκῆσαι, τούτων γενομένων, βέλτιον πράξειν. Ἀκούσατε, ὦ Ἀθηναῖοι, κἀκείνου τοῦ ψηφίσματος τοῦ γραφέντος ὑπὸ Δημοσθένους· ὅ, τεταραγμένης τῆς πόλεως μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, ἔγραψεν ὁ δημοτικὸς οὗτος· καὶ τῆς μαντείας τῆς ἐλθούσης ἐκ Δωδώνης παρὰ τοῦ Διὸς τοῦ Δωδωναίου. Σαφῶς γὰρ ὑμῖν πάλαι,[2] προείρηκε φυλάττεσθαι τοὺς ἡγεμόνας καὶ τοὺς συμβούλους. Λέγε τὴν μαρτυρίαν πρῶτον. Μ α ρ τ υ ρ ί α. Λέγε δὴ τὸ καλὸν ψήφισμα τούτου. Ψ η φ ί σ μ α τ ο ς μ έ ρ ο ς. Δημοτικός γε ὁ διατάττων ἑαυτὸν μὲν, ἐπειδὴ ἀνδρεῖος καὶ εὔψυχός ἐστιν, ἐν τοῖς ὅπλοις μένειν· οὓς δ᾽ ἂν αὐτὸς ἀποδοκιμάσῃ τῶν πολιτῶν, ἐπὶ τὰ ἔργα ἀπιέναι, καὶ ἐάν τι ἄλλο τούτῳ δόξῃ ἐπιτήδειον εἶναι, τοῦτο ποιεῖν. Λέγε τὰ

§ 23. 2. Πάλαι.) Δοκεῖ γοῦν τὴν τοιαύτην μαντείαν δοθεῖναι πρὸ τοῦ

λοιπά. Τὸ λοιπὸν τοῦ ψηφίσματος. Ἀκούετε, ὦ ἄνδρες δικασταί. Ἀπιέναι φησὶ τὸ ψήφισμα τὰς εἰρημένας πρεσβείας. Ἐπειδὴ ἤκουσε μετὰ τὴν μάχην τὴν ἐν Χαιρωνείᾳ Φίλιππον εἰς τὴν χώραν ἡμῶν μέλλειν εἰσβάλλειν, αὐτὸς ἑαυτὸν πρεσβευτὴν κατασκευάσας, ἵν' ἐκ τῆς πόλεως ἀποδραίη, συσκευασάμενος τῆς διοικήσεως[3] ὀκτὼ τάλαντα· οὐδὲν φροντίσας τῆς τότε παρούσης ἀπορίας, ἡνίχ' οἱ ἄλλοι πάντες ἐκ τῶν ἰδίων ἐπεδίδοσαν εἰς τὴν ἡμετέραν σωτηρίαν. Τοιοῦτος ἡμῖν ὁ σύμβουλος, καὶ τὰς δύο ταύτας μόνας ἐν τῷ βίῳ Δημοσθένης πεποίηται ἀποδημίας, μετὰ τὴν μάχην ὅτε ἀπεδίδρασκεν ἐκ τῆς πόλεως, καὶ νῦν εἰς Ὀλυμπίαν, ἐπεὶ Νικάνορι διὰ τῆς ἀρχιθεωρίας[4] ἐντυχεῖν ἐβούλετο. Ἄξιόν γε τούτῳ παρακαταθέσθαι τὴν πόλιν καὶ ἐπιστρέψαι, κινδυνεύειν μέλλοντας· ὅς, ὅτε μὲν ἔδει μάχεσθαι μετὰ τῶν ἄλλων τοῖς πολεμίοις, λιπὼν τὴν τάξιν, ᾤχετο ἀπιὼν οἴκαδε· ἐπειδὴ δὲ προσῆκεν οἴκοι κινδυνεύειν μετὰ τῶν ἄλλων, πρεσβευτὴν αὐτὸς αὐτὸν παραβαλλόμενος, ᾤχετο ἐκ τῆς πόλεως ἀποδράς. Ἐπειδὴ δὲ πρεσβεύειν ἔδει περὶ εἰρήνης, οὐκ ἂν ἔφασκεν ἐκ τῆς πόλεως ἐξελθεῖν οὐδὲ τὸν ἕτερον πόδα.[5] Ἐπειδὴ δὲ τοὺς φυγάδας Ἀλέξανδρον ἔφασαν[6] κατάγειν, καὶ Νικάνωρ εἰς Ὀλυμπίαν ἧκεν, ἀρχιθέωρον αὐτὸν ἀπέδωκε τῇ βουλῇ. Τοιοῦτος οὗτος, ἐν μὲν ταῖς παρατάξεσιν, οἰκουρός· ἐν δὲ τοῖς οἴκοι μένουσι, πρεσβευτής· ἐν δὲ τοῖς πρεσβευταῖς, δραπέτης ἐστί.

§ 24. Λέγε δὴ καὶ τὸ περὶ ζητήσεως τῶν χρημάτων ψήφισμα, ὃ ἔγραψε Δημοσθένης τῇ ἐξ Ἀρείου πάγου βουλῇ περὶ αὐτοῦ τε καὶ ἡμῶν· ἵνα παράλληλα θεωρήσαντες, εἰδῆτε τὴν Δημοσθένους ἀπόνοιαν. Ψ ή φ ι σ μ α. Ἔγραψας σὺ τοῦτο, Δημόσθενες; ἔγραψας. Οὐκ ἔστιν ἀντειπεῖν. Ἐγένετο ἡ βουλὴ κυρία σοῦ προστάξαντος; Ἐγένετο. Τεθνᾶσι τῶν πολιτῶν ἄνδρες; Τεθνᾶσι. Κύριον ἦν τὸ σὸν ψήφισμα κατ' ἐκείνων; Ἀδύνατον ἀντειπεῖν. Λέγε δὴ πάλιν,[2] ὃ Δημοσθένης κατὰ Δημοσθένους ἔγραψε. Προσέχετε, ὦ ἄνδρες. Εὗρηκε Δημοσθένην. Τί δεῖ πολλῶν λόγων; Ἀποπέφαγκεν,[3] ὦ Ἀθηναῖοι.

§ 25. Τὸ μὲν τοίνυν δίκαιον ἦν ὑφ' ἑαυτοῦ κεκριμένον, εὐθὺς

---

Πελοποννησιακοῦ πολέμου· διὰ γὰρ τοῦτο καὶ Πάλαι φησί. — 3. Τῆς διοικήσεως.) Τῶν δημοσίων δηλαδὴ χρημάτων λαβὼν ὀκτακ. — 4. Ἀρχιθεωρίας.) Ἀρχιθεωροὶ ἐλέγοντο οἱ δημόσιοι πρέσβεις εἰς Ὀλύμπια σταλέντες, πανήγυριν πρώτην τῆς Ἑλλάδος· τὸ δὲ Διὰ τῆς ἀρχιθεωρίας σημαίνει, Ὡς ἀρχιθεωρός. — 5. Οὐδὲ τὸν ἕτερον πόδα) Ἔφασκεν ὅτι οὐκ ἐξελεύσεται ἐκ τῆς πόλεως οὐδὲ καθ' ἕνα τῶν ποδῶν· ὅπερ ἐστὶν ὅτι οὐδὲ τὸν ἕτερον τοῖν ποδοῖν ἔξω τῆς πόλεως θήσει. — 6. Ἔφασαν.) Τὸ παρ' ἡμῖν, Διεδόθη φήμη· ὅτι ὁ Ἀλέξ.

§ 24. 2. Λέγε δὴ πάλιν.) Τὸ ψήφισμα. — 3. Ἀποπέφαγκεν.) Αὐτὸς δηλαδὴ ἑαυτόν.

ἀποθνήσκειν· ἐπειδὴ δ' εἰς τὰς ἡμετέρας ἥκει χεῖρας τοὺς ὑπὲρ[2] τοῦ δήμου συνειλεγμένους, καὶ τοὺς ὀμωμοκότας πείθεσθαι τοῖς νόμοις καὶ τοῖς τοῦ δήμου ψηφίσμασιν, τί ποιήσετε; Προήσεσθε τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν καὶ τὰ παρὰ πᾶσιν ἀνθρώποις δίκαια νομιζόμενα; Μή, ὦ Ἀθηναῖοι, μή. Αἰσχρὸν γὰρ καὶ δεινόν, ἑτέρους μὲν ὑπὸ τῶν Δημοσθένους ψηφισμάτων, οὐδὲν ὄντας τούτου χείρους, οὐδὲ τοσαῦτ' ἠδικηκότας ὅσα περ οὗτος, ἀπολωλέναι· τουτονὶ δέ, καταφρονοῦντα ὑμῶν καὶ τῶν νόμων, ἀτιμώρητον περιϊέναι ἐν τῇ πόλει, αὐτὸν ὑφ' ἑαυτοῦ, καὶ τῶν ψηφισμάτων, ὧν ἔγραψεν, ἑαλωκότα. Τουτὶ τὸ συνέδριον, ὦ Ἀθηναῖοι, καὶ ὁ αὐτὸς τόπος, καὶ ταὐτὰ τὰ δίκαια, ὁ αὐτὸς ῥήτωρ ἐκείνοις τε αἴτιος ἐγένετο τῶν συμβάντων κακῶν, καὶ αὐτῷ τῶν νῦν συμβησομένων· ἐπέτρεψεν ὁ αὐτὸς οὗτος ἐν τῷ δήμῳ τῷ συνεδρίῳ τούτῳ κρῖναι περὶ αὐτοῦ, μάρτυρας ὑμᾶς πεποιημένος. Ἔθετο συνθήκας μετὰ τοῦ δήμου, γράψας τὸ ψήφισμα καθ' ἑαυτοῦ παρὰ τὴν μητέρα τῶν θεῶν,[3] ἣ πάντων τῶν ἐν τοῖς γράμμασι δικαίων φύλαξ τῇ πόλει καθέστηκε. Διὸ καὶ οὐχ ὅσιον ἡμῖν ἐστι ταύτας[4] ἀκύρους ποιεῖν· οὐδὲ τοὺς θεοὺς ὀμωμοκόσι περὶ ταύτης τῆς κρίσεως ταῖς αὐτῶν τῶν θεῶν πράξειν ἐναντίαν τὴν ψῆφον ἐνεγκεῖν. Κρίσει Ποσειδῶν[5] ἀποτυχὼν τοῖς ὑπὲρ Ἀλλιρροθίου πρὸς Ἄρη γενομένοις ἐνέμεινεν. Αὗται αἱ σεμναὶ[6] θεαὶ τῇ πρὸς Ὀρέστην ἓν τούτῳ τῷ συνεδρίῳ κρίσει γενομένῃ καὶ τῇ τούτου ἀληθείᾳ συνοίκους ἑαυτὰς εἰς τὸν λοιπὸν χρόνον κατέστησαν. Ὑμεῖς δὲ τί ποιήσετε, οἱ πάντων εἶναι φάσκοντες εὐσεβέστεροι;[7] τὴν τοῦ συνεδρίου γνώμην ἄκυρον καταστήσετε, τῇ Δημοσθένους ἐπακολουθήσαντες πονηρίᾳ; Οὔκ, ἐὰν σωφρονῆτε, ὦ ἄνδρες Ἀθηναῖοι. Οὐ γὰρ περὶ μικρῶν οὐδὲ τῶν τυχόντων ἐν τῇ τήμερον ἡμέρᾳ δικάζετε, ἀλλὰ περὶ σωτηρίας τῆς πόλεως ἁπάσης· καὶ πρὸς τούτοις, περὶ δωροδοκίας, ἔθους πονηροῦ,

---

§ 25. 2. Τοὺς ὑπέρ.) Κατ' ἐπεξήγησιν· ἄλλως γὰρ κατὰ γενικὴν ἔδει προστεθῆναι κατὰ κανόνα τῶν Κτητικῶν. — 3. Τῶν θεῶν.) Ἱερὸν ἦν Μητρῷον καλούμενον διὰ τὸ ἔχειν ἐν αὐτῷ τὴν μητέρα τῶν θεῶν· ἐν τούτῳ ἦσαν πάντα τὰ δημόσια ἔγγραφα. — 4. Ταύτας.) Τὰς συνθήκας δηλ. — 5. Κρίσει Ποσειδῶν.) Ἀγραύλου καὶ Ἄρεως Ἀλκίππη γίνεται· ταύτην βιαζόμενος Ἀλιρρόθιος ὁ Ποσειδῶνος καὶ Νύμφης Εὐρύτης, ὑπὸ Ἄρεως φωραθείς, κτείνεται. Ποσειδῶν δὲ ἐν Ἀρείῳ πάγῳ κρίνεται, δικαζόντων τῶν δώδεκα θεῶν Ἄρη· καὶ ἀπολύεται. Ἀπολλόδ. Γ. — 6. Αὗται αἱ σεμναί.) Ὀρέστης τὴν ἑαυτοῦ μητέρα Κλητεμνήστραν, τὸν πατέρα Ἀγαμέμνονα κτείνασαν, φονεύσας, ὑπὸ τῶν Εὐμενίδων εἰς μανίαν ἐμπίπτει· εἶτα δὲ ὑπὸ Ἀργείων φυγαδευθεὶς εἰς Ἀρκάδας ᾤκησε· κἀκεῖθεν ἐλθὼν εἰς Ἀθήνας ἐν Ἀρείῳ πάγῳ κριθείς, Ἀθηνᾶς καὶ Ἄρεως δικαζόντων, ἐνίκησε· καὶ μετὰ τὴν κρίσιν ἐπανελθών, Ἄργους ἐβασίλευσεν. Εὐριπ. Ὀρέστ. στίχ. 1643 . . . . . . 1654, καὶ Σχολιαστ. — 7. Εὐσεβέστεροι.) Οὐ γὰρ καθ' ὑπέρθεσιν κατὰ δὲ σύγκρισιν πρὸς πάντας φασὶν εἶναι εὐσεβέστεροι.

καὶ πράγματος ἀλυσιτελοῦς, καὶ πάντας ἀνθρώπους ἀπολελωκότος. Εἰ μὲν, καθόσον ἐστὲ δυνατοὶ, ἐκβαλεῖτε ἐκ τῆς πόλεως καὶ παύσετε τοὺς ῥᾳδίως καθ' ὑμῶν χρήματα λαμβάνοντας, σωθησόμεθα, θεῶν βουλομένων· εἰ δ' ἐπιτρέψητε τοῖς ῥήτορσι πωλεῖν ὑμᾶς αὐτοὺς, περιόψεσθε τὴν πόλιν ἀνατραπεῖσαν ὑπὸ τούτων.

§ 26. Ἔγραψεν αὐτὸς ἐν τῷ δήμῳ Δημοσθένης, ὡς δηλονότι δικαίου τοῦ πράγματος ὄντος, φυλάττειν Ἀλεξάνδρῳ τὰ εἰς τὴν Ἀττικὴν ἀφικόμενα μετὰ Ἁρπάλου χρήματα. Οὕτως οὖν, ἄριστε, εἰπέ μοι, φυλάξομεν, ἐὰν σὺ μὲν εἴκοσι τάλαντα λαβὼν ἔχῃς ἴδια, ἕτερος δὲ πεντεκαίδεκα; Δημάδης δὲ ἑξακισχιλίους χρυσοῦ στατῆρας; ἕτεροι δὲ, ὅσα δή ποτε[2] ἀποπεφασμένοι εἰσί. Τέτταρα γὰρ τάλαντά ἐστι καὶ ἑξήκοντα ἤδη εὑρημένα, ὧν οἴεσθαι[3] τὴν αἰτίαν τουτοισὶν ἀναθεῖναι. Καὶ πότερον κάλλιόν ἐστι, πρὸς δὲ[4] δικαιότερον, ἅπαντ' ἐν τῷ κοινῷ φυλάττεσθαι, ἕως ἄν τι δίκαιον ὁ δῆμος βουλεύσηται, ἢ τοὺς ῥήτορας καὶ τῶν στρατηγῶν ἐνίους διηρπακότας ἔχειν. Ἐγὼ μὲν γὰρ οἶμαι τὸ μὲν ἐν τῷ κοινῷ φυλάττειν, παρὰ πάντων ὁμολογούμενον εἶναι δίκαιον· τὸ δὲ τούτους ἔχειν, μηδένα ἂν εἰπεῖν[5] ὡς ἔστι καλῶς ἔχον.

§ 27. Πολλοὺς οὗτος ἐρεῖ καὶ παντοδαποὺς λόγους, ὦ ἄνδρες, καὶ οὐδεπώποτε τοὺς αὐτούς. Ὁρᾷ γὰρ ὑμᾶς τὸν ἅπαντα χρόνον ἐλπίσι κεναῖς καὶ ψευδέσι λόγοις ἐξηπατημένους ὑφ' ἑαυτοῦ· καὶ μέχρι τούτου μνημονεύοντας τὰς ὑποσχέσεις, μέχρις ἂν ῥηθῶσιν. Εἰ μὲν οὖν ἔτι δεῖ τὴν πόλιν τῆς Δημοσθένους πονηρίας καὶ ἀτυχίας ἀπολαύειν, ἵνα πλέον κακοδαιμονῶμεν,[2] (οὐδὲ γὰρ ἔχω τί ἄλλο εἴπω) στερκτέον εἴη τοῖς συμβαίνουσι· εἰδ' ἔτι κηδόμεθα τῆς πατρίδος, καὶ τοὺς πονηροὺς καὶ δωροδόκους μισοῦμεν, καὶ μετοιωνίσασθαι τὴν τύχην καὶ μεταλλάξασθαι βουλόμεθα, οὐ προσεκτέον ἐστὶν ὑμᾶς αὐτοὺς,[3] ὦ Ἀθηναῖοι, ταῖς τοῦ μιαροῦ καὶ γόητος τούτου δεήσεσιν, οὐδὲ προσετέον τοὺς οἴκτους καὶ τοὺς φενακισμοὺς τούτου. Ἱκανὴν γὰρ εἰλήφατε πεῖραν αὐτοῦ καὶ τῶν ἔργων καὶ τῶν λόγων καὶ τῆς τύχης.

---

§ 26. 2. Ὁσαδήποτε.) Ὑπεννοεῖται, Ἔχειν. — 3. Ὧν οἴεσθε.) Ὧν χρημάτων ὑμεῖς, ὦ δικασταὶ, τὴν αἰτίαν ἀναθεῖναι τουτοισὶ τοῖς δωροδόκοις δεῖν. — 4. Πρὸς δέ.) Ὑπακούεται τὸ, Τούτοις. — 5. Μηδένα ἂν εἰπεῖν.) Ἀπὸ κοινοῦ τὸ, Οἶμαι.

§ 27. 2. Κακοδαιμονῶμεν.) Ἔστι κακοδαιμονᾷν, καὶ κακοδαιμονεῖν· καὶ τὸ μὲν κακοδαιμονεῖν δυστυχεῖν δηλοῖ· τὸ δὲ κακοδαιμονᾷν, κακῷ δαίμονι κινεῖσθαι· εἰ καὶ Φρύνιχος, ὡς παρὰ Βαρίνῳ, οὕτω περὶ τούτων λέγει κακοδαιμονεῖν, οὕτως οἱ νόθως Ἀττικίζοντες. Ἀθηναῖοι γὰρ διὰ τοῦ α κακοδαιμονᾷν λέγουσι. — 3. Ὑμᾶς αὐτούς.) Αἰτιατικῇ ἐχρήσατο διὰ τὸ ἐγκείμενον ἀπαρέμφατον· εἴη δ' ἂν καὶ δοτικῇ χρῆσθαι διὰ τὸ ἐγκείμενον ἀπρόσωπον· τὸ ὑπαρκτικὸν κατὰ παρολκὴν κεῖται.

§ 28. Τίς οὕτως εὔελπίς ἐστιν ὑμῶν, ὦ Ἀθηναῖοι, τίς οὕτως ἀλόγιστος, τίς τῶν προγεγενημένων καὶ νῦν ἐνεστηκότων ἄπειρος,[2] ὅς τις ἐλπίζει τὸν ἐκ τοσαύτης εὐδαιμονίας εἰς τοσαύτην ἀδοξίαν καταστήσαντα τὴν πόλιν, δι' ἥν τινα δή ποτε αἰτίαν ἡ τύχην (ἐῶ γὰρ τοῦτο νῦν) ἐπειδὴ πρὸς ταῖς ἄλλαις ἀπορίαις καὶ τοῖς περιεστηκόσιν ἡμᾶς κινδύνοις, καὶ ἡ τῶν ἐξ αὐτῆς τῆς πόλεως[3] δωροδοκία προσγέγονε, καὶ περὶ αἰσχρᾶς αἰτίας[4] κοινῇ πάντες ἀγωνιζόμεθα, καὶ περὶ τοῦ μὴ δοκεῖν τὰ ἴδια παρά τισιν ὄντα χρήματα κοινῇ τὸν δῆμον ἔχειν, τηνικαῦτα συμβουλεύοντα καὶ πολεμοῦντα τοῦτον σώσειν ἡμᾶς; Ἐῶ γὰρ τἄλλα, ὅσα μεταβαλλόμενος[5] ἐν τοῖς πράγμασι, καὶ δημηγορῶν, οὐδὲν ὑγιὲς τετέλεκε. Καὶ τοτὲ μὲν γράφων καὶ ἀπαγορεύων, μηδὲν ἄλλον νομίζειν θεὸν, ἢ τοὺς παραδεδομένους· τοτὲ δὲ λέγων, ὡς οὐ δεῖ τὸν δῆμον ἀμφισβητεῖν τῶν ἐν οὐρανῷ τιμῶν[6] Ἀλεξάνδρῳ. Ὅταν δὲ μέλλῃ[7] κριθήσεσθαι παρ' ἡμῖν, Καλλιμέδοντα εἰσαγγέλλων συνιέναι ἐν Μεγάροις τοῖς φυγάσιν ἐπὶ καταλύσει τοῦ δήμου, καὶ ταύτην τὴν εἰσαγγελίαν εὐθὺς παρὰ χρῆμα ἀναιρούμενος. Ἐν δὲ τῇ ἐκκλησίᾳ ταύτῃ τῇ πρώην γεγενημένῃ προσάγων,[8] καὶ κατασκευάζων ψευδῆ μηνυτὴν, ὡς ἐπιβουλευομένων τῶν νεωρίων· καὶ περὶ τούτων γράφων μὲν οὐδὲν, αἰτίας ἕνεκα[9] τοῦ παρόντος ἀγῶνος παρασκευάζων. Τούτων γὰρ ἁπάντων ὑμεῖς τούτῳ μάρτυρές ἐστε.

§ 29. Γόης οὗτος, ἄνδρες Ἀθηναῖοι, καὶ μιαρὸς ἄνθρωπος ἐστί· καὶ οὔτε τῷ γένει τῆς πόλεως πολίτης, οὔτε τοῖς πεπολιτευμένοις αὐτῷ καὶ πεπραγματευμένοις. Ποῖαι γὰρ τριήρεις εἰσὶ κατεσκευασμέναι διὰ τούτου, ὥσπερ ἐπὶ Εὐβούλου, τῇ πόλει; Ἢ ποῖοι νεώσοικοι τούτου πολιτευομένου γεγόνασι; Πότε οὗτος ἢ διὰ ψηφίσματος ἢ νόμου ἐπηνώρθωσε τὸ ἱππικόν; Τίνα κατεσκεύασε

---

§ 28. 2. Ἄπειρος.) Ἀπὸ κοινοῦ τὸ, οὕτως ἐστίν. — 3. Τῶν ἐξ αὐτῆς τῆς πόλεως.) Τῶν πολιτῶν· τῶν Ἀθηναίων. — 4. Αἰσχρᾶς αἰτίας.) Περὶ τῶν ἀπὸ τῆς Ἀθηναίων δημοκρατίας διαρπαγέντων χρημάτων τοῦ Ἁρπάλου. — 5. Ὅσα μεταβαλλόμενος.) Τὸ Ὅσα πρὸς τὸ Τετέλεκεν φέρεται, ὁμοιοπτώτως τῷ οὐδὲν ὑγιές· ἐξήνεγκε γὰρ κατ' αἰτιατικὴν ὡς εἴς τι ῥῆμα ἀποδώσων, εἶτα ὥσπερ ἐπιλαθόμενος τὸ Ὅσα, προσέθετο τὸ Οὐδὲν ὑγιές· καὶ πολλὴν ἔστιν εὑρεῖν τοσαύτην ἀνωμαλίαν παρ' Ἕλλησι διὰ τὸ μὴ εὐθὺς ἐπακολουθεῖν, τὴν ἀπόδοσιν, ἀλλὰ μετὰ πολλά. — 6. Τῶν ἐν οὐρανῷ τιμῶν.) Ἀλέξανδρον γὰρ φασὶ μέγα φρονήσαντα διὰ τὰς νίκας, πέμψαι τοῖς Ἕλλησι, καὶ ὡς θεὸν δέκατον τρίτον δέχεσθαι αὐτὸν ἀξιοῦν· Αἰλιαν. ποικίλ. ἱστορ. βιβλ. β'. κεφ. ιθ'. καὶ βιβλ. ε'. κεφ. ιβ'. καὶ περὶ τούτου λέγει ὁ ῥήτωρ διαβάλλων τὸν Δημοσθένην, ὡς διὰ δωροδοκίαν δεξάμενον, καὶ τὸν δῆμον μὴ περὶ τούτου διαφιλονεικεῖν παραινοῦντα. — 7. Ὅταν δὲ μέλλῃ.) Ἐνταῦθα δοκεῖ ἀπὸ κοινοῦ, ἐννοεῖσθαι τὸ Διατελέσει· τὸ γὰρ Εἰσαγγέλλων καὶ αἱ λοιπαὶ μετοχαὶ ἀναντapόδοτοι οὖσαι, ἀπαιτοῦσι ῥῆμα· ὅθεν· ὅταν δὲ μέλλῃ κριθήσεσθαι, διατελέσει. — 8. Ἐν δὲ τῇ . . . προσάγων.) Διατετέλεκε. — 9. Αἰτίας ἕνεκα.) Παρασκευάζων δὲ αἰτίας, ἕνεκα τοῦ παρ.

δύναμιν, τοιούτων καιρῶν παραγενομένων μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην ἢ πεζὴν, ἢ ναυτικήν; Τίς ἀνήνεκται τῇ Θεῷ κόσμος εἰς ἀκρόπολιν ὑπὸ τούτου; Τί κατεσκεύακε Δημοσθένης οἰκοδόμημα ἐν τῷ ἐμπορίῳ τῷ ὑμετέρῳ; ἢ ἐν τῷ ἄστει, ἢ ἄλλοθί που τῆς χώρας; Οὐδεὶς οὖν οὐδαμοῦ δείξειεν. Ἔπειτα τὸν μὲν ἐν ταῖς πολεμικαῖς πράξεσιν ἄπιστον γεγενημένον, ἐν δὲ ταῖς κατὰ τὴν πόλιν οἰκονομίαις ἄχρηστον, περιεωρακότα δὲ τοὺς ἀντιπολιτευομένους, ἅπαντα διαπεπραγμένους, ὅσα ἐβουλήθησαν, μετεβεβλημένον δὲ αὐτὸν, καὶ τὰς ὑπὲρ τοῦ δήμου πράξεις ἐγκαταλελοιπότα, τοῦτον περιποιῆσαι βούλεσθε; Οὐκ, ἐὰν σωφρονῆτε, καὶ καλῶς καὶ ὑπὲρ ὑμῶν αὐτῶν καὶ τῆς πόλεως βουλεύησθε· ἀλλὰ δέξασθε τὴν ἀγαθὴν τύχην, ἣ τιμωρήσασθαι παρέδωκε τῶν ῥητόρων τοὺς τὴν πόλιν διὰ τὴν αὐτῶν δωροδοκίαν ταπεινὴν πεποιηκότας, καὶ φυλάξασθε (καθάπερ οἱ Θεοὶ προειρήκασιν ὑμῖν ἐν ταῖς μαντείαις πολλάκις) τοὺς ἡγεμόνας καὶ συμβούλους. Ἀκούσατε δὲ αὐτῆς τῆς μαντείας. Λέγε σὺ τὴν μαντείαν. Μαντεία.

§ 30. Πῶς οὖν μίαν γνώμην ἕξομεν, ὦ Ἀθηναῖοι; πῶς ὁμονοήσομεν ἅπαντες ὑπὲρ τῶν κοινῇ συμφερόντων, ὅταν οἱ ἡγεμόνες καὶ οἱ δημαγωγοὶ χρήματα λαμβάνοντες, προΐωνται[2] τὰ τῆς πατρίδος συμφέροντα, καὶ ὑμεῖς μὲν, ὁ δῆμος[3] ἅπας κινδυνεύει περὶ τοῦ ἐδάφους τοῦ τῆς πόλεως,[4] καὶ τῶν ἱερῶν τῶν πατρῴων, καὶ παίδων καὶ γυναικῶν· οἱ δὲ διηλλαγμένοι πρὸς αὑτοὺς, ἐν μὲν ταῖς ἐκκλησίαις λοιδορῶνται, καὶ προσκρούωσιν ἀλλήλοις ἐξεπίτηδες, ἰδίᾳ δὲ ταὐτὰ πράττωσιν ἐξαπατῶντες ὑμᾶς τοὺς ῥᾷστα πειθομένους τοῖς τούτων λόγοις; Τί γάρ ἐστι ῥήτορος[5] δημοτικοῦ καὶ μισοῦντος τοὺς κατὰ τῆς πόλεως λέγοντας καὶ γράφοντας; Ἢ τί φασὶ τοὺς πρὸ ἡμῶν γεγενημένους, ὦ Δημόσθενες καὶ Πολύευκτε, διατελεῖν ποιοῦντας; καὶ ταῦτα,[6] οὐδενὸς δεινοῦ τότε τὴν πόλιν περιεστηκότος. Οὐ κρίνειν ἀλλήλους; οὐκ εἰσαγγέλλειν; Οὐ γράφεσθαι παρανόμων; Ἔστι οὖν, ὅ,τι πεποιήκατε τούτων[7] ὑμεῖς οἱ φάσκοντες τοῦ δήμου κήδεσθαι, καὶ τὴν σωτηρίαν ὑμῖν ἐν τῇ τούτων εἶναι ψήφῳ; Γέγραπταί σοι ψήφισμα, Δημόσθενες, πολλῶν ὄντων καὶ δεινῶν παρανόμων, ὧν Δημάδης γέγραφε; Κεκώλυκας

§ 30. 2. Προΐωνται.) Κατ' ἀναλογίαν προϊῶνται ἔδει εἰπεῖν, κατὰ τὸ τιθῶνται· ἀλλὰ καὶ πρόωνται γράφεται ἀντὶ τοῦ προῶνται· κατὰ τὸ θῶνται, οὕτω γὰρ ἡ συνήθεια αὐτὰ ἐκφέρει. — 3. Δῆμος.) Ἐπεξήγησις τοῦτο τοῦ Ὑμεῖς· ὅθεν καὶ ὥσπερ ἐπιλαθόμενος ἐκεῖνο, τὸ ῥῆμα πρὸς τὸ Δῆμος συνεφώνησε. — 4. Περὶ τοῦ ἐδάφους τοῦ τῆς πόλεως.) Περὶ αὐτῆς δηλονότι τῆς πόλεως. — 5. Τί γάρ ἐστι ῥήτορος.) Ὑπακούεται Ἔργον, ἢ καθῆκον, ἢ τοιοῦτο τί. — 6. Καὶ ταῦτα.) Διετέλουν ποιοῦντες· τὸ γὰρ Καὶ ταῦτα· ὥσπερ καὶ ἐν ἄλλοις εἴρηται, κατ' ἔλλειψιν λέγεται. — 7. Ἔστιν οὖν ὅτι . . . . τούτων.) Ἀντὶ τοῦ

τινὰ πρᾶξιν, ὧν ἐκεῖνος προελόμενος κατὰ τοῦ δήμου πεπολίτευται; Οὐδ' ἡντινοῦν. Εἰσήγγελκας τὸν παρὰ τὸ τοῦ δήμου ψήφισμα καὶ τοὺς νόμους πολλὰ διαπεπραγμένον; Οὐδεπώποτε. Ἀλλὰ περιεῖδες αὐτὸν ἐν τῇ ἀγορᾷ χαλκοῦν σταθέντα, καὶ τῆς ἐν Πρυτανείῳ[8] σιτήσεως κεκοινωνηκότα τοῖς Ἁρμοδίου καὶ Ἀριστογείτονος ἀπογόνοις. Ἔπειτα ποῦ τῆς εὐνοίας τῆς σῆς ὁ δῆμος ἔλαβε πεῖραν. Ὅπου[9] τὴν τοῦ ῥήτορος βοήθειαν καὶ δύναμιν ἐξεταζομένην εἴδομεν; Ἡ ἐνταῦθα φήσετ' εἶναι δεινοί, εἰ παρακρούσετε τούτους ἀεὶ λέγοντες, ὡς οὐκ ἔστιν ἔξω τῆς πατρίδος ὑμῖν ἐξελθεῖν, οὐκ ἔστιν ἄλλη καταφυγή, χωρὶς τῆς ὑμετέρας εὐνοίας.

§ 31. Φανεροὺς ἐχρῆν γεγενημένους ἀντιπράττοντας καὶ λόγῳ καὶ ἔργῳ τοῖς κατὰ τοῦ δήμου γραφομένοις ψηφίσμασιν, οὕτω πείθειν τούτους λέγοντας,[2] ὡς οὐκ ἔστιν ὑμῖν οὐδεμία σωτηρία χωρὶς τῆς παρὰ τοῦ δήμου βοηθείας. Ὑμεῖς δὲ ἐν τοῖς ἔξω τὰς ἐλπίδας ἔχετε, ἁμιλλώμενοι ταῖς κολακείαις πρὸς τοὺς ὁμολογοῦντας ὑπὲρ Ἀλεξάνδρου πράττειν, καὶ δῶρα εἰληφέναι[3] παρὰ τῶν αὐτῶν, ὧν περ νῦν ἀποπέφαγκεν ὑμᾶς[4] ἡ βουλή. Καὶ σὺ πάντων[5] τῶν Ἑλλήνων ἐναντίον διειλεγμένος Νικάνορι, καὶ κεχρηματικὼς[6] ἐν Ὀλυμπίᾳ, περὶ ὧν ἐβουλήθης, ἐλεεινὸν νῦν σεαυτὸν κατασκευάζεις, προδότης ὢν καὶ δωροδόκος· ὡς ἐπιμελησομένους[7] τούτους τῆς σῆς πονηρίας, καὶ οὐ δώσων δίκην ὑπὲρ ὧν εἴληψαι πεποιηκώς.[8] Τοσούτῳ τολμηρότερον[9] Δημάδου, ὥστε ὁ μὲν προειρηκὼς ἐν τῷ δήμῳ τὸν αὑτοῦ τρόπον καὶ τὴν ἀπόνοιαν, καὶ ὁμολογῶν λαμβάνειν καὶ λήψεσθαι, ὅμως οὐ τετόλμηκεν αὐτοῖς δεῖξαι τὸ πρόσωπον, οὐδ' ἐναντία τῇ τῆς βουλῆς ἀποφάσει λέγειν ἠξίωσε. Καί τοι[10] οὐκ ἔγραψεν ἐκεῖνος περὶ αὑτοῦ κυρίαν εἶναι τὴν βουλήν, οὐδὲ θάνατον ὡρίσατο,[11] ἐὰν ἀποφανθῇ χρήματα εἰληφώς· σὺ δὲ οὕτω σφόδρα πεπίστευκας τοῖς σεαυτοῦ λόγοις, καὶ καταπεφρόνηκας τῆς τούτων εὐηθείας, ὥστε πείσειν οἴει τοὺς

Ἄρα πεποιήκατέ τι τούτων. — 8. Καὶ τῆς ἐν Πρυτανείῳ.) Οἰκίσκος παρὰ τοῖς Ἀθηναίοις ἦν τὸ πρυτανεῖον· ὅθεν αἱ κοιναὶ εὐεργεσίαι καὶ σιτήσεις ἐδίδοντο. Βαρῖν. — 9. Ὅπου.) Ἔνθα εἴδομεν τὴν βοήθειαν καὶ δύναμιν ἐξεταζομένην.

§ 31. 2. Λέγοντας.) Τοὺς ῥήτορας φανεροὺς γεγενημένους, ὅτι ἀντιπράττουσι τοῖς δήμου ψηφίσμασι. — 3. Εἰληφέναι.) Ἐλλείπει Ὁμολογοῦντας, ἀπὸ κοινοῦ ὑπακουόμενον. — 4. Ἀποπέφαγκεν ὑμᾶς.) Ἐλλείπει τό, Εἰληφέναι δῶρα. — 5. Καὶ σὺ πάντων.) Πρὸς τὸν Δημοσθένην ἀναφέρει τὸν λόγον. — 6. Καὶ κεχρηματικώς.) Ὡς γὰρ ἀρχιθεωρὸς ἐν Ὀλυμπίᾳ συνδιελέχθη Νικάνορι Δημοσθένης. — 7. Ὡς ἐπιμελησομένους.) Τὸ Ὡς πρὸς μὲν ἑτεροπροσωποῦσαν μετοχὴν πρὸς αἰτιατικὴν κατὰ τὸν ἀπόλυτον αὐτῆς τρόπον, πρὸς δὲ τὴν ταυτοπροσωποῦσαν κατ' ὀνομαστικήν, διὰ τὴν ταυτοπροσωπίαν τῷ ῥήματι — 8. Εἴληψαι πεποιηκώς.) Παθητικὸν τὸ σχῆμα, ἀντὶ Ἐφωράθης πεποιηκώς. — 9. Τολμηρότερον.) Ἐννοεῖται Εἶ. — 10. Καί τοι.) Ἐνδοτικῶς κατὰ τὸ καθ' ἡμᾶς. Ἂν καλὰ καί. — 11. Ὡρίσατο.) Ἑαυτῷ ζημίαν, ὥσπερ σύ, ὦ Δημόσθενες. —

δικαστὰς, ὡς μόνου σου κατέψευσται τὸ συνέδριον, καὶ μόνον[12] οὐκ εἰληφότα σε τὸ χρυσίον ἀποπέφαγκεν. Καὶ τίς ἂν ταῦτα[13] πεισθείη;

§ 32. Ὁρᾶτε, Ἀθηναῖοι, τί μέλλετε ποιεῖν· παρειλήφατε παρὰ τοῦ δήμου τὸ πρᾶγμα τὸ γεγενημένον ἤδη, τιμωρίας δ' ἕνεκα τῆς κατὰ τῶν ἐνόχων ὄντων ταῖς ἀποφάσεσι, Δημοσθένης εἰσάγεται πρῶτος. Κατηγορήκαμεν ἡμεῖς, οὐδενὶ καταχαρισάμενοι τῶν κοινῶν δικαίων. Πότερ' ἀμελήσαντες τῶν γεγενημένων ἁπάντων, ἀφήσετε τὸν πρῶτον εἰσεληλυθότα πρὸς ὑμᾶς, καὶ τὰ δίκαια τὰ παρὰ τῷ δήμῳ καὶ τῇ βουλῇ τῇ ἐξ Ἀρείου πάγου δόξαντ' εἶναι καὶ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις, ταῦθ' ὑμεῖς κύριοι πάντων λύσετε; Καὶ τὴν πονηρίαν αὐτοὶ τὴν τούτων ἀναδέξασθε; Ἢ πᾶσιν ἀνθρώποις παράδειγμα ἐξοίσετε κοινὸν ὑπὲρ τῆς πόλεως, ὅτι μισεῖτε[2] τοὺς προδότας, καὶ τοὺς χρημάτων ἕνεκα προεμένους τὰ τοῦ δήμου συμφέροντα; Ταῦτα γὰρ ἅπαντά ἐστιν ἐφ' ὑμῖν νῦν· καὶ πεντακόσιοι καὶ χίλιοι ὄντες, τὴν ἁπάσης τῆς πόλεως σωτηρίαν ἐν ταῖς χερσὶν ἔχετε· καὶ ἡ τήμερον ἡμέρα, καὶ ἡ ὑμετέρα ψῆφος, πολλὴν ἀσφάλειαν τῇ πόλει καταστήσει, τὰ δίκαια ὑμῶν ἐθελόντων κρίνειν· ἢ μοχθηρὰς ἐλπίδας ποιήσετε πάντας ἔχειν, τοιαῦθ' ὑμῶν ἔθη καθιστάντων.

§ 33. Οὐ καταληκτέον ἐστὶν, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδὲ προετέον, ἐὰν σωφρονῆτε, τοῖς Δημοσθένους ἐλέοις τὴν κοινὴν καὶ δικαίαν ὑπὲρ τῆς πόλεως ἀπολογίαν. Οὐδεὶς γὰρ ὑμῶν ἠνάγκαζε τοῦτον τὰ μὴ προσήκοντα χρήματα λαμβάνειν τὰ καθ' ὑμῶν· πολλῷ πλείω τῶν ἱκανῶν δι' ὑμᾶς ἕτερα κεκτημένον· οὐδ' ἀπολογεῖσθαι νῦν ὑπὲρ τῶν ὁμολογουμένων ἀδικημάτων, γράψαντα καθ ἑαυτοῦ θάνατον τὴν ζημίαν. Ἀλλ' ἡ ἐκ τοῦ ἄλλου βίου ἔμφυτος αἰσχροκέρδεια καὶ πονηρία ταῦτα εἰς τὴν κεφαλὴν αὐτῷ τέτραφε. Μὴ οὖν ἄχθεσθε αὐτοῦ κλαίοντος καὶ ὀδυρομένου. Πολὺ γὰρ ἂν δικαιότερον ἐλεήσετε τὴν χώραν, ἣν οὗτος καθίστησιν εἰς τοὺς κινδύνους, τοιαῦτα πράττων, ἣ τοὺς ἐξ αὐτῆς γεγενημένους ὑμᾶς ἱκετεύει παραστησαμένη τὰ ὑμέτερα τέκνα καὶ γυναῖκας, τιμωρήσασθαι τὸν προδότην, καὶ σώζειν ἑαυτήν. Ὑπὲρ ἧς οἱ πρόγονοι καλοὺς καὶ πολλοὺς κινδύνους ὑπομείναντες, ἐλευθέραν ὑμῖν αὐτὴν παραδεδώκασιν· ἐν ᾗ πολλὰ καὶ καλὰ παραδείγματα λέλειπται τῆς τῶν τελευτησάντων ἀρετῆς. Εἰς ταύτην ἀποβλέψαντας, ὦ Ἀθη-

---

12. Καὶ μόνον.) Σὲ δηλ. οὐκ ἀποπέφαγκεν εἰληφ. — 13. Καὶ τίς ἂν ταῦτα.) Καὶ τίς πεισθείη, λέγοντός σου ταῦτα;

§ 32. 2. Ὅτι μισεῖτε.) Τὸ Ὅτι κατ' ἀνάλυσιν ἀπαρεμφάτου ὀνοματικοῦ· οἷον. τοῦτο ἐξοίσετε κοινὸν παράδειγμα τῆς πόλεως τὸ ὅτι μισεῖτε, τὸ μισεῖν.

ναῖοι, καὶ τὰς ἐν αὐτῇ γινομένας πατρίους θυσίας, καὶ τὰς τῶν προγόνων θήκας, φέρειν δεῖ τοὺς εὖ φρονοῦντας τὴν ψῆφον. Καὶ ὅταν Δημοσθένης ἐξαπατῆσαι βουλόμενος, καὶ παρακρουόμενος ὑμᾶς οἰκτίζηται, καὶ δακρύῃ, ὑμεῖς εἰς τὸ τῆς πόλεως σῶμα ἀποβλέψαντες, καὶ τὴν πρότερον δόξαν αὐτῇ ὑπάρχουσαν, ἀντίθετε, πότερον ἡ πόλις ἐλεεινοτέρα διὰ τοῦτον γέγονεν ἢ διὰ τὴν πόλιν Δημοσθένης. Εὑρήσετε γὰρ τοῦτον μὲν λαμπρὸν, ἐξ οὗ προσελήλυθεν εἰς τὸ πολιτεύεσθαι, γεγενημένον· καὶ ἀντὶ μὲν λογογράφου καὶ μισθοῦ τὰς δίκας[2] λέγοντος, ὑπὲρ Κτησίππου καὶ Φορμίωνος καὶ ἑτέρων πολλῶν, πλουσιώτερον ὄντα τῶν ἐν τῇ πόλει· ἀντὶ δ' ἀγνῶτος καὶ οὐδεμίαν πατρικὴν δόξαν παρὰ τῶν προγόνων παρειληφότος, ἔνδοξον γεγενημένον· τὴν δὲ πόλιν οὐκ ἀξίως ἑαυτῆς οὐδὲ τῆς τῶν προγόνων δόξης διακειμένην.

§ 34. Ἀφέντες οὖν τοὺς ἐλέους καὶ τοὺς φενακισμοὺς τοὺς τούτου, τὴν ὁσίαν καὶ δικαίαν φέρετε ψῆφον. Καὶ σκοπεῖτε τὸ τῇ πατρίδι συμφέρον, μὴ τὸ Δημοσθένει.[2] Τοῦτο γάρ ἐστι καλῶν κἀγαθῶν δικαστῶν ἔργον. Καὶ ὅταν ἀναβαίνῃ τις δημηγορήσων Δημοσθένει, λογίζεσθε, ὅτι οὗτος ὁ ἄνθρωπος, εἰ μὲν μὴ ἔνοχος ὢν ταῖς μελλούσαις ἀποφάσεσιν ἀναβαίνει, κακόνους ἐστὶ τῇ πολιτείᾳ, καὶ τοὺς ἐπὶ τῷ δήμῳ δῶρα λαμβάνοντας οὐ βουλόμενος δίκην δοῦναι, καὶ τὴν κοινὴν τῶν ὑμετέρων σωμάτων φυλακὴν, ἐφ' ᾗ τέτακται τὸ ἐν Ἀρείῳ πάγῳ συνέδριον καταλυθῆναι βούλεται,[3] καὶ συγκεχύσθαι[4] πάντα τὰ ἐν τῇ πόλει δίκαια. Εἰ δὲ ῥήτωρ, ἢ στρατηγὸς, οἳ[5] τὴν καθ' αὑτῶν προσδοκωμένην ἀπόφασιν ἄπιστον βουλόμενοι γενέσθαι συνηγοροῦσιν, οὐ προσεκτέον ὑμῖν ἐστι τοῖς τούτων λόγοις· εἰδότας,[6] ὅτι ἐκ πάντων τούτων γίνεται συνεργία περὶ τὸν Ἁρπάλου κατάπλουν καὶ τὴν ἄφεσιν. Νομίσαντες οὖν, ὦ Ἀθηναῖοι, καθ' ὑμῶν πάντας τούτους ἀναβαίνειν, καὶ κοινοὺς ἐχθροὺς εἶναι τῶν νόμων καὶ τῆς πόλεως ἁπάσης, μὴ ἀποδέχεσθε αὐτῶν, ἀλλὰ κελεύετε ἀπολογεῖσθαι περὶ τῶν κατηγορημένων· μηδὲ τὴν αὐτοῦ τούτου μανίαν, ὃς μέγα φρονεῖ ἐπὶ τῷ δύνασθαι λέγειν· καὶ ἐπειδὰν[7] φανερὸς ὑμῖν γένηται δωροδοκῶν, ὅτι μᾶλλον ἐξελήλεγκται φενακίζων ὑμᾶς, τιμωρήσασθε ὑμῶν αὐτῶν καὶ τῆς πόλεως ἀξίως· εἰ δὲ μὴ[8] μιᾷ ψήφῳ καὶ ἑνὶ

---

§ 33. 2. Καὶ μισθοῦ τὰς δίκας.) Ἔγραφε γὰρ λόγους ὑπέρ τινων, καὶ ἔλεγεν ἐν δικαστηρίοις, λαμβάνων μισθὸν παρ' ἐκείνων, οὓς ἐβοήθει λέγων.

§ 34. 2. Μὴ τὸ Δημοσθένει.) Μὴ τὸ συμφέρον Δημοσθένει. — 3. Καὶ . . . βούλεται.) Συνδέεται τῷ Κανόνους ἐστὶ, πρὸς ὃ φέρεται καὶ τὸ Βουλόμενος. — 4. Καὶ συγκεχύσθαι.) Καὶ βούλεται συγκεχ. ὁ Παρακ. ἀντὶ Ἀορίστου. — 5. Ἢ στρατηγὸς οἳ.) Τὸ ἀναφορικὸν πληθυντικῶς ἐχρήσατο, διὰ τὸ ἀόριστον Τις· ὡς εἰ ἔλεγεν. Εἰ δέ τις τῶν ῥητόρων ἢ στρατηγῶν, οἳ. — 6. Εἰδότας.) Τὸ μὲν Ὑμῖν διὰ τὸ ἐγκείμενον ἀπρόσωπον, τὸ δὲ Εἰδότας διὰ τὸ ἀπαρέμφατον. — 7. Καὶ ἐπειδάν.) Αἰτιολογικῶς, ἀντὶ Καὶ ἐπειδὴ γεγένηται. — 8. Εἰ δὲ μή.) Τι-

ἀγῶνι πάντας τοὺς ἀποπεφασμένους[9] καὶ τοὺς μέλλοντας[10] ἀφέντες, εἰς ὑμᾶς αὐτοὺς καὶ τὸν δῆμον τὴν τούτων δωροδοκίαν τρέψετε· καὶ ὕστερον ἐγκαλεῖτε[11] τοῖς ἀφεῖσιν, ὅτε οὐδὲν ἔσται πλέον ὑμῖν.[12]

§ 35. Ἐγὼ μὲν οὖν, ὅσον εἰς τὸ μέρος τοὐμὸν τῆς κατηγορίας ἧκει, βεβοήθηκα, τἄλλα πάντα παριδὼν, πλὴν τὸ τοῦ δικαίου καὶ τοῦ συμφέροντος ὑμῖν, οὐκ ἐγκατέλιπον τὴν πόλιν, οὐ χάριν προὐργιαιτέραν τῆς τοῦ δήμου χειροτονίας ἐποιησάμην. Ἀξιῶν δὲ καὶ ὑμᾶς τὴν αὐτὴν γνώμην ἔχειν παραδίδωμι τὸ ὕδωρ[2] τοῖς ἄλλοις κατηγόροις.

## ΛΥΚΟΥΡΓΟΥ ΒΙΟΣ.

ΕΚ ΤΟΥ

# ΨΕΥΔΟΠΛΟΥΤΑΡΧΟΥ.

§ 1. ΛΥΚΟΥΡΓΟΣ, πατρὸς μὲν ἦν Λυκόφρονος τοῦ Λυκούργου (ὃν οἱ τριάκοντα[2] τύραννοι ἀπέκτειναν, αἰτίου αὐτῷ τῆς ἀναιρέσεως γενομένου Ἀριστοδήμου Βατῆθεν· ὃς καὶ Ἑλληνοταμίας[3] γενόμενος, ἔφυγεν ἐν τῇ δημοκρατίᾳ), τῶν δήμων δὲ Βουτάδης,[4] γένους τοῦ τῶν Ἐτεοβουταδῶν.[5] Ἀκροατὴς δὲ γενόμενος Πλάτωνος

---

μωρήσησθε. — 9. Ἀποπεφασμένους.) Δωροδόκους δηλ. — 10. Καὶ τοὺς μέλλοντας.) Ἀποφανθήσεσθαι τοιούτους. — 11. Ἐγκαλεῖτε.) Ἀντὶ μέλλοντος πρὸς βεβαίωσιν τοῦ πράγματος. — 12. Ὅτε οὐδὲν ἔσται πλέον ὑμῖν.) Ὅτε δηλαδὴ οὐδὲν ὠφελήσει ὑμῖν τὸ ἐγκαλεῖν τοῖς ἀφεῖσιν.

§ 35. 2. Παραδίδωμι τὸ ὕδωρ.) Σημείωσαι δὲ ὅτι, ὅτε ἔλεγέ τις, ὁ χρόνος ἦν ὡρισμένος· ἀγγεῖον γὰρ ἐνεπλήρουν ὕδατος, καὶ ἔκ τινος μικρᾶς ὀπῆς ἐξεχεῖτο τοῦ ἀγγείου τὸ ὕδωρ· ἐξῆν οὖν λέγειν μέχρι διέμεινε τὸ ὕδωρ· ὅθεν δοκεῖ ὅτι μετὰ τὸ τέλος τοῦ λόγου τούτου, κατελείφθη ὕδωρ, καὶ διὰ τοῦτό φησι, ὅτι παραδίδωσιν αὐτὸ ἄλλοις κατηγόροις· ἐβούλετο γὰρ ταύτην τὴν ἡμέραν τὴν κατὰ Δημοσθένους γενέσθαι τιμωρίαν.

§ 1. 2. Ὃν οἱ τριάκοντα κ. τ. λ.) Ὃν Λυκοῦργον, τὸν πάππον Λυκούργου τοῦ ῥήτορος. — 3. Ὃς καὶ Ἑλληνοταμίας κ. τ. λ.) Λυκοῦργος ὁ πάππος· καὶ νομοθέτης δὲ, ἥ φησιν Ἁρποκρατίων· « Λυκοῦργος, εἷς τῶν δέκα ῥητόρων, οὗ πάππος Λυκοῦργος ὁ νομοθέτης.» — 4. Βουτάδης.) Ἀπὸ Βουτείας, δήμου Οἰνηΐδος φυλῆς, ὥς φησιν Ἁρποκρατίων. — 5. Γένους τῶν Ἐτεοβουταδῶν.) Καθάπερ ὁ Ποιητὴς (Ὀδυσ. τ', 176) Ἐτεοκρῆτας ὀνόμαζε τοὺς γνησίους Κρῆτας, ὡσαύτως καὶ Ἐτεοβουτάδαι λέγοιντ' ἂν οἱ γνήσιοι Βουτάδαι, ὥσπερ ἐξηγήσατο καὶ Ἁρποκρατίων· «Βούτης, οὗτος ἔσχε τὴν ἱερωσύνην· καὶ οἱ ἀπὸ τούτου, Βουτάδαι. Καὶ Ἐτεοβουτάδαι, οἱ ἀπόγονοι τοῦ Βούτου· τὸ γὰρ ἐτεὸν, τὸ ἀληθὲς δηλοῖ κ. τ. λ.» Καὶ αὖθις· « Ἐτεοβουτάδαι, Λυκοῦργος ἐν τῷ Περὶ ἱερείας. Γένος Ἀθηναίοις, οἷον ἀληθῶς ἀπὸ Βούτου· ἐτεὸν γὰρ τὸ ἀληθές. Ἐκ δὲ τούτων καθίστατο ἡ ἱέρεια τῆς Πολιάδος Ἀθηνᾶς, καθά φησι Δράκων Περὶ γενῶν.»

τοῦ φιλοσόφου τὰ πρῶτα ἐφιλοσόφησεν· εἶτα καὶ Ἰσοκράτους τοῦ ῥήτορος γνώριμος γενόμενος ἐπολιτεύσατο ἐπιφανῶς, καὶ λέγων καὶ πράττων.[6]

§ 2. Καὶ δὴ πιστευσάμενος τὴν διοίκησιν τῶν χρημάτων (ταμίας γὰρ ἐγένετο ἐπὶ τρεῖς πενταετηρίδας[2] ταλάντων μυρίων τετρακισχιλίων, ἤ, ὥς τινες, μυρίων ὀκτακισχιλίων ἑξακοσίων[3] πεντήκοντα, τὸ μὲν πρῶτον[4] αἱρεθεὶς αὐτὸς, ἔπειτα τῶν φίλων ἐπιγραψάμενός τινα, αὐτὸς ἐποιεῖτο τὴν διοίκησιν, διὰ τὸ φθάσαι νόμον εἰσενεγκεῖν,[5] μὴ πλείω πέντε ἐτῶν διέπειν τὸν χειροτονηθέντα ἐπὶ τὰ δημόσια χρήματα), ἀεί τε ἐφεστὼς τοῖς ἔργοις διετέλεσε, καὶ θέρους καὶ χειμῶνος·[6] καὶ ἐπὶ τὴν τοῦ πολέμου παρασκευὴν χειροτονηθεὶς, πολλὰ τῆς πόλεως ἐπηνώρθωσε, καὶ τριήρεις παρεσκεύασε τῷ δήμῳ τετρακοσίας, καὶ τὸ ἐν Λυκείῳ γυμνάσιον ἐποίησε καὶ ἐφύτευσε,[7] καὶ τὴν παλαίστραν ᾠκοδόμησε, καὶ τὸ ἐν Διονύσου θέατρον ἐπιστατῶν ἐτελεύτησε.[8] Πιστευσάμενος δὲ ἐν παρακαταθήκῃ παρὰ τῶν ἰδιωτῶν διακόσια πεντήκοντα τάλαντα

—6. Πράττων (§ 2) Καὶ δὴ πιστευσάμενος τὴν διοίκησιν τῶν χρημάτων (ταμίας γὰρ ἐγένετο. . . . ἐπὶ τὰ δημόσια χρήματα), ἀεί τ' ἐφεστὼς κ. τ. λ.) Τῇ στίξει καὶ τοῖς διὰ μέσου σημείοις νοητὰ ἐποίησα τὰ τέως συγκεχυμένα, «πράττων, »καὶ δὴ πιστευσάμενος τὴν διοίκησιν τῶν »χρημάτων· ταμίας γὰρ ἐγένετο... ἐπὶ »τὰ δημόσια χρήματα, ἀεί τ' ἐφεστὼς »κ. τ. λ.«

§ 2. 2. Ἐπὶ τρεῖς πενταετηρίδας.) Δώδεκα ἔτη τὰς προσόδους τῆς πόλεως διοικῆσαι τὸν Λυκοῦργον φησὶ Διόδωρος ὁ Σικελιώτης (XVI, 88), ὃ δοκεῖ μὲν μάχεσθαι τοῖς τοῦ βιογράφου τρισὶ πενταετηρίσι, τουτέστιν ἔτεσι πεντεκαίδεκα, οὐ μάχεται δὲ, καταχρηστικῶς οὕτω καλουμένης πενταετηρίδος τοῦ τετραετοῦς χρονικοῦ διαστήματος (Ἴδε τὸν Γερμανὸν Boeckh, die Staatshaushaltung der Athener, I. Band, S. 178). — 3. Ταλάντων μυρίων τετρακισχιλίων, ἤ, ὥς τινες, μυρίων ὀκτακισχιλίων ἑξακοσίων.) Ἐν τῷ ἑξῆς ψηφίσματι (σελ. 523). Μύρια ὀκτακισχίλια ἐννεακόσια, φησὶ τὸν ἀριθμὸν τῶν ταλάντων. Ὁ δὲ Παυσανίας (ά § 29) τάδε λέγει περὶ τοῦ Λυκούργου· «Λυκούργῳ δὲ ἐπορίσθη μὲν »τάλαντα ἐς τὸ δημόσιον πεντακοσίοις »πλείονα καὶ ἑξακισχιλίοις, ἢ ὅσα Πε»ρικλῆς ὁ Ξανθίππου.» Ἀλλὰ μὴν ἐπὶ Περικλέους, ὥς φησι Θουκυδίδης (β'. § 13), ὁ μὲν ἀπὸ τῶν συμμάχων κατ' ἐνιαυτὸν προσγινόμενος φόρος, ἄνευ τῆς ἄλλης προσόδου, ἑξακοσίων ἦν ταλάντων· ἀπέκειτο δὲ καὶ ἐν τῇ ἀκροπόλει ἀργυρίου ἐπισήμου ἑξακισχίλια τάλαντα. — 4. Πεντήκοντα, τὸ μὲν πρῶτον κ. τ. λ.) Διέγραψα τοῦ κειμένου τὰς, μετὰ τὸ Πεντήκοντα, ἐννέα ταύτας λέξεις, «καὶ »ὁ τὰς τιμὰς αὐτῷ ψηφιζόμενος Στρα»τοκλῆς ὁ ῥήτωρ» μεταθεὶς αὐτὰς εἰς τὸν εἰκεῖον τόπον (σελ. 520. § 12) μετὰ τὸ, «Κατὰ τὸ αὐτὸ ψήφισμα». — 5. Διὰ τὸ φθάσαι νόμον εἰσενεγκεῖν.) Ἡ μὲν σύνταξις τοῦ λόγου, αὐτὸν τὸν Λυκοῦργον εἰσενεγκεῖν τὸν νόμον, νοεῖν παρέχει· ἄλογον δὲ τὸ μὴ μνησθῆναι καὶ τούτου τοῦ νόμου ἐν τοῖς ἑξῆς (σελ. 515), ἐν οἷς πέντε νόμων εἰσηγητὴν γεγονέναι λέγει τὸν Λυκοῦργον. — 6. Καὶ θέρους καὶ χειμῶνος.) Οὔ μ' ἀρέσκουσιν αἱ τέσσαρες αἵδε λέξεις ἐνθάδε κείμεναι. Μετηνέχθησαν ἴσως ἀπὸ τῶν ἑξῆς (§ 6). — 7. Καὶ τὸ ἐν Λυκείῳ γυμνάσιον ἐποίησε καὶ ἐφύτευσε.) Ἐξ ΕΔ, ἐδιφθογγογράφησα τὸ παρὰ τοῖς ἄλλοις Λυκίῳ. Τὸ δὲ ἐποίησε, ἀντὶ τοῦ ἐπεσκεύασεν ἢ ἄλλως ηὔξησεν, ἐκδεκτέον, εἰ ἀληθῆ τὰ ὑπὸ τοῦ Ἁρποκρατίωνος λεγόμενα. «Λύκειον.... ἓν τῶν παρ' Ἀθηναίοις γυμνασίων ἐστὶ »Λύκειον· ὁ Θεόπομπος μὲν, ἐν τῇ εἰ»κοστῇ πρώτῃ, Πεισιστράτου (γρ. »Πεισίτρατον) ποιῆσαι, Φιλόχορος δὲ, »ἐν τῇ τετάρτῃ, Περικλέους, φησὶν ἐπι»στατοῦντος αὐτὸ γενέσθαι«. — 8. Ἐτελεύτησε.) Ἴσως ἐγέγραπτο, ἐτέλεσε. —

ἐφύλαξε, πομπεῖά τε χρυσᾶ[9] καὶ ἀργυρᾶ τῇ πόλει κατεσκεύασε, καὶ νίκας χρυσᾶς· πολλὰ δὲ[10] ἡμίεργα παραλαβὼν ἐξετέλεσε, καὶ νεωσοίκους[11] καὶ τὴν σκευοθήκην.[12] καὶ τῷ σταδίῳ τῷ Παναθηναϊκῷ τὴν κρηπῖδα περιέθηκεν, ἐξεργασάμενος τοῦτό τε, καὶ τὴν χαράδραν ὁμαλὴν ποιήσας,[13] Δινίου[14] τινὸς, ὃς ἐκέκτητο τοῦτο τὸ χωρίον ἀνέντος τῇ πόλει, περὶ παντὸς αὐτοῦ [ποιησαμένου] χαρίσασθαι Λυκούργῳ.[15]

§ 3. Ἔσχε δὲ καὶ τοῦ ἄστεος τὴν φυλακὴν, καὶ τῶν κακούργων τὴν σύλληψιν, οὓς ἐξήλασεν ἅπαντας, ὡς καὶ τῶν σοφιστῶν ἐνίους λέγειν, Λυκοῦργον οὐ μέλανι, ἀλλὰ θανάτῳ[2] χρίοντα τὸν κάλαμον κατὰ τῶν πονηρῶν οὕτω συγγράφειν. Ὅθεν ἐξαιτηθέντα αὐτὸν ὑπὸ Ἀλεξάνδρου τοῦ βασιλέως, ὁ δῆμος οὐ προήκατο. Καθ' ὃν δὲ χρόνον ἐπολέμει Φίλιππος πρὸς Ἀθηναίους τὸν δεύτερον πόλεμον, ἐπρέσβευε[3] μετὰ Πολυεύκτου καὶ Δημοσθένους εἴς τε Πελοπόννησον, καί τινας ἑτέρας πόλεις· διετέλεσέ τε τὸν ἅπαντα χρόνον εὐδοκιμῶν παρὰ τοῖς Ἀθηναίοις, καὶ δίκαιος εἶναι νομιζόμενος, ὥστε καὶ ἐν τοῖς δικαστηρίοις τὸ φῆσαι Λυκοῦργον ἐδόκει βοήθημα εἶναι τῷ συναγορευομένῳ.

§ 4. Εἰσήνεγκε δὲ νόμους, τὸν μὲν περὶ τῶν κωμῳδῶν, ἀγῶνα[2] τοῖς χύτροις ἐπιτελεῖν ἐφάμιλλον ἐν τῷ θεάτρῳ,[3] καὶ τὸν

9. Πομπεῖά τε χρυσᾶ κ. τ. λ.) «Πομπεῖα δὲ λέγεται (ὥς φησιν Ἀρποκρατίων) τὰ εἰς τὰς πομπὰς κατασκευαζόμενα σκεύη... πομπείοις δέ φησι Φιλόχορος πρότερον ἐχρῶντο οἱ Ἀθηναῖοι ἐκ τῆς οὐσίας τῶν τριάκοντα κατασκευασθεῖσιν· ὀψὲ δὲ, φησὶ, καὶ Ἀνδροτίων ἄλλα κατεσκεύασεν.» Ἕτερος δὲ γραμματικὸς (Bekker, Anecd. gr. tom. 1, pag. 290) ἐξηγεῖται, Πομπεῖά ἐστι τὰ εἰς τὰς πομπὰς κατασκευαζόμενα, οἷον θυμιατήρια καὶ φιάλαι». — 10. Πολλὰ δὲ) Ἴσ. γρ. πολλά τε. — 11. Καὶ νεωσοίκους.) Ἴσ. γρ. καὶ τοὺς νεωσοίκους. Οἱ δὲ Νεώσοικοι οὐχ οἱ αὐτοὶ τοῖς Νεωρίοις, ὡς ἐξηγήσαντο οἱ γραμματικοὶ, «Νεώσοικοι, καταγώγια ἐπὶ τῆς θαλάττης ᾠκοδομημένα εἰς ὑποδοχὴν τῶν νεῶν, ὅτε μὴ θαλαττεύοιεν· τὰ Νεώρια δὲ ἡ τῶν ὅλων περιβολὴ» (Bekker, Anecd. gr. tom. 1, pag. 282). Ὁ δ' Ἀρποκρατίων (σελ. 253) ὑποδιστάζων λέγει, «Νεώρια καὶ Νεώσοικοι. Μή ποτε Νεώρια λέγεται ὁ τόπος ἅπας, εἰς ὃν ἀνέλκονται αἱ τριήρεις καὶ πάλιν ἐξ αὐτοῦ καθέλκονται κ. τ. λ.» — 12. Σκευοθήκην.) «Σκευοθῆκαι, τόπος ὅπου τὰ σκεύη ἐπετίθετο τῶν δημοσίων τριηρῶν, ὧν ἐπεμελοῦντο οἱ τῶν δημοσίων ἄρχοντες.» (Bekker Anecd. gr. tom. 1, pag. 303) Ἔοικε δ' ἡ αὐτὴ εἶναι καὶ ἣν ὁ Στράβων (σελ. 395) Ὁπλοθήκην ὀνομάζει. — 13. Τὴν χαράδραν ὁμαλὴν ποιήσας.) Τὴν παρὰ τῷ σταδίῳ δηλονότι χαράδραν (une ravine). Ὁμαλὴν δὲ ποιῆσαι, ἐστὶ τὸ ἐμφράξαι, ἢ ὥς φησι Δημοσθένης (Πρὸς Καλλικλ. σελ. 1293), ἀποικοδομῆσαι. — 14. Δινίου.) Γραπτέον, οἶμαι, Δεινίου. — 15. Περὶ παντὸς αὐτοῦ ποιησαμένου χαρίσασθαι Λυκούργῳ.) Ἐξ ΗΔ ἡ προσθήκη τῆς μετοχῆς. Ἴσως δὲ καὶ τὸ αὐτοῦ τρεπτέον εἰς τὸ αὑτὸ, ὡς εἴκαζεν ὁ Ῥείσκιος.

§ 3. 2. Οὐ μέλανι, ἀλλὰ ΘΑΝΑΤΩ) Εἰσὶν οἳ γραπτέον εἶναι οὐκ ἀλόγως ὑπειλήφασιν ΑΙΜΑΤΙ. — 3. Ἐπρέσβευε.) Ἴσ. γρ. ἐπρέσβευσε.

§ 4. 2. Τὸν μὲν περὶ τῶν κωμῳδῶν, ἀγῶνα κ. τ. λ.) Ἐξ ΕΔ, προσείληφα τὸν σύνδεσμον· ὑπέστιξα δὲ καὶ πρὸ τοῦ ἀγῶνα, ἵν' ᾖ, Τὸν μὲν πρῶτον νόμον ἔθηκε περὶ τῶν κωμῳδῶν, ἵνα ἐπιτελῶσιν ἐν τῷ θεάτρῳ, κατὰ τὴν ἑορτὴν τῶν Χύτρων, ἀγῶνα κ. τ. λ. — 3. Ἀγῶνα... ἐπιτελεῖν ἐφάμιλλον ἐν τῷ θεάτρῳ.) Οὐκ ὀρθῶς ὁ Λατῖνος μεταφραστὴς, theatrico æmulum peragerent, ὥσπερ ἂν

νικήσαντα εἰς ἄστυ καταλέγεσθαι,[4] πρότερον οὐκ ἐξόν· τὸν δὲ, ὡς χαλκᾶς εἰκόνας[5] ἀναθεῖναι τῶν ποιητῶν, Αἰσχύλου, Σοφοκλέους, Εὐριπίδου, καὶ τὰς τραγῳδίας αὐτῶν ἐν κοινῷ γραψαμένους φυλάττειν, καὶ τὸν τῆς πόλεως γραμματέα παραναγινώσκειν τοῖς ὑποκρινομένοις· οὐκ ἐξεῖναι γὰρ αὐτὰς ὑποκρίνεσθαι.[6] Καὶ τρίτον, μηδενὶ ἐξεῖναι Ἀθηναίων, μηδὲ τῶν οἰκούντων Ἀθήνησιν, ἐλεύθερον σῶμα πρίασθαι[7] ἐπὶ δουλείᾳ ἐκ τῶν ἁλισκουμένων, ἄνευ τῆς τοῦ προτέρου δεσπότου γνώμης. Ἔτι δὲ, ὡς τοῦ[8] Ποσειδῶνος ἀγῶνα ποιεῖν ἐν Πειραιεῖ κυκλίων χορῶν οὐκ ἔλαττον τριῶν, ὧν δίδοσθαι[9] μὲν τοῖς νικῶσιν οὐκ ἔλαττον δέκα μνᾶς·[10] τοῖς δὲ δευτέροις, ὀκτώ· ἓξ δὲ τοῖς τρίτοις κριθεῖσιν. [Ἔτι] ἐπὶ ζεύγους μὴ ἀπεῖναι γυναῖκα Ἐλευσίναδε, ὅπως μὴ ἐλαττῶνται ὑπὸ τῶν πλουσίων·[11] εἰ δέ τις φωραθείη, ἀποτίνειν δραχμὰς ἑξακισχιλίας. Τῆς

---

δίχα προσθέσεως, ἐφάμιλλον τῷ θεάτρῳ, ἐγέγραπτο. Ἕτερος δὲ μεταφραστὴς Λατῖνος, μακρῷ χεῖρον τῷ Χύτροις συνέταξε τὸ Ἐφάμιλλον. pariter illis, qui Chytri dicuntur. Οὐ γάρ ἐστιν ἐπ' εὐθείας μεταβατικὸν ἐνθάδε τὸ ἐφάμιλλος, ὥσπερ ἐν τῷ ἐφάμιλλός τινι, ἢ πρός τινα· ἀλλ' ἀπολύτως ἐκληπτέον, Ἀγῶνα ἐπιτελεῖν, ἐν τῷ διαγωνίσονται κωμῳδοὶ πρὸς κωμῳδοὺς καὶ ἁμιλλήσονται πρὸς ἀλλήλους περὶ τῆς τέχνης, οἷος ἦν ὁ διαγωνίζεσθαι μέλλων πρὸς Εὐριπίδην Σοφοκλῆς ἐν ᾅδου, παρὰ τῷ ἀμφοτέρους σκώψαντι Ἀριστοφάνει (Βατρ. 792),

Κἂν μὲν Αἰσχύλος κρατῇ,
Ἕξειν κατὰ χώραν· εἰ δὲ μὴ, περὶ τῆς τέχνης
Διαγωνιεῖσθ' ἔφασκε πρός γ' Εὐριπίδην.

Καὶ ἔστι τὸ Ἐπιτελεῖν ἐφάμιλλον, κατὰ τὸ παρὰ τοῖς Γάλλοις λεγόμενον, mettre au concours; ἡμῖν δὲ, οὐκ ἔχουσί πω ἐν τῇ συνήθει φωνῇ ὅπως ἑρμηνεύσεμεν, μεταφράζοντες τὰ τῶν Γάλλων, ἐφεῖται τῷ ῥήματι τούτῳ (ἐφάμιλλον) χρῆσθαι, ἢ γοῦν, διὰ τὸ σαφέστερον, Διαγώνισμα μεταφράζειν τὸ concours, καὶ οὐχ, ὡς ἑτέρωθι ἀπερισκέπτως εἴρηκα, Συναγώνισμα. — 4. Τὸν νικήσαντα εἰς ἄστυ καταλέγεσθαι.) Οἱ μὲν Κατιέναι, οἱ δὲ, Καθιέναι ἐπενόουν εἶναι γραπτέον· ἴσως, Κατάγεσθαι. — 5. Τὸν δὲ, ὡς χαλκᾶς εἰκόνας κ. τ. λ.) Δεύτερος οὗτος νόμος. — 6. Οὐκ ἐξεῖναι γὰρ αὐτὰς ὑποκρίνεσθαι.) Οἱ μὲν, τὴν ἄρνησιν περιελεῖν παρῄνεσαν, οἱ δὲ τρέπειν τὴν θηλυκὴν ἀντωνυμίαν (αὐτὰς) εἰς ἀρσενικὴν (αὐτοὺς), ἄλλοι δὲ γράφειν, «καὶ οὐκ «ἐξεῖναι παρ' αὐτὰς ὑποκρίνεσθαι.» — 7. Μηδενὶ ἐξεῖναι.... ἐλεύθερον σῶμα πρίασθαι κ. τ. λ.) Ἀπελεύθερον ἔδοξε τισι δεῖν γράφειν· ἐμοὶ δ', ὁποτέρως ἂν γράφοιτο, οὐ συνετὸς ὁ τρίτος οὗτος νόμος· οἶμαι δ' ὅτι οὔθ' οἱ μεταφράσαντες τὸ πρίασθαι εἰς τὸ vendere (δέον εἰς τὸ emere) οὔθ' οἱ εἰς τὸ mercari, συνῆκαν τὸν νόμον. — 8. Ἔτι δὲ, ὡς τοῦ κ. τ. λ.) Τέταρτος οὗτος νόμος. — 9. Τριῶν, ὧν δίδοσθαι.) Ἐξ ΕΔ, ἡ μέση λέξις, ἀντὶ τοῦ, τριῶν· δίδοσθαι. — 10. Οὐκ ἔλαττον «δέκα μνᾶς.) Ὑποσολοίκως εἴρηται, ὤφειλε γὰρ εἶναι, οὐκ ἔλαττον δέκα μνῶν, ἢ, Οὐκ ἔλαττον δεκάμνου. Αἱ δέκα μναῖ ὀλίγον ἀποδέουσι χιλίων φράγκων Γαλλικῶν. — 11. Ἔτι ἐπὶ ζεύγους.... ἐλαττῶνται ὑπὸ τῶν πλουσίων.) ΗΔ, ἡ προσθήκη τῆς πρώτης λέξεως. Πέμπτος γὰρ οὗτος νόμος, ὃς οὕτω διεσκεύασται παρὰ τῷ Φωτίῳ (κώδ. σξή.) «Οὐκ ἐᾷ «τὰς γυναῖκας Ἐλευσίναδε ἐπὶ ζεύγους «ὀχουμένας ἀφικνεῖσθαι, ὡς ἂν αἱ δη«μοτικαὶ μὴ ὦσιν ὑπὸ τῶν πλουσίων ἐ«λαττούμεναι.» Καὶ ἔστιν αὕτη ἡ ἐξήγησις μακρῷ πιθανωτέρα ἧς ἐποιεῖτο ὁ Περιζώνιος ἐν ταῖς εἰς τὸν Αἰλιανὸν (Ποικ. ἱστορ. XIII, 24) σημειώσεσι. Ταύτην δὲ τὴν Ἐλευσίναδε πρόοδον ἐπὶ ζεύγους, λαμπρὰν οὖσαν οὐχ ἧττον τῆς ἐν Παρισίοις κατ' ἔτος γινομένης ἐπὶ τὴν Μακροπεδίαν (Longchamp) λεγομένην, ὀνειδίζει καὶ Δημοσθένης (Κατὰ Μειδ. σελ. 565) τῷ Μειδίᾳ, λέγων, «Τίς οὖν ἐστὶ ἡ λαμ«πρότης.... Ἐγὼ μὲν γὰρ οὐχ ὁρῶ, «πλὴν εἰ ταῦτά τις θεωρεῖ· οἰκίαν ᾠκο«δόμηκεν ἐν Ἐλευσῖνι... καὶ εἰς μυ«στήρια τὴν γυναῖκα ἄγειν, κἂν ἄλλοσέ «ποι βούληται, ἐπὶ τοῦ λευκοῦ ζεύγους

δὲ γυναικὸς αὐτοῦ μὴ πεισθείσης, τῶν συκοφαντῶν φωρασάντων τάλαντον αὐτοῖς ἔδωκε. Κατηγορούμενος δ' ἐν ὑστέρῳ, ἐν τῷ δήμῳ, ἔφη, «Ἀλλ' οὖν ἐγὼ μὲν διδοὺς, οὐ λαμβάνων ἑώραμαι.» [12]

§ 5. Τελώνου δέ ποτε ἐπιβαλόντος Ξενοκράτει τῷ φιλοσόφῳ τὰς χεῖρας, καὶ πρὸς τὸ μετοίκιον αὐτὸν ἀπάγοντος,[2] ἀπαντήσας, ῥάβδῳ τε κατὰ τῆς κεφαλῆς τοῦ τελώνου κατήνεγκε, καὶ τὸν Ξενοκράτην ἀπέλυσε· τὸν δὲ, ὡς οὐ τὰ πρέποντα δράσαντα, εἰς τὸ δεσμωτήριον κατέκλεισεν. Ἐπαινουμένου δὲ ἐπὶ τῇ πράξει, μεθ' ἡμέρας τινὰς συντυχὼν ὁ Ξενοκράτης τοῖς παισὶ τοῦ Λυκούργου, ἔφη, «Ταχέως γε τῷ πατρὶ ὑμῶν ἀπέδωκα, ὦ παῖδες, »τὴν χάριν· ἐπαινεῖται γὰρ ὑπὸ πολλῶν ἐπὶ τῷ βοηθῆσαί μοι.» Εἰσήνεγκε δὲ καὶ ψηφίσματα, Εὐκλείδῃ τινὶ Ὀλυνθίῳ χρώμενος ἱκανωτάτῳ περὶ τὰ ψηφίσματα.

§ 6. Εὔπορος δὲ ὢν, ἱμάτιον ἓν καὶ ταὐτὸ ἐφόρει τοῦ χειμῶνος καὶ τοῦ θέρους, καὶ ὑπεδέδετο ταῖς ἀναγκαίαις ἡμέραις. Ἐμελέτα δὲ καὶ νυκτὸς καὶ ἡμέρας, οὐκ εὖ πρὸς τὰ αὐτοσχέδια πεφυκὼς, κλινιδίου αὐτῷ[2] ὑποκειμένου, ἐφ' ᾧ μόνον ἦν κῴδιον καὶ προσκεφάλαιον, ὅπως ἐγείροιτο ῥᾳδίως καὶ μελετῴη. Ἐγκαλοῦντος δὲ αὐτῷ τινὸς ὅτι μισθοὺς σοφισταῖς δίδωσι περὶ λόγους διατριβῶν, «Ἀλλ' εἴτις γε ἐπαγγέλλοιτο (ἔφη) τοὺς υἱοὺς ἀμείνους[3] »αὐτῷ ποιήσειν, οὐ χιλίας, ἀλλὰ τὸ ἥμισυ τῆς οὐσίας προήσεσθαι.[4]»

---

»τοῦ ἐκ Σικυῶνος.» — 12. Διδοὺς, οὐ λαμβάνων, ἑώραμαι.) Ἄμεινον ἂν ἦν τὸ πεφώραμαι, ὡς ἔδοξε τῷ Βυττεμβαχίῳ. Ὁ δὲ γνήσιος Πλούταρχος δὶς μνημονεύσας τοῦ προκειμένου, πρῶτον μὲν (Νικ. καὶ Κράσ. σύγκρ § 1) ἐχρήσατο τῷ Πεφώραμαι ῥήματι, δεύτερον δὲ (Περὶ τοῦ ἑαυτ. ἐπαιν. ἀνεπιφθ. § 8) τῷ Εἴλημμαι.

§ 5. 2. Πρὸς τὸ μετοίκιον αὐτὸν ἀπάγοντος.) ΗΔ (συνᾴδουσα καὶ τῇ Λατίνῃ μεταφράσει abduceret), ΑΤ, ἀπαγαγόντος· κατ' ἐνεστῶτα δὲ καὶ ὁ Φώτιος, ἀλλ' ἀπροθέτως, ἄγοντος. Ὁ δὲ νοῦς, ἀπάγοντος τὸν Ξενοκράτην, ὡς ὀφείλοντα τὸ μετοίκιον, διὰ τὸ μὴ τελέσαι τὸ μετοίκιον. Ἦν δὲ τὸ μετοίκιον τέλος ὃ οἱ μέτοικοι λεγόμενοι, τουτέστιν οἱ ἀλλαχόθεν κατοικοῦντες Ἀθήνησι, μὴ ὄντες ἀστοὶ, ἐτέλουν, οἱ μὲν ἄνδρες δραχμὰς δώδεκα, αἱ δὲ γυναῖκες ἕξ. «Οἱ μέντοι μὴ τι»θέντες τὸ μετοίκιον, μέτοικοι, ἀπήγοντο »πρὸς τοὺς πωλητὰς, καὶ εἰ ἑάλωσαν, »ἐπιπράσκοντο» ὥς φησιν Ἁρποκρατίων, τὸν Δημοσθένην παρεχόμενος μάρτυρα. Ἐμνημόνευσε δὲ τούτου καὶ Διογένης ὁ Λαέρτιος (IV, 14) ἑτεροίως ἱστορῶν τὸ περὶ Ξενοκράτους, Ἀθηναῖοι δ' ὅμως αὐ»τὸν (Ξενοκράτην), ὄντα τοιοῦτον, ἐπί»πρασκόν ποτε, τὸ μετοίκιον ἀδυνατοῦν»τα θεῖναι. Καὶ αὐτὸν ὠνεῖται Δημή»τριος ὁ Φαληρεὺς, καὶ ἑκάτεραν (γρ. »ἑκατέροις) ἀποκατέστησε, Ξενοκράτει »μὲν τὴν ἐλευθερίαν, Ἀθηναίοις δὲ τὸ »μετοίκιον.»

§ 6. 2. Κλινιδίου αὐτῷ.) ΗΔ, ἡ περιχίρεσις τοῦ συνδέσμου· ἐγράφετο γὰρ, Κλινιδίου δ' αὐτῷ. — 3. Περὶ λόγους ΔΙΑΤΡΙΒΩΝ, ἀλλ' εἴ τις .... τοὺς υἱοὺς ἀμείνους κ. τ. λ.) Ἐξεῤῥυηκέναι τι τοῦ χωρίου εἰκός· οὐ γάρ ἐστι συνετὸν τὸ εἰρημένον, Ὀνειδιζόμενον ἐπὶ τῷ διατρίβειν περὶ λόγους αὐτὸν τὸν Λυκοῦργον, ἀποκρίνεσθαι περὶ τῶν υἱῶν. Ἴσως τοιαύτη τις ἦν ἡ ἀρχαία γραφὴ, «Ἐγκαλοῦντος δὲ »αὐτῷ τινος, ὅτι μισθοὺς σοφισταῖς δίδωσι »περὶ λόγους ΔΙΑΤΡΙΒΕΙΝ ΠΟΙΩΝ ΤΟΥΣ »ΥΙΟΥΣ, Ἀλλ' εἴ τις.... τοὺς υἱοὺς ἀ»μείνους κ. τ. λ.» — 4. Ἥμισυ τῆς οὐσίας προήσεσθαι.) Ἐξ ΕΔ, ΑΤ, τὰ ἡμίση τῆς οὐσίας προΐεσθαι.

§ 7. Ἦν δὲ καὶ παῤῥησιαστὴς διὰ τὴν εὐγένειαν· Ἀθηναίων γέ τοι ποτὲ οὐκ ἀνεχομένων αὐτοῦ δημηγοροῦντος, ἀνέκραγεν ἐκβαλλόμενος, «Ὦ Κερκυραία μάστιξ,[2] ὡς πολλῶν ταλάντων εἶ »ἀξία!» Πάλιν δὲ θεὸν ἀναγορευόντων Ἀλέξανδρον,[3] «Καὶ »ποδαπὸς ἀνεῖπεν, ὁ θεὸς [οὗτος[4]], οὗ τὸ ἱερὸν ἐξιόντας δεήσει »περιῤῥάνασθαι;»[5]

§ 8. Ἀποθανόντος δὲ αὐτοῦ, παρέδωκαν τοὺς παῖδας τοῖς Ἕνδεκα,[2] Μενεσαίχμου μὲν κατηγορήσαντος, γραψαμένου δὲ

---

§ 7. 2. Ὦ Κερκυραία μάστιξ. κ. τ. λ.) Εἰς παροιμίαν ἐξέπεσεν ἡ Κερκυραία μάστιξ, ἧ δῆλον καὶ ἐκ τοῦ κωμικοῦ (Ἀριστοφ. Ὄρν. 1463),

Πει. Κάλλιστα Κερκυραῖα τοιαυτὶ πτερά:

Συ. Οἴμοι τάλας! μάστιγ' ἔχεις,

ἔνθα ὁ σχολιαστὴς λέγει, «Συνεχῶς Κερ»κυραίοις ἀταξίαι γίνονται (ἴσ. γρ. ἐγί»νοντο) διὰ τὸ στασιάζειν οὖν, ἐπεπόλα»σε παρ' αὐτοῖς ἡ μάστιξ, ὥστε διπλαῖς »χρῆσθαι καὶ μεγάλαις καὶ ἐλεφαντοκώ»ποις. . . . ὥστε καὶ εἰς παροιμίαν ἤδη »ἐλθεῖν. ΑΡΙΣΤΟΦΑΝΗΣ δὲ, τὸ Κερκυ»ραία μάστιξ λέγων, φησὶν οὕτως. Ἐλε»φαντίνας ἐποιήσαντο καὶ τῷ μεγέθει »περιττὰς κ. τ. λ.» Ὅτι δὲ ΑΡΙΣΤΟΤΕΛΗΣ χρὴ γράφειν ἐν τοῖς λεγομένοις, δῆλον ἐκ τοῦ παροιμιογράφου Ζηνοβίου (Παροιμ. IV, 49) «Περιττήν τινα κατα»σκευὴν εἶχον αἱ Κερκυραῖαι μάστιγες »διὸ καὶ εἰς παροιμίαν παρῆλθον. Οἱ δὲ »καὶ διπλᾶς αὐτὰς ἔφασαν εἶναι· εἶχον »δὲ καὶ ἐλεφαντίνας κώπας, καὶ τῷ με»γέθει περιττῶς (γρ. περιτταὶ) ἦσαν. »Ὑπερηφάνους γὰρ εὐπραγοῦντας τοὺς »Κερκυραίους φησὶν Ἀριστοτέλης γενέ»σθαι.» — 3. Πάλιν δὲ θεὸν ἀναγορευόντων Ἀλέξανδρον.) Δημάδου τοῦ ῥήτορος εἰσηγησαμένου τοῦτο, καὶ κολασθέντος ὑπ' Ἀθηναίων διὰ τὴν κολακείαν, ὡς φησιν Ἀθήναιος (σελ. 251), «Δημάδην »δὲ δέκα ταλάντοις ἐζημίωσαν, ὅτι θεὸν »εἰσηγήσατο Ἀλέξανδρον.» Εἰκὸς δὲ καὶ Λυκούργου κατηγορήσαντος ταύτην ὑποσχεῖν Δημάδην τὴν δίκην, ἢ δῆλον ἐκ τῶν ἑξῆς (§ 13, σελ. 520-1.) — 4. Καὶ ποδαπὸς, ΑΝΕΙΠΕΝ, ὁ θεὸς οὗτος κ. τ. λ.) ΗΔ (ἦτε μεταποίησις τοῦ ῥήματος, καὶ ἡ ἐπὶ τέλους προσθήκη τῆς ἀντωνυμίας.) ΑΤ, Καὶ ποδαπὸς ἈΝ ΕΙΠΕΝ, ὁ θεός· Ἀνεῖπεν ἐστὶ, μετὰ θυμοῦ εἶπεν, κατὰ τὸ μικρὸν ἀνωτέρω Ἀνέκραγεν. Εἰ δὲ μὴ σ' ἀρέσκοι ἡ διόρθωσις, προστίθει γοῦν τὸ ὑπαρκτικὸν ῥῆμα, Καὶ ποδαπὸς ἂν εἴη, εἶπεν, ὁ θεὸς οὗτος. Ὁ νοῦς, Ἐκ ποίου δαπέδου, γῆς δηλονότι ἢ τόπου. Καὶ σημείωσαι, ὅτι ἐν τῷ παρακμάζοντι ἑλληνισμῷ ἐγράφετο. καὶ διὰ τοῦ τ Ποταπὸς ἐπὶ τοῦ αὐτοῦ σημαινομένου, κατ' ἐναλλαγὴν τοῦ δ εἰς τὸ τ, ὡς καὶ ἐν τῷ Δάπις καὶ Τάπις, καθά φασιν οἱ νεώτεροι κριτικοί. Οἱ μέντοι Ἕλληνες Ἀττικισταὶ νοθείαν κατεγνώκασι τῆς δευτέρας γραφῆς. «Ποδαπὸν διὰ τοῦ »δ, οὐχὶ διὰ τοῦ τ· ἔστι γὰρ οἷον ποίου »δαπέδου,» φησὶν ὁ Φώτιος. Καὶ τὸ μὲν Ποδαπὸς ἠγνόηκεν ὅλως ἡ παρ' ἡμῖν συνήθεια· τῷ δὲ διὰ τοῦ τ Ποταπὸς (οἷον ἐν τῷ ἄνθρωπος ποταπὸς) τὸν εὐτελῆ καὶ χυδαῖον σημαίνει — 5. Οὗ τὸ ἱερὸν ἐξιόντας δεήσει περιῤῥάνασθαι!) Οἱ γὰρ εἰς τὰ ἱερὰ τῶν θεῶν φοιτῶντες, ἐν τῷ εἰσιέναι περιεραίνοντο ἀπὸ τοῦ Περιῤῥαντηρίου (παραπλησίου τῷ παρὰ τοῖς Δυτικοῖς χριστιανοῖς καλουμένῳ Bénitier), ἵνα καθαροὶ εἰσίοιεν, εἰς αὐτὰ ὡς καὶ Ἱπποκράτης (Περὶ ἱερ. νούσ. § 4, σελ 329) φησὶν, «Εἰσιόντες τε περιῤῥαινό»μεθα, οὐχ ὡς μιαινόμενοι (γρ. μιανού»μενοι), ἀλλ' εἴ τι καὶ πρότερον ἔχομεν »(γρ. εἴχομεν) μύσος, ἀφαγνιούμενοι.» Καὶ ἔστιν ὁ νοῦς τοῦ λεγομένου τῷ ῥήτορι, ὅτι Ἀλεξάνδρου θεοῦ ὑπερηφάνως ἀναγορευομένου, οὐχ ὁ εἰσιὼν εἰς τὸ ἱερὸν, ἀλλὰ πολλῷ μᾶλλον ὁ ἐξιὼν, ὡς ἀπὸ μιαροῦ ἐξερχόμενος χωρίου, ὀφείλει περιῤῥαίνεσθαι.

§ 8. 2. Τοῖς Ἕνδεκα.) Κληρωτοὶ ἄρ»χοντες ἦσαν, ἕνδεκα τὸν ἀριθμὸν, προϊ»στάμενοι τοῦ δεσμωτηρίου. Καὶ τοὺς »ἀγομένους ἐπὶ κακουργήμασι παρελάμ»βανον, κλέπτας καὶ ἀνδραποδιστὰς καὶ »φονεῖς· καὶ τοὺς μὲν ὁμολογοῦντας θα»νάτῳ ἐζημίουν, τοὺς δὲ ἀμφισβητοῦντας »εἰσῆγον εἰς δικαστήριον.» (BEKKER,

Θρασυκλέους.[3] Δημοσθένους δὲ, καθ' ὃν ἔφυγε[4] χρόνον, ἐπιστείλαντος τοῖς Ἀθηναίοις, ὡς κακῶς ἀκούοιεν ἐπὶ τοῖς Λυκούργου παιδίοις, μετενόησαν, καὶ ἀφῆκαν αὐτοὺς, Δημοκλέους τοῦ Θεοφράστου μαθητοῦ ὑπὲρ αὐτῶν ἀπολογησαμένου.

§ 9. Ἐτάφη δὲ αὐτὸς καὶ τῶν ἐγγόνων τινὲς δημοσίᾳ, καὶ ἔστιν αὐτῶν τὰ μνήματα ἄντικρυς τῆς Παιωνίας Ἀθηνᾶς ἐν τῷ Μελανθίου τοῦ φιλοσόφου κήπῳ, τράπεζαι πεποιημέναι, αὐτοῦ τε Λυκούργου[2] καὶ τῶν παίδων αὐτοῦ ἐπιγεγραμμέναι, καὶ εἰς ἡμᾶς ἔτι σωζόμεναι.

§ 10. Τὸ μέγιστον, χίλια διακόσια τάλαντα προσόδους τῇ πόλει κατέστησε, πρότερον ἑξακοσίων[2] προσιόντων. Μέλλων δὲ τελευτήσειν εἰς τὸ Μητρῷον καὶ τὸ Βουλευτήριον ἐκέλευσεν αὐτὸν κομισθῆναι, βουλόμενος εὐθύνας δοῦναι τῶν πεπολιτευμένων· οὐδενὸς δὲ κατηγορῆσαι τολμήσαντος, πλὴν Μενεσαίχμου, τὰς διαβολὰς ἀπολυσάμενος, εἰς τὴν οἰκίαν ἀπεκομίσθη καὶ ἐτελεύτησεν, ἐπιεικὴς νομισθεὶς παρὰ πάντα τὸν τοῦ βίου χρόνον,[3] καὶ ἐν λόγοις ἐπαινεθεὶς, καὶ μηδένα ἀγῶνα ἁλοὺς, καίτοι πολλῶν κατηγορησάντων.

§ 11. Ἔσχε δὲ τρεῖς παῖδας ἐκ Καλλιστοῦς τῆς Ἅβρωνος μὲν θυγατρὸς, Καλλίου[2] δὲ τοῦ Ἅβρωνος Βατῆθεν ἀδελφῆς, τοῦ ταμιεύσαντος στρατιωτικῶν[3] ἐπὶ Χαιρώνδου ἄρχοντος. Περὶ δὲ τῆς κηδείας ταύτης λέγει ὁ Δείναρχος ἐν τῷ κατὰ Πιστίου.[4] Κατέλιπε δὲ παῖδας, Ἅβρωνα, Λυκοῦργον, Λυκόφρονα, ὧν ὁ Ἅβρων καὶ ὁ Λυκοῦργος ἄπαιδες μετήλλαξαν· ἀλλ' ὅ γε Ἅβρων καὶ πολιτευσάμενος ἐπιφανῶς μετήλλαξε. Λυκόφρων δὲ, γήμας Καλλιστομάχην Φιλίππου Αἰξωνέως, ἐγέννησε Καλλιστώ. Ταύτην δὲ γήμας Κλεόμβροτος Δεινοκράτους Ἀχαρνεὺς, ἐγέννησε Λυκόφρονα. Τοῦτον δὲ ὁ πάππος εἰσεποιήσατο Λυκόφρων· οὗτος δὲ ἐτελεύτησεν ἄπαις. Μετὰ δὲ τὴν Λυκόφρονος τελευτὴν, ἔγημε τὴν Καλλιστὼ Σωκράτης, καὶ ἔσχεν υἱὸν Σύμμαχον· τοῦ δὲ ἐγέννετο Ἀριστώνυμος, τοῦ δὲ Χαρμίδης, τοῦ δὲ Φιλίππη· ταύτης δὲ καὶ Λυσάνδρου Μήδειος, ὁ καὶ ἐξηγητὴς[5] ἐξ Εὐμολπι-

---

Anecd. græc. pag. 250). — 3. Θρασυκλέους.) Μοιροκλέους γραπτέον εἶναι ἰσχυρίσατό τις τῶν ἐνδόξων κριτικῶν. — 4. Ἔφυγε.) Ἴσ. γρ. ἔφευγε, ἵν' ᾖ ἐν τῇ φυγῇ ἦν.

§ 9. 2. Αὐτοῦ τε Λυκούργου.) ΗΔ, ΑΤ, Αὗταί τε τοῦ Λυκούργου. Ὁ δὲ Ῥεῖσκος διόρθου αὐταῦ τε τοῦ Λυκούργου.

§ 10. 2. Ἑξακοσίων.) Ἐξ ΕΔ, ΑΤ, ἑξήκοντα. — 3. Τὸν τοῦ βίου χρόνον.) Ἐκ τοῦ Φωτίου προσείληφα τὸ δεύτερον ἄρθρον, τοῦ πρὸ ἐμοῦ δυσὶ μόναις λέξεσι, οὐκ οἶδ' ὅθεν, γράψαντος, τὸν βίον.

§ 11. 2. Καλλίου.) Ἐξ ΕΔ, ΑΤ, Καλαισοῦ. — 3. Τοῦ ταμιεύσαντος στρατιωτικῶν.) Ἕτερος οὗτος τοῦ καλουμένου, Ταμίου τῆς κοινῆς προσόδου, ἢ Ταμίου τῆς διοικήσεως, ἢ τοῦ ἐπὶ τῆς διοικήσεως. — 4. Πιστίου.) Οὕτως ὁ πρὸ ἐμοῦ, ΑΤ, Πιστίου. — 5. Ἐξηγητής.) «Ἐξηγηταὶ οἱ τοὺς νόμους δεικνύντες τοῖς ἀγνοοῦσι περὶ τοῦ ἀδι-

δῶν γενόμενος· τούτου δὲ καὶ Τιμοθέας τῆς Γλαύκου παῖδες, Λαοδάμεια κα. Μήδειος, ὃς τὴν ἱερωσύνην Ποσειδῶνος Ἐρεχθέως εἶχε, καὶ Φιλίππη,[6] ἥτις ἱεράσατο τῆς Ἀθηνᾶς[7] ὕστερον. Πρότερον δ' αὐτὴν γήμας Διοκλῆς ὁ Μελιτεύς, ἐγέννησε Διοκλέα τὸν ἐπὶ τοὺς ὁπλίτας στρατηγήσαντα.[8] Γήμας δὲ οὗτος Ἡδίστην Λ"ϐρωνος, Φιλιππίδην καὶ Νικοστράτην ἐγέννησε. Γήμας δὲ τὴν Νικοστράτην Θεμιστοκλῆς ὁ Θεοφράστου, ὁ δᾳδοῦχος, ἐγέννησε Θεόφραστον καὶ Διοκλέα. Διετάξατο δὲ καὶ τὴν ἱερωσύνην τοῦ Ποσειδῶνος Ἐρεχθέως.[9]

§ 12. Φέρονται δὲ τοῦ ῥήτορος λόγοι δεκαπέντε.[2] Ἐστεφανώθη δὲ ὑπὸ τοῦ δήμου πολλάκις, καὶ εἰκόνων ἔτυχεν. Ἀνάκειται δὲ αὐτοῦ χαλκῆ εἰκὼν ἐν Κεραμεικῷ, κατὰ ψήφισμα, ἐπὶ Ἀναξικράτους ἄρχοντος· ἐφ' οὗ ἔλαβε καὶ σίτησιν ἐν Πρυτανείῳ αὐτός τε Λυκοῦργος,[3] καὶ ὁ πρεσβύτατος αὐτοῦ τῶν ἐκγόνων,[4] κατὰ τὸ αὐτὸ ψήφισμα. [Καὶ ὁ τὰς τιμὰς αὐτῷ ψηφιζόμενος, Στρατοκλῆς ὁ ῥήτωρ.[5]] Ἀποθανόντος τε[6] Λυκούργου, ὁ πρεσβύτατος τῶν παίδων Λυκόφρων ἠμφισβήτησε τῆς δωρεᾶς.[7]

§ 13. Εἶπε καὶ περὶ ἱερῶν πολλάκις.[2] Γραψάμενος [δ'] Αὐτόλυκον[3]

---

«χήματος·» (Bekker Anec. gr. tom. 1. pag. 187). Οὐ μόνον δὲ νόμους, ἀλλὰ καὶ χρησμοὺς (αὐτ. σελ. 96) καὶ «Πᾶν ὁτιοῦν πρᾶγμα» (αὐτ. σελ. 252) Κατὰ δὲ τὸν Ἁρποκρατίωνα, «ἐξηγητὴς ὁ ἐξηγούμενος τὰ ἱερά· ἔστι δὲ »καὶ ἃ πρὸς τοὺς κατοιχουμένους (γρ. »κατοιχομένους) νομιζόμενα ἐξηγοῦντο »τοῖς δεομένοις.» — 6. Ὃς τὴν ἱερωσύνην Ποσειδῶνος Ἐρεχθέως εἶχε, καὶ Φιλίππη, ἥτις ἱεράσατο τῆς Ἀθηνᾶς ὕστερον.) Ἐντεῦθεν δηλοῦται καὶ ὃ φησιν Ἁρποκρατίων (λέξ. Ἐτεοβουτάδαι), ὅτι, «ἐκ τῶν Ἐτεοβουταδῶν καθίστα»το ἡ ἱέρεια τῆς πολιάδος Ἀθηνᾶς,» δηλονότι, τοῦ Ἐτεοβουταδῶν γένους ταῖς μὲν γυναιξὶ ἐξαίρετος ἦν ἡ ἱερωσύνη τῆς Ἀθηνᾶς, τοῖς ἀνδράσι δὲ ἡ τοῦ Ποσειδῶνος. — 7. Ἱεράσατο τῆς Ἀθηνᾶς.) Ἱέρεια τῆς Ἀθηνᾶς ἀπεδείχθη. — 8. Τὸν ἐπὶ τοὺς ὁπλίτας στρατηγήσαντα.) Οὐκ ἀλόγως ὕποπτον ἔδοξε Ῥεισκίῳ τὸ χωρίον. — 9. Διετάξατο δὲ καὶ τὴν ἱερωσύνην τοῦ Ποσειδῶνος Ἐρεχθέως.) Ὁ ῥήτωρ Λυκοῦργος δηλονότι.

§ 12. 2. Λόγοι δεκαπέντε.) Τεσσαρεσκαίδεκα φησὶν ὁ Σουίδας, ἀπαριθμῶν ὀνομαστί. Μόνος νῦν ὁ Κατὰ Λεωκράτους ὅδε σώζεται λόγος. — 3. Αὐτός τε Λυκοῦργος.) Ἐξ ΕΔ, ΑΤ. Αὐτός τε καὶ ὁ Λυκοῦργος. — 4. Καὶ ὁ πρεσβύτατος αὐτοῦ τῶν ἐκγόνων.) Λυκόφρων, ὃν ἔλεγεν ἀνωτέρω εἰσπεποιῆσθαι ὑπὸ τοῦ ὁμωνύμου πάππου, υἱοῦ τοῦ Λυκούργου. — 5. Καὶ ὁ τὰς τιμὰς αὐτῷ ψηφιζόμενος, Στρατοκλῆς ὁ ῥήτωρ.) Προστέθεικα ἐνθάδε, ἃς ἀνωτέρω (§ 2. 4.) διέγραφον ὡς ἀτόπως ἐκεῖ κειμένας ἐννέα λέξεις. Δηλοῖ δὲ καὶ τὸ ἑξῆς (σελ. 523) ψήφισμα Στρατοκλέα ψηφίσασθαι τὰς τιμὰς Λυκούργῳ. — 6. Ἀποθανόντος ΤΕ.) Ἴσ. γρ. ΔΕ. — 7. Ἠμφισβήτησε τῆς δωρεᾶς.) Τῆς ἐν Πρυτανείῳ σιτήσεως.

§ 13. 2. Εἶπε δὲ καὶ περὶ ἱερῶν πολλάκις κ. τ. λ.) Ὕποπτος ἔδοξεν ἡ παρατελευταία λέξις τῷ Ῥεισκίῳ. Ἀλλ' ἐπεὶ ἐν τοῖς καταλεγομένοις ὑπὸ τοῦ Σουίδα λόγοις, φέρονται τρεῖς ἐπιγραφόμενοι, ὁ μὲν Περὶ τῆς Ἱερατείας, ὃν ἀλλαχοῦ (λέξ. Νίκη) ὁ αὐτὸς Σουίδας, Περὶ τῆς ἱερείας, ὀνομάζει, ὁ δὲ Περὶ τῆς ἱερωσύνης, καὶ τρίτος, Πρὸς τὰς μαντείας, εἰκὸς τούτους ἅπαντας δηλοῦσθαι διὰ τοῦ Περὶ ἱερῶν (τουτέστι πραγμάτων). — 3. Γραψάμενος δ' Αὐτόλυκον κ. τ. λ.) ΗΔ, ἥτε ἀπὸ τοῦ προειρημένου (πολλάκις) τελείᾳ στίξει διάκρισις, καὶ ἡ τοῦ συνδέσμου προσθήκη. Αὐτόλυκος δ' ἐστὶν ὁ

τὸν Ἀρεοπαγίτην, καὶ Λυσικλέα[4] τὸν στρατηγόν, καὶ Δημάδη τὸν Δημέου,[5] καὶ Μενέσαιχμον,[6] ἄλλους τε πολλούς, πάντας εἷλεν.[7] Ἔκρινε δὲ καὶ Δίφιλον,[8] ἐκ τῶν ἀργυρίων μετάλλων τοὺς μεσοκρινεῖς,[9] οἳ ἐβάσταζον τὰ ὑπερκείμενα βάρη, ὑφελόντα καὶ ἐξ αὐτῶν πεπλουτηκότα παρὰ τοὺς νόμους· καὶ θανάτου ὄντος ἐπιτιμίου, ἁλῶναι ἐποίησε, καὶ πεντήκοντα δραχμὰς[10] ἐκ τῆς οὐσίας αὐτοῦ[11] ἑκάστῳ τῶν πολιτῶν διένειμε (τῶν πάντων συναχθέντων ταλάντων ἑκατὸν ἑξήκοντα[12]), ἤ, ὥς τινες, μνᾶν[13].... Ὁ δὲ εὐθύνας Ἀριστογείτονα καὶ Λεωκράτην καὶ Αὐτόλυκον δειλίας.[14]... Ἐπεκαλεῖτο δὲ ὁ Λυκοῦργος Ἶβις·

Ἶβις Λυκούργῳ, Χαιρεφῶντι νυκτερίς.[15]

---

αὐτὸς καὶ ὁ κατωτέρω (σελ. 15) ἐν τῷ λόγῳ τοῦ ῥήτορος μνημονευόμενος. — 4. Λυσικλέα.) Πασικλέα τοῦτον ὀνομάζει (οὐκ ὀρθῶς)· ὁ Σουΐδας ἐν τῷ βίῳ Λυκούργου· Στρατοκλέα δὲ ὁ Πολύαινος (Στρατηγημ. Δ, β', 2). Ἦν δ' εἷς τῶν ἐν τῇ κατὰ Χαιρώνειαν αἰσχρῶς ἡττηθέντων στρατηγῶν Ἀθηναίων ὁ Λυσικλῆς, οὗ μνημονεύων ὁ Σικελιώτης Διόδωρος (XVI 88.) παρέθετο καὶ τὸ ἑξῆς ἐκ τῆς κατ' αὐτοῦ κατηγορίας τοῦ Λυκούργου, οὐκ ὀλίγης δεινότητος μετέχον, τεμάχειον, «Ἐστρατήγεις, ὦ Λύσικλες, » καὶ χιλίων μὲν πολιτῶν τετελευτη» κότων, δισχιλίων δ' αἰχμαλώτων γε» γονότων, τροπαίου δὲ κατὰ τῆς πό» λεως ἑστηκότος, τῆς δ' Ἑλλάδος ἁπά» σης δουλευούσης, καὶ τούτων ἁπάντων » γεγενημένων, σοῦ ἡγουμένου καὶ στρα» τηγοῦντος, τολμᾷς ζῆν καὶ τὸ τοῦ » ἡλίου φῶς ὁρᾷν, καὶ εἰς τὴν ἀγορὰν » ἐμβάλλειν, ὑπόμνημα γεγονὼς αἰσχύ» νης καὶ ὀνείδους τῇ πατρίδι;» — 5. Δημάδη τὸν ΔΗΜΕΟΥ.) ΗΔ, ἀντὶ τοῦ, ΔΗΜΙΟΥ. Δημέας γὰρ ὁ τοῦ Δημάδου πατὴρ ὠνομάζετο (οὐ Δήμιος), ὥσπερ καὶ ὁ τοῦ Δημάδου υἱός. (Ἴδ. Πλούταρχ. Φωκ. § 30.) — 6. Μενέσαιχμον.) Μέναιχμον τοῦτον ὁ Σουΐδας καλεῖ. — 7. Πολλούς, πάντας εἷλεν.) ΗΔ, ΑΤ, πολλούς, καὶ πάντας εἷλεν. — 8. Ἔκρινε δὲ καὶ Δίφιλον.) Ἐξεῤῥύη τοῦ Σουϊδαϊκοῦ καταλόγου, ὁ κατὰ Διφίλου λόγος οὗτος, ὃς ἀνεπλήρου τὸν ἀριθμὸν τῶν πεντεκαίδεκα λόγων τοῦ ῥήτορος. Τὸ δὲ Ἔκρινε, ἐπὶ τοῦ κατηγόρησε, ὧδε, ὡς καὶ ἐν τοῖς πρόσθεν (σελ. 45 καὶ 82) δεδήλωται. — 9. Μεσοκρινεῖς.) Κατὰ τὸν Πολυδεύκην (σελ. 349) ἐλέγοντο, «Μεσοκρινεῖς κίονες οἱ ἐν τοῖς » μετάλλοις ἐφεστηκότες (γρ. ὑφεστη» κότες), ἀνέχειν τὰ ὀρύγματα» ἤ, ὡς ἀλλαχοῦ (σελ. 150) λέγει, «Οὓς δὲ » κατέλιπον μέσους κίονας ἀνέχειν τὴν » γῆν οἱ μεταλλεῖς, οὗτοι μεσοκρινεῖς » ὠνομάζοντο.» Τούτῳ μὲν διαφέρου» σιν ἴσως οἱ Μεσοκρινεῖς τῶν » Μεσοδμῶν, ὅτι αὗται μὲν ἐπὶ οἰ» κοδομίας ἐλέγοντο, οἱ δὲ μεσοκρινεῖς » λέξις ἦν μεταλλουργοῖς συνηθεστέρα. » Μεσόδμαι καὶ Μεσόδματα (γρ. Μέ» σοδμα) τὰ μεσόστυλα· τινὲς δέ, τὰ » τῶν δοκῶν διαστήματα.» φησὶν Ἡσύχιος, ἐξ Ὁμήρου (Ὀδυσσ. τ', 37) παρειληφώς,

Ἔμπης μοι τοῖχοι μεγάρων, καλαί τε μεσόδμαι.

— 10. Πεντήκοντα δραχμάς.) Τοσαῦτα μικροῦ δεῖν φράγκα Γαλλικά. — 11. Ἐκ τῆς οὐσίας αὐτοῦ.) τοῦ Διφίλου, δημευθείσης δηλονότι. — 12. Ταλάντων ἑκατὸν ἑξήκοντα.) ἃ δύναται ἑξακοσίας χιλιάδας (600,000) δραχμῶν. Δώδεκα ἄρα χιλιάδας (12,000) πολιτῶν ἦσαν, οἷς διενεμήθη τὰ ἑκατὸν ἑξήκοντα τάλαντα — 13. Ἢ ὥς τινες, μνᾶν.) Τουτέστι δραχμὰς ἑξήκοντα. — 14. .... Ὁ δὲ εὐθύνας Ἀριστογείτονα καὶ Λεωκράτην καὶ Αὐτόλυκον δειλίας... .) Ταῦτα εἰκότως ἀσυνάρτητα τοῖς προηγουμένοις ἐκρίθησαν ὑπὸ τοῦ Βυττεμβαχίου. Ἐξεῤῥυηκέναι τι τοῦ χωρίου μοι δοκεῖ· δι' ὃ καὶ στιγμαῖς αὐτὰ διέκρινα. Ὁ δὲ Ῥείσκιος ᾤετο ἱκανῶς διωρθοῦσθαι τῇ μεταβολῇ τοῦ ἄρθρου εἰς ἀντωνυμίαν Ὅδε δὲ εὐθύνας κ. τ. λ. — 15. Ἐπεκαλεῖτο δὲ ὁ Λυκοῦργος Ἶβις· Ἶβις Λυκούργῳ, Χαιρεφῶντι νυκτερίς.) Ἐξ ΕΔ, ἡ δίπλωσις τοῦ ὀνόματος τοῦ ὀρνέου, καὶ τὸ Χαιρεφῶντι ἀντὶ τοῦ Ξενοφῶντι. Ἔστι γὰρ ἐξ Ἀριστοφάνους ἡ ῥῆσις, ἐν οἷς (Ὀρν. 1290) σκώπτων Ἀθηναίους φησίν.

§ 14. Κατῆγε δὲ τὸ γένος, τὰ μὲν ἀπωτάτω ἀπ' Ἐρεχθέως τοῦ Γῆς καὶ Ἡφαίστου· τὰ δ' ἐγγυτάτω[2] ἀπὸ Λυκομήδους[3] καὶ Λυκούργου, οὓς ὁ δῆμος ταφαῖς ἐτίμησε δημοσίᾳ· καὶ ἔστιν αὕτη ἡ καταγωγὴ τοῦ γένους, τῶν ἱερασαμένων τοῦ Ποσειδῶνος, ἐν πίνακι τελείῳ,[4] ὃς ἀνάκειται ἐν Ἐρεχθείῳ,[5] γεγραμμένος ὑπὸ Ἰσμηνίου τοῦ Χαλκιδέως, καὶ εἰκόνες ξύλιναι τοῦ τε Λυκούργου, καὶ τῶν υἱῶν αὐτοῦ, Ἄβρωνος, Λυκούργου, Λυκόφρονος, ἃς εἰργάσαντο Τίμαρχος, καὶ Κηφισόδοτος, οἱ Πραξιτέλους υἱεῖς. Τὸν δὲ πίνακα ἀνέθηκεν Ἄβρων ὁ παῖς αὐτοῦ, λαχὼν ἐκ τοῦ γένους τὴν ἱερωσύνην, καὶ παραχωρήσας τῷ ἀδελφῷ Λυκόφρονι. Καὶ διὰ τοῦτο πεποίηται ὁ Ἄβρων, προσδιδοὺς[6] αὐτῷ τὴν τρίαιναν.[7]

§ 15. Πάντων δὲ, ὧν διῴκησεν ἀναγραφὴν ποιησάμενος, ἀνέθηκεν ἐν στήλῃ πρὸ τῆς ὑπ' αὐτοῦ κατασκευασθείσης παλαίστρας σκοπεῖν τοῖς βουλομένοις. Οὐδεὶς μέντοι ἐδυνήθη ἐλέγξαι τὸν ἄνδρα νοσφισμοῦ.

§ 16. Ἔγραψε δὲ καὶ Νεοπτόλεμον Ἀντικλέους στεφανῶσαι, καὶ εἰκόνα ἀναθεῖναι, ὅτι ἐπηγγείλατο χρυσώσειν τὸν βωμὸν τοῦ Ἀπόλλωνος ἐν ἀγορᾷ, κατὰ τὴν μαντείαν τοῦ θεοῦ. Ἐψηφίσατο δὲ καὶ Διοτίμῳ[2] Διοπείθους Εὐωνυμεῖ[3] τιμὰς ἐπὶ Κτησικλέους

---

Εἶτ' ἀπενέμοντ' (ἴσ. γρ. ἐπενέμοντ')
ἐνταῦθα τὰ ψηφίσματα,
Ὠρνιθομάνουν δ' οὕτω περιφανῶς,
ὥστε καὶ
Πολλοῖσιν ὀρνίθων ὀνόματ' ἦν κείμενα.
Πέρδιξ μὲν εἷς κάπηλος ὠνομάζετο
Χωλός· Μενίππῳ δ' ἦν χελιδὼν τοὔνομα·
. . . . . . . . . . . . . .
. . . . . . . . . . . . . .
Ἶβις Λυκούργῳ Χαιρεφῶντι Νυκτερίς.

Ὁ τοίνυν τὸν βίον συγγράψας τοῦ ἡμετέρου Λυκούργου τοῦ ῥήτορος, τὸν αὐτὸν ὑπέλαβεν εἶναι καὶ τὸν παρὰ τῷ κωμικῷ Λυκοῦργον, συγχέας τοὺς χρόνους· αἱ μὲν γὰρ Ὄρνιθες ἐδιδάχθησαν κατὰ τὴν ἐννενηκοστὴν πρώτην Ὀλυμπιάδα, Λυκοῦργος δὲ κατὰ τὴν ἐννενηκοστὴν τρίτην γεννηθῆναι ἱστόρηται.

§ 14. 2. Κατῆγε δὲ τὸ γένος, ΤΑ ΜΕΝ ΑΠΟΤΑΤΩ ΑΠ' Ἐρεχθέως, τοῦ Γῆς καὶ Ἡφαίστου, Τὰ δ' ἐγγυτάτω κ.τ.λ.) ΗΔ, ἀντὶ τοῦ, « ΚΑΤΗΓΟΝ δὲ τὸ γένος » ΑΠΟ ΤΟΥΤΩΝ, ΚΑΙ Ἐρεχθέως κ.τ.λ. « Μαρτυρεῖ δὲ τῇ διορθώσει οὐ μόνον τὸ ἀσύνετον τῆς τέως ἐκδεδομένης γραφῆς, ἀλλὰ καὶ τὸ ἐπιφερόμενον ἐ γ γ υ τ ά τ ω, πρὸς ὃ ἀντιδιέσταλται τὸ ἀ π ω» τ ά τ ω. Ῥείσκιος δὲ διώρθου. «Κατῆ»γον δὲ τὸ γένος ἀπωτέρω μὲν ἀπ' Ἐ» ρεχθέως.» Γῆς δὲ καὶ Ἡφαίστου λέγει παῖδα τὸν Ἐρεχθέα· ὅθεν καὶ Γηγενὴς ἐπωνομάζετο (Ἡρόδοτ. ή, 55) — 3. Λυκομήδους.) Διομήδης οὗτος ὀνομάζεται ἐν τῷ ἐρχομένῳ ψηφίσματι (σελ. 523.) — 4. Ἐν πίνακι τελείῳ) Ὕποπτον ἔδοξε Ῥεισκίῳ τὸ τ ε λ ε ί ῳ· ἀλλ' οὐκ ὀρθῶς ὑπενόει τρεπτέον εἶναι εἰς τὸ Π ε ν τ ε λ ι κ ῷ· οὐ γὰρ περὶ ἀνδριάντας ὁ λόγος ἐνθάδε· Π ί ν α κ α τ έ λ ε ι ο ν ἴσως λέγει τὴν γραφὴν τὴν ἔχουσαν τὰς εἰκόνας ἁπάντων τῶν κατὰ διαδοχὴν τῷ Ποσειδῶνι. — 5. ἐν Ἐρεχθείῳ.) Ἐν τῷ ναῷ τοῦ Ἐρεχθέως τῷ κατὰ τὴν ἀκρόπολιν. Ἐκ διορθώσεως Ῥεισκίου παρείληφε τὴν πρόθεσιν ὁ πρὸ ἐμοῦ. — 6. Προσδιδούς.) Ἴσως γραπτέον π α ρ α δ ι δ ο ὺ ς, ὡς ὑπενόει Ῥείσκιος. — 7. Αὐτῷ τὴν τρίαιναν.) Λυκόφρονι τῷ ἀδελφῷ, τὴν τρίαιναν. Ἔπιθι τὰ κατωτέρω σεσημειωμένα περὶ τῆς τριαίνης.

§ 16. 2. Διοτίμῳ) ΗΔ, ΑΤ, Διοτίμου. — 3. Εὐωνυμεῖ.) Δῆμος Ἀθηναίων (ἥ φησιν ὁ Βυζάντιος Στέφανος) ὁ Εὐώνυμος ἢ ἡ Εὐωνυμία· διττῶς γὰρ λέγεται· οὗ ὁ δημότης, Εὐωνυμεύς. —

Ἄρχοντος. ΨΗΦΙΣΜΑ ΑΘΗΝΑΙΩΝ. Λυκόφρων[4] Λυκούργου Βουτάδης ἀπεγράψατο αὐτῷ εἶναι σίτησιν ἐν Πρυτανείῳ, κατὰ τὴν δοθεῖσαν δωρεὰν ὑπὸ τοῦ δήμου Λυκούργῳ Βουτάδῃ.[5] Ἐπὶ Ἀναξικράτους[6] ἄρχοντος, ἐπὶ τῆς Ἀντιοχίδος ἐν τῇ πρυτανείᾳ.[7] Στρατοκλῆς Εὐθυδήμου Διομειεὺς εἶπεν· Ἐπειδὴ Λυκοῦργος[8] Λυκόφρονος Βουτάδης, παραλαβὼν παρὰ τῶν ἑαυτοῦ προγόνων οἰκείαν ἐκ παλαιοῦ τὴν πρὸς τὸν δῆμον εὔνοιαν, καὶ οἱ πρόγονοι οἱ Λυκούργου, Διομήδης τε καὶ Λυκοῦργος,[9] καὶ ζῶντες ἐτιμῶντο ὑπὸ τοῦ δήμου, καὶ τετελευτηκόσιν αὐτοῖς, δι' ἀνδραγαθίαν ἔδωκεν ὁ δῆμος δημοσίας ταφὰς ἐν Κεραμεικῷ· καὶ Λυκοῦργος αὐτὸς[10] πολιτευόμενος, νόμους τε πολλοὺς ἔθηκε τῇ πατρίδι, καὶ γενόμενος τῆς κοινῆς προσόδου ταμίας τῇ πόλει ἐπὶ τρεῖς πενταετηρίδας, καὶ διανείμας[11] ἐκ τῆς κοινῆς προσόδου μύρια καὶ ὀκτακισχίλια καὶ ἐνακόσια τάλαντα·[12] πολλὰ δὲ[13] τῶν ἰδιωτῶν διὰ πίστεως λαβὼν, καὶ προδανείσας καὶ εἰς τοὺς τῆς πόλεως καιροὺς καὶ τοῦ δήμου, τὰ πάντα[14] ἑξακόσια καὶ πεντήκοντα τάλαντα· δόξας δὲ[15] ἅπαντα ταῦτα δικαίως διῳκηκέναι, πολλάκις ἐστεφανώθη ὑπὸ τῆς πόλεως· ἔτι δὲ αἱρεθεὶς ὑπὸ τοῦ δήμου, χρήματα πολλὰ συνήγαγεν εἰς τὴν ἀκρόπολιν, καὶ παρασκευάσας τῇ Θεῷ κόσμον, νίκας τε ὁλοχρύσους, πομπεῖά τε χρυσᾶ καὶ ἀργύρεα,[16] καὶ κόσμον χρυσοῦν εἰς ἑκατὸν κανηφόρους·[17] χειρο-

---

4. Λυκόφρων.) Ὁ πρεσβύτερος τῶν παίδων Λυκούργου τοῦ ῥήτορος. — 5. Λυκούργῳ Βουτάδῃ.) Τῷ ῥήτορι, τῷ πατρὶ Λυκόφρονος. — 6. Ἐπὶ Ἀναξικράτους.) Ἐντεῦθεν ἄρχεται τὸ περὶ τοῦ ῥήτορος ψήφισμα. — 7. Ἐπὶ τῆς Ἀντιοχίδος ἐν τῇ πρυτανείᾳ.) Ἀντιοχίδος κατ' ἔλλειψιν τοῦ Φυλῆς, ὥσπερ καὶ κατωτέρω ἐν ἑτέρῳ ψηφίσματι «Αἰαντὶς ἐπρυτάνευσε.» Ἔνθεν ἴσως καὶ διορθωτέον τὴν ἐν τῷ προκειμένῳ ἀσυναρτησίαν· ὤφειλε γὰρ εἶναι «Ἐν τῇ τῆς »Ἀντιοχίδος πρυτανείᾳ» ἢ, «Ἀντιοχί»δος πρυτανευούσης» — 8. Ἐπειδὴ Λυκοῦργος.) Ὁ ῥήτωρ. — 9. Διομήδης τε καὶ Λυκοῦργος.) Λυκοῦργος ὁ πρὸς πατρὸς πάππος Λυκούργου τοῦ ῥήτορος· Διομήδης δὲ, (ὃν ὁ ψευδοπλούταρχος ὀνομάζει Λυκομήδην (Ἴδ. ἀνωτερ. § 14. 3), ἦν ἴσως ὁ πρὸς μητρός. — 10. Λυκοῦργος αὐτός.) Ὁ ῥήτωρ. — 11. Διανείμας.) Ἴσ. γρ. διοικήσας. — 12. Μύρια καὶ ὀκτακισχίλια καὶ ἘΝΑΚΟΣΙΑ τάλαντα.) Ἢ τοῦτο τρεπτέον εἰς τὸ ἙΞΑΚΟΣΙΑ ἵνα συμφωνῇ τῷ ἐν τῷ βίῳ τοῦ Λυκούργου (§ 2. 3.) ἀριθμῷ, ἢ ἐκεῖνο τούτῳ συμβιβαστέον. — 13. Πολλὰ δέ.) Ἴσ. γρ. πολλά τε. — 14. Προδανείσας καὶ εἰς τοὺς τῆς πόλεως καιροὺς καὶ τοῦ δήμου, τὰ πάντα κ. τ. λ.) Ἐστίξα μετὰ τὸ δήμου τὸ κακῶς ἐστιγμένον μετὰ τὸ Καιρούς. — 15. Δόξας ΔΕ.) Ἴσ. γρ. ΤΕ. Ἴσως δὲ καὶ τὸν πρῶτον σύνδεσμον περιαιρετέον. Ὁ νοῦς, προδανείσας εἰς τὰς χρείας τῆς πόλεως καὶ τοῦ δήμου. Ἔστι δὲ καὶ τὸ προδανείσας ὕποπτον· ὤφειλε γὰρ εἶναι προδανεισάμενος, ὥς γε ἡρμήνευσαν οἱ Λατῖνοι μεταφρασταί, mutuo accepit. — 16. Χρυσᾶ καὶ ἀργύρεα.) Ἴσως ἀργυρᾶ, διὰ τὸ προηγησάμενον συνῃρημένον χρυσᾶ. — 17. Εἰς ἑκατὸν κανηφόρους.) Ὥστε ἐξαρκεῖν εἰς τὸ κοσμῆσαι ἑκατὸν κανηφόρους. «Κανηφόροι δὲ (ὥς φησιν Ἁρ»ποκρατίων) αἱ ἐν ἀξιώματι παρθένοι »φέρειν τὰ κανᾶ τῇ Θεῷ ἐφ' οἷς ἐπέ»κειτο τὰ πρὸς τὴν θυσίαν τοῖς τε »Παναθηναίοις καὶ ταῖς ἄλλαις πομ»παῖς.» Τοῦ δὲ Κανοῦν (corbeille) τὰ ὑποκοριστικὰ, Κανίον καὶ Κανίσκιον σεσῶσθαι ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ, σε-

τονηθεὶς δὲ ἐπὶ τῆς τοῦ πολέμου παρασκευῆς, ὅπλα μὲν πολλὰ καὶ βελῶν μυριάδας πέντε ἀνήνεγκεν εἰς τὴν ἀκρόπολιν· τετρακοσίας [δὲ][18] τριήρεις πλωΐμους κατεσκεύασε, τὰς μὲν ἐπισκευάσας, τὰς δὲ ἐξ ἀρχῆς ναυπηγησάμενος· πρὸς δὲ τούτοις, ἡμίεργα παραλαβὼν, τούς τε νεωσοίκους καὶ τὴν σκευοθήκην καὶ τὸ θέατρον τὸ Διονυσιακὸν, ἐξειργάσατο καὶ ἐπετέλεσε, τό τε στάδιον[19] τὸ Παναθηναϊκὸν, καὶ τὸ γυμνάσιον καὶ τὸ Λύκειον κατεσκεύασε, καὶ ἄλλαις πολλαῖς κατασκευαῖς ἐκόσμησε τὴν πόλιν· Ἀλεξάνδρου τε τοῦ βασιλέως, ἅπασαν μὲν τὴν Ἀσίαν κατεστραμμένου, κοινῇ δὲ πᾶσι τοῖς Ἕλλησιν ἐπιτάττειν ἀξιοῦντος, ἐξαιτήσαντος Λυκοῦργον, ὡς ἐναντία πράττοντα αὐτῷ, οὐκ ἐξέδωκεν ὁ δῆμος [διὰ τὸν] παρ' Ἀλεξάνδρου φόβον·[20] καὶ διδοὺς[21] εὐθύνας πολλάκις τῶν πεπολιτευμένων ἐν ἐλευθέρᾳ καὶ δημοκρατουμένῃ τῇ πόλει, διετέλεσεν ἀνεξέλεγκτος καὶ ἀδωροδόκητος τὸν ἅπαντα χρόνον [ὤν]·[22] ὅπως ἂν ἰδῶσι πάντες, διότι τοὺς προαιρουμένους ὑπὲρ τῆς δημοκρατίας καὶ τῆς ἐλευθερίας δικαίως πολιτεύεσθαι, καὶ ζῶντας μὲν περὶ πλείστου[23] ποιῆται, καὶ τελευτήσασι δὲ ἀποδίδωσι χάριτας ἀειμνήστους· ἀγαθῇ τύχῃ δεδόχθαι τῷ δήμῳ, ἐπαινέσαι μὲν Λυκοῦργον Λυκόφρονος Βουτάδην ἀρετῆς ἕνεκα καὶ δικαιοσύνης, καὶ στῆσαι αὐτοῦ τὸν δῆμον χαλκῆν εἰκόνα ἐν ἀγορᾷ, πλὴν εἴ που ὁ νόμος[24] ἀπαγορεύει μὴ ἱστάναι, δοῦναι δὲ σίτησιν ἐν πρυτανείῳ τῶν ἐγκόνων ἀεὶ τῶν Λυκούργου τῷ πρεσβυτάτῳ εἰς ἅπαντα τὸν χρόνον, ἀναθεῖναι δ' αὐτοῦ καὶ εἶναι κύρια πάντα τὰ ψηφίσματα τὸν γραμματέα[25] τοῦ δήμου ἐν στήλαις

---

σημείωται διὰ μακρῶν εἰς τὰ Ἡλιοδώρου Αἰθιοπικά (σελ. 114) — 18. Τετρακοσίας δὲ.) ΗΔ, ἡ προσθήκη τοῦ συνδέσμου, διὰ τὸν προηγησάμενον Μέν. Ὁ δὲ Παυσανίας (ά § 29) «ἐς δὲ πόλεμον ὅπλα καὶ βέλη, καὶ τετρακοσίας ναυμαχοῦσιν εἶναι τριήρεις.» — 19. Ἐξειργάσατο καὶ ἐπετέλεσε, τό τε στάδιον κ. τ. λ.) Κακῶς ἔστικτο ταῦτα παρὰ τοῖς πρὸ ἡμῶν, «Ἐξειργάσατο, »καὶ ἐπετέλεσε τό τε στάδιον» Ἴσως δὲ καὶ τὸ Ἐπετέλεσε τρεπτέον εἰς τὸ Ἀπετέλεσε. — 20. Διὰ τὸν παρ' Ἀλεξάνδρου φόβον.) ΕΞ ΕΔ ἡ τοῖς τε προθέσεως καὶ τοῦ ἄρθρου ἀναγκαία προσθήκη. Ἐξῄτησε δὲ Ἀλέξανδρος, μετὰ τὴν Θηβῶν κατασκαφὴν, δέκα, ἢ ὡς ἕτεροι, ὀκτὼ τῶν δημαγωγῶν, ἐν οἷς ἦν καὶ ὁ Λυκοῦργος (Ἴδ. Πλουταρχ. Φωκ. § 17, καὶ Δημοσθ. § 23). — 21. Διδοὺς.) Ἴσ. γρ. δούς. — 22. Διετέλεσεν. . . τὸν ἅπαντα χρόνον ὤν.) ΗΔ, ἡ τῆς μετοχῆς προσθήκη. Οὕτω γὰρ καὶ ἐν τοῖς πρόσθεν μετὰ μετοχῆς τὸ διατελεῖν, «ἀεί τε ἐφεστὼς τοῖς ἔργοις διετέλεσε» (§ 2), καὶ αὖθις (§ 3) «Διετέλεσέ τε τὸν ἅπαντα χρόνον εὐδοκιμῶν.» Σημειούσθων δὲ οἱ ἡμέτεροι νέοι τὸ καὶ ἐν τοῖς πρόσθεν (Προλ. γ') σημειωθὲν, καὶ πειράσθων ἄξιοί ποτε φανῆναι τοῦ μεγαλοπρεπεστάτου τῶν τοῖς πολίταις ὑπονεμομένων ἐγκωμίων τούτου. — 23. Περὶ πλείστου.) Διόρθωσις τοῦ πρὸ ἐμοῦ, ΑΤ, περὶ πλεῖστον. — 24. Πλὴν ΕΙΠΟΥ· ὁ νόμος κ. τ. λ.) Ἴσως ἐγέγραπτο ΟΠΟΥ· ὁ δὲ νοῦς οὐ παρήλλακται, Στῆσαι χαλκῆν εἰκόνα ἐν τῇ ἀγορᾷ, πλὴν ἐκείνων τῆς ἀγορᾶς τῶν χωρίων, ἔνθα ἱστάναι εἰκόνας ἀπηγόρευτο ὑπὸ τοῦ νόμου. — 25. Ἀναθεῖναι δ' αὐτοῦ ΚΑΙ εἶναι κύρια. . . τὸν γραμματέα.) Ἀσυνάρτητα ταῦτα· ὤφειλε γὰρ εἶναι, «Ἀναθεῖναι δὲ αὐτοῦ, ὥστε εἶναι »κύρια. . . τὸν γραμματέα.»

λιθίναις, καὶ στῆσαι ἐν ἀκροπόλει πλησίον τῶν ἀναθημάτων· εἰς δὲ τὴν ἀναγραφὴν τῶν στηλῶν δοῦναι τὸν ταμίαν τοῦ δήμου πεντήκοντα δραχμὰς ἐκ τῶν εἰς τὰ ψηφίσματα ἀναλισκομένων τῷ δήμῳ.

---

# ΛΥΚΟΥΡΓΟΥ

## ΛΟΓΟΣ

# ΚΑΤΑ ΛΕΩΚΡΑΤΟΥΣ.

### Ὑπόθεσις.

Μετὰ τὰ ἐν Χαιρωνείᾳ δεινὰ, ψήφισμα ποιεῖ ὁ τῶν Ἀθηναίων δῆμος, ὥστε μήτε τινὰ ἔξω γενέσθαι τῆς πόλεως, μήτε μὴν ἐκθέσθαι παῖδας καὶ γυναῖκας. Λεωκράτης οὖν τις, ἐξελθὼν τῆς πόλεως καὶ ἀφικόμενος ἐν Ῥόδῳ, καὶ πάλιν ἐν Μεγάροις, ἦλθεν ἐν Ἀθήναις. Καὶ παῤῥησιαζομένου αὐτοῦ κατηγορίαν ποιεῖται ὁ Λυκοῦργος αὐτοῦ ὡς προδότου. Ἡ δὲ στάσις, Ὅρος ἀντονομάζων. Ὁμολογεῖ γὰρ καὶ Λεωκράτης ἀπολιπεῖν, οὐ μέντοι προδιδόναι. Ἄλλοι, Στοχασμὸν ἀπὸ γνώμης, ὡς τοῦ μὲν ἐξελθεῖν ὁμολογουμένου, ἀμφιβαλλομένης δὲ τῆς προαιρέσεως, ποίᾳ γνώμῃ ἐξῆλθεν, εἴτ' ἐπὶ προδοσίᾳ, εἴτ' ἐπὶ ἐμπορίᾳ. Ἔοικε δὲ ἡ τοῦ λόγου ὑπόθεσις τῇ κατὰ Αὐτολύκου.

§ 1. ΔΙΚΑΙΑΝ, ὦ Ἀθηναῖοι, καὶ εὐσεβῆ καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ τῶν θεῶν τὴν ἀρχὴν τῆς κατηγορίας Λεωκράτους τοῦ κρινομένου ποιήσομαι. Εὔχομαι γὰρ τῇ Ἀθηνᾷ, καὶ τοῖς ἄλλοις θεοῖς, καὶ τοῖς ἥρωσι τοῖς κατὰ τὴν πόλιν καὶ τὴν χώραν ἱδρυμένοις, εἰ μὲν εἰσήγγελκα Λεωκράτη δικαίως, καὶ κρίνω προδόντα[2] αὐτὸν καὶ τοὺς νεὼς καὶ τὰ ἕδη[3] καὶ τὰ τεμένη, καὶ τὰς ἐν τοῖς νόμοις θυσίας τὰς ὑπὸ τῶν ἡμετέρων[4] προγόνων παραδιδομένας, ἐμὲ μὲν ἄξιον ἐν τῇ τήμερον ἡμέρᾳ τῶν Λεωκράτους ἀδικημάτων κατήγορον ποιῆσαι, ὡς[5] καὶ τῷ δήμῳ[5] καὶ τῇ πόλει συμφέρει· ὑμᾶς δὲ, ὡς ὑπὲρ πατέρων καὶ παίδων καὶ γυναικῶν καὶ πατρίδος καὶ ἱερῶν βουλευομένους, καὶ ἔχοντας ὑπὸ τῇ ψήφῳ τὸν προδότην ἁπάντων τούτων, ἀπαραιτήτους δικαστὰς, *μὴ παρέχοντας συγγνώμην,*[6] καὶ νῦν καὶ εἰς τὸν λοιπὸν χρόνον γενέσθαι τοῖς τὰ τοιαῦτα καὶ τηλικαῦτα παρανομοῦσιν. Εἰ δὲ μήτε τὸν προδόντα τὴν πατρίδα, μήτε τὸν ἐγκαταλιπόντα τὴν πόλιν καὶ τὰ ἱερὰ,

---

§ 1. 2. Κρίνω προδόντα.) Ὁ πρὸ ἐμοῦ ἐκ ΔΓ, κρίνω τὸν προδόντα. Τὸ δὲ Κρίνω οὐκ ἐπὶ τοῦ συνήθους ἐνθάδε, ἀλλ' ἴσον τῷ Κατηγορῶ, σημειωσαμένων τοῦτο καὶ τῶν πρὸ ἡμῶν. — 3. Τὰ ἕδη.) Τὰ ἀγάλματα. — 4. Ἡμετέρων.) Ἐκ ΔΓ, ΑΤ, ὑμετέρων. — 5. Ὡς καὶ τῷ δήμῳ.) ΔΓ, ὃ καὶ τῷ δήμῳ. — 6. Μὴ παρέχοντας συγγνώμην.) Παρεμβεβλῆσθαι ἔδοξαν οὐκ ἀπεικότως πολλοῖς τῶν πρὸ ἐμοῦ αἱ τρεῖς αὗται λέξεις· οὐδὲν γὰρ πλέον σημαίνουσι τῆς προηγουμένης μιᾶς, ἀπαραιτήτους.

εἰς τουτονὶ τὸν ἀγῶνα καθίστημι, σωθῆναι αὐτὸν ἐκ τοῦ κινδύνου, καὶ ὑπὸ τῶν θεῶν καὶ ὑφ' ὑμῶν τῶν δικαστῶν.

§ 2. Ἐβουλόμην δ' ἄν, ὦ ἄνδρες, ὥσπερ ὠφέλιμόν ἐστι τῇ πόλει, εἶναι τοὺς κρίνοντας[2] ἐν ταύτῃ[3] τοὺς παρανομοῦντας, οὕτω καὶ φιλάνθρωπον αὐτὸ παρὰ τοῖς πολλοῖς ὑπειλῆφθαι. Νῦν δὴ περιέστηκεν εἰς τοῦτο,[4] ὥστε τὸν ἰδίᾳ κινδυνεύοντα, καὶ ὑπὲρ τῶν κοινῶν ἀπεχθανόμενον,[5] οὐ φιλόπολιν, ἀλλὰ φιλοπράγμονα[6] δοκεῖν εἶναι· οὐ δικαίως οὐδὲ συμφερόντως τῇ πόλει. Τρία γάρ ἐστι τὰ μέγιστα, ἃ διαφυλάττει καὶ διασώζει τὴν δημοκρατίαν, καὶ τὴν τῆς πόλεως εὐδαιμονίαν· πρῶτον μὲν ἡ τῶν νόμων τάξις, δεύτερον δ' ἡ τῶν δικαστῶν ψῆφος, τρίτον δὲ ἡ τούτοις τἀδικήματα παραδιδοῦσα κρίσις.[7] Ὁ μὲν γὰρ νόμος πέφυκε προλέγειν ἃ μὴ δεῖ πράττειν, ὁ δὲ κατήγορος, μηνύειν τοὺς ἐνόχους τοῖς ἐκ τῶν νόμων ἐπιτιμίοις καθεστῶτας, ὁ δὲ δικαστής, κολάζειν τοὺς ὑπ' ἀμφοτέρων τούτων ἀποδειχθέντας αὐτῷ· ὥστ' οὔθ' ὁ νόμος, οὔθ' ἡ τῶν δικαστῶν ψῆφος, ἄνευ τοῦ παραδώσοντος αὐτοῖς τοὺς ἀδικοῦντας ἰσχύει. Ἐγὼ δέ, ὦ Ἀθηναῖοι, εἰδὼς Λεωκράτη,[8] φυγόντα μὲν τοὺς ὑπὲρ τῆς πατρίδος κινδύνους, ἐγκαταλιπόντα δὲ τοὺς αὐτοῦ πολίτας, προδεδωκότα δὲ πᾶσαν τὴν ὑμετέραν δύναμιν, ἅπασι δὲ τοῖς γεγραμμένοις ἔνοχον ὄντα, ταύτην τὴν εἰσαγγελίαν ἐποιησάμην, οὔτε δι' ἔχθραν οὐδεμίαν,[9] οὔτε διὰ φιλονεικίαν οὐδ' ἡντινοῦν, τοῦτον τὸν ἀγῶνα προελόμενος· ἀλλ' αἰσχρὸν εἶναι νομίσας τοῦτον περιορᾶν εἰς τὴν ἀγορὰν ἐμβάλλοντα, καὶ τῶν κοινῶν ἱερῶν μετέχοντα, τῆς τε πατρίδος ὄνειδος καὶ πάντων ὑμῶν γεγενημένον. Πολίτου γάρ ἐστι δικαίου, μὴ διὰ τὰς ἰδίας ἔχθρας εἰς τὰς κοινὰς κρίσεις καθιστάναι τοὺς τὴν πόλιν μηδὲν ἀδικοῦντας, ἀλλὰ τοὺς εἰς τὴν πατρίδα τι παρανομοῦντας ἰδίους ἐχθροὺς εἶναι νομίζειν, καὶ τὰ κοινὰ τῶν ἀδικημάτων κοινὰς καὶ τὰς προφάσεις ἔχειν τῆς πρὸς αὐτοὺς διαφορᾶς.[10]

---

§ 2. 2. Τοὺς κρίνοντας.) Τοὺς κατηγοροῦντας, τοὺς διώκοντας. — 3. Ἐν ταύτῃ.) Ἐν αὐτῇ, γραπτέον εἶναί τισιν ἔδοξε, ἀναφορικῶς πρὸς τὸ πόλει· ἐμοὶ δὲ δοκεῖ γεγράφθαι πάλαι, ἐνταῦθα, τουτέστι, παρ' ὑμῖν τοῖς δικασταῖς· ὥσπερ ἐρεῖ κἀν τοῖς ἑξῆς (§ 4.) «Συμβουλεύουσιν ἐνταῦθα περὶ τῶν κοινῶν πραγμάτων. — 4. Περιέστηκεν εἰς τοῦτο.) Τὸ κρίνειν (τουτέστι κατηγορεῖν καὶ διώκειν) τοὺς παρανομοῦντας, ἀπέβη καὶ κατήντησεν εἰς τοῦτο, ὥστε. κ. τ. λ. — 5. Ἀπεχθανόμενον.) Ἔχθραν καὶ μῖσος ἑαυτῷ παρασκευάζοντα. — 6. Φιλοπράγμονα.) Τὸν Γαλλιστὶ, processif, chicaneur. — 7. Παραδιδοῦσα κρίσις.) ΗΔ (εἰκασάντων τοῦτο καὶ ἑτέρων), ΑΤ, παραδοῦσα. Τὸ δὲ κρίσις αὖθις ἐπὶ τῆς κατηγορίας τέτακται. — 8. Λεωκράτη.) Οὕτως ἔγραψα τὴν αἰτιατικὴν, ὡς γέγραπται καὶ ἀνωτέρω (§ 1.), μηδὲν ἐκεῖ διαφωνούντων τῶν ἀντιγράφων, ἀντὶ τοῦ Λεωκράτην. Ἄνευ δὲ τοῦ ν καὶ ἡ ἐν Βόννῃ ἔκδοσις, ἧς καὶ ἐν τοῖς ἑξῆς (σελ. 54,) μνησθήσομαι. — 9. Δι' ἔχθραν οὐδεμίαν.) Ἴσως ἦν πάλαι μιᾷ λέξει μακρότερον, δι' ἔχθραν οὐδεμίαν ἰδίαν, καθάπερ ἐρεῖ μικρὸν ὑποβὰς, διὰ τὰς ἰδίας ἔχθρας. — 10. Τῆς πρὸς αὐτοὺς διαφορᾶς.) Τῆς πρὸς αὐτοὺς ἔχθρας·

§ 3. Ἅπαντας μὲν οὖν χρὴ νομίζειν μεγάλους εἶναι τοὺς δημοσίους ἀγῶνας, μάλιστα δὲ τοῦτον, ὑπὲρ οὗ νῦν μέλλετε τὴν ψῆφον φέρειν. Ὅταν μὲν γὰρ τὰς τῶν παρανόμων γραφὰς δικάζητε,[2] τοῦτο μόνον ἐπανορθοῦτε,[3] καὶ ταύτην τὴν πρᾶξιν κωλύετε,[4] καθόσον ἂν τὸ ψήφισμα μέλλῃ βλάπτειν τὴν πόλιν. Ὁ δὲ νῦν ἐνεστηκὼς ἀγὼν οὐ μικρόν τι μέρος συνέχει τῶν τῆς πόλεως, οὐδὲ ἐπ' ὀλίγον χρόνον, ἀλλ' ὑπὲρ ὅλης τῆς πατρίδος, καὶ κατὰ παντὸς τοῦ αἰῶνος ἀείμνηστον καταλείψει τοῖς ἐπιγιγνομένοις τὴν κρίσιν. Οὕτω γάρ ἐστι δεινὸν τὸ γεγενημένον ἀδίκημα, καὶ τηλικοῦτον ἔχει τὸ μέγεθος, ὥστε μήτε κατηγορίαν, μήτε τιμωρίαν ἐνδέχεσθαι εὑρεῖν ἀξίαν, μηδὲ ἐν τοῖς νόμοις ὡρίσθαι τιμωρίαν ἀξίαν τῶν ἁμαρτημάτων.[5] Τί γὰρ χρὴ παθεῖν τὸν ἐκλιπόντα μὲν τὴν πατρίδα, μὴ βοηθήσαντα δὲ τοῖς πατρῴοις ἱεροῖς, ἐγκαταλιπόντα δὲ τὰς τῶν προγόνων θήκας, ἅπασαν δὲ τὴν πόλιν ὑποχείριον τοῖς πολεμίοις παραδόντα; τὸ μὲν γὰρ μέγιστον καὶ ἔσχατον τῶν τιμημάτων, θάνατος, ἀναγκαῖον μὲν ἐκ τῶν νόμων ἐπιτίμιον, ἔλαττον δὲ τῶν Λεωκράτους ἀδικημάτων καθέστηκε. Παρεῖσθαι δὲ τὴν ὑπὲρ τούτων τιμωρίαν συμβέβηκεν, ὦ ἄνδρες, οὐ διὰ ῥαθυμίαν τῶν τότε νομοθετούντων, ἀλλὰ διὰ τὸ μὴ ἐν τοῖς πρότερον χρόνοις γεγενῆσθαι τοιοῦτον μηδὲν, μήτε ἐν τοῖς μέλλουσιν[6] ἐπίδοξον εἶναι γενέσθαι·[7] ὡς μήτε κατηγορίαν, μήτε τιμωρίαν ἐνδέχεσθαι εὑρεῖν ἀξίαν. Διὸ καὶ μάλιστα, ὦ ἄνδρες, δεῖ ὑμᾶς γενέσθαι, μὴ μόνον τοῦ νῦν ἀδικήματος δικαστὰς, ἀλλὰ καὶ νομοθέτας. Ὅσα μὲν γὰρ τῶν ἀδικημάτων νόμος τις διώρικε, ῥᾴδιον τούτῳ κανόνι χρωμένους κολάζειν τοὺς παρανομοῦντας· ὅσα δὲ μὴ σφόδρα περιείληφεν[8] ἑνὶ ὀνόματι

---

ὥσπερ καὶ ἐν τῇ συνηθείᾳ Διαφορὰν λέγομεν τὴν πρὸς ἀλλήλους ἀμφισβήτησιν καὶ διχόνοιαν, καὶ Διαφέρεσθαι, τὸ ἐχθρωδῶς διακεῖσθαι. «Διαφορᾶς, ἔχ»θρας, βδελυρίας φησὶν Ἡσύχιος, καὶ »Διαφέρονται, μάχονται.» Ἐν οἷς δ' ἑξῆς λέγει ὁ αὐτὸς Λεξικογράφος «Διαφέ»ρεσθαι, ΒΑΣΤΑΖΕΙΝ, ἀμφιβάλλειν» γραπτέον, οἶμαι, ΔΙΣΤΑΖΕΙΝ.

§ 3. 2. Ὅταν μὲν γὰρ τὰς τῶν παρανόμων γραφὰς δικάζητε.) Παρανόμων γραφὴ ἐκαλεῖτο ἡ γραφομένη κατὰ τῶν εἰσηγουμένων καινόν τινα νόμον ἢ ψήφισμα παράνομον. — 3. Τοῦτο μόνον ἐπανορθοῦτε.) Τὸ παράνομον δηλονότι, κωλύοντες τὸν εἰσηγητὴν τοῦ καινοῦ νόμου. — 4. Ταύτην τὴν πρᾶξιν κωλύετε.) Τὴν τοῦ καινοῦ νόμου ψήφισιν. — 5. Τιμωρίαν ἀξίαν τῶν ἁμαρτημάτων.) Πλεονάζειν ἔδοξάν τισιν αἱ τέσσαρες λέξεις αὗται. — 6. ΜΗ ἐν τοῖς πρότερον χρόνοις . . . ΜΗΤΕ ἐν τοῖς μέλλουσιν κ. τ. λ.) Ἴσως γρ. ΜΗΤΕ ἐν τοῖς πρότερον χρόνοις . . . ΜΗΤΕ ἐν τοῖς μέλλουσιν, ἤ, ΜΗ ἐν . . . ΜΗΔΕ ἐν. — 7. Ἐπίδοξον εἶναι γενέσθαι.) Ἐλπίζεσθαι καὶ προσδοκᾶσθαι συμβῆναι. «Ἐπίδοξα, προσδοκώμενα, Ἐπί»δοξος, προσδόκιμος.» Ἡσύχ. — 8. Ὅσα δὲ μὴ σφόδρα περιείληφεν κ. τ. λ.) Ὅσα δὲ μὴ ἀκριβῶς περιώρικε, διακρίνας τῶν λοιπῶν δι' ἑνὸς ὀνόματος, ὅσα μὴ διαῤῥήδην ὠνόμακε· οἷον ἐπὶ τοῦ Λεωκράτους τοῦ καταλιπόντος τὴν πατρίδα, πολεμοῦσαν ὑπὲρ τοῦ μὴ δουλεῦσαι Φιλίππῳ. Οὐ γὰρ ἦν νόμος κείμενος κατὰ τῶν ἀποδημούντων ἐν τοιούτοις καιροῖς, ὥσπερ ἦν καὶ κατὰ τῶν

προσαγορεύσας, μείζω δὲ τούτων τις ἠδίκηκεν, ἅπασι δὲ ὁμοίως ἔνοχός ἐστιν, ἀναγκαῖον τὴν ὑμετέραν κρίσιν καταλείπεσθαι παράδειγμα τοῖς ἐπιγιγνομένοις. Εὖ δ' ἴστε, ὦ ἄνδρες, ὅτι οὐ μόνον νῦν κολάσετε κατεψηφισμένοι, ἀλλὰ καὶ τοὺς νεωτέρους ἅπαντας ἐπ' ἀρετὴν προτρέψετε. Δύο γάρ ἐστι τὰ παιδεύοντα τοὺς νέους, ἥ τε τῶν ἀδικούντων τιμωρία, καὶ ἡ τοῖς ἀνδράσι τοῖς ἀγαθοῖς διδομένη δωρεά· πρὸς ἑκάτερον δὲ τούτων ἀποβλέποντες, τὴν μὲν διὰ τὸν φόβον φεύγουσι, τῆς δὲ διὰ τὴν δόξαν ἐπιθυμοῦσι.

§ 4. Διὸ δεῖ, ὦ ἄνδρες, προσέχειν τούτῳ τῷ ἀγῶνι, καὶ μηδὲν περὶ πλείονος ποιήσασθαι τοῦ δικαίου. Ποιήσομαι δὲ κἀγὼ τὴν κατηγορίαν δικαίαν,[2] οὔτε ψευδόμενος οὐδὲν, οὔτ' ἔξω τοῦ πράγματος λέγων. Οἱ μὲν γὰρ πλεῖστοι τῶν εἰς ὑμᾶς εἰσιόντων, πάντων ἀτοπώτατον ποιοῦσιν· ἢ γὰρ συμβουλεύουσιν ἐνταῦθα περὶ τῶν κοινῶν πραγμάτων, ἢ κατηγοροῦσι καὶ διαβάλλουσι πάντα μᾶλλον, ἢ περὶ οὗ μέλλετε τὴν ψῆφον φέρειν. Ἔστι δ' οὐδέτερον τούτων χαλεπὸν, οὔθ' ὑπὲρ ὧν μὴ βουλεύεσθε[3] γνώμην ἀποφήνασθαι, οὔθ' ὑπὲρ ὧν μηδεὶς ἀπολογήσεται, κατηγορίαν εὑρεῖν. Ἀλλ' οὐ δίκαιον ὑμᾶς μὲν ἀξιοῦν δικαίαν τὴν ψῆφον φέρειν, αὐτοὺς δὲ μὴ δικαίαν τὴν κατηγορίαν ποιεῖσθαι. Τούτων δὲ αἴτιοι ὑμεῖς ἐστὲ, ὦ ἄνδρες· τὴν γὰρ ἐξουσίαν ταύτην δεδώκατε τοῖς ἐνθάδε εἰσιοῦσι, καὶ ταῦτα, κάλλιστον ἔχοντες τῶν Ἑλλήνων παράδειγμα, τὸ ἐν Ἀρείῳ πάγῳ συνέδριον, ὃ τοσοῦτον διαφέρει τῶν ἄλλων δικαστηρίων, ὥστε καὶ παρ' αὐτοῖς ὁμολογεῖσθαι τοῖς ἁλισκομένοις δικαίαν ποιεῖσθαι τὴν κρίσιν. Πρὸς ὃ δεῖ καὶ ὑμᾶς

---

λειπόντων τὴν τάξιν ἐν καιρῷ μάχης. Παραπλησίως καὶ ὁ Πλάτων (Περὶ νομ. VII, σελ. 823) ἐχρήσατο τῷ ῥήματι. «Θήρα γὰρ πάμπολύ τι πρᾶγμά ἐστι »ΠΕΡΙΕΙΛΗΜΜΕΝΟΝ ὀνόματι νῦν σχε»δὸν ἑνί.» Σαφέστερον δὲ ποιήσει τὸ λεγόμενον παρατεθέντα ἃ λέγει Λυσίας κατὰ Φίλωνος, παραπλησίως ἀποδημήσαντος κἀκείνου ἐπὶ τῶν Τριάκοντα· «Ἀκούω δ' αὐτὸν λέγειν, ὡς εἴ τι ἦν »ἀδίκημα τὸ μὴ παραγενέσθαι ἐν ἐκείνῳ »τῷ καιρῷ, νόμος ἂν ἔκειτο περὶ αὐ»τοῦ διαῤῥήδην, ὥσπερ καὶ περὶ τῶν »ἄλλων ἀδικημάτων. Οὐ γὰρ οἴεται ὑμᾶς »γνώσεσθαι, ὅτι διὰ τὸ μέγεθος τοῦ »ἀδικήματος οὐδεὶς περὶ αὐτοῦ ἐγράφη »νόμος. Τίς γὰρ ἄν ποτε ῥήτωρ ἐνε»θυμήθη, ἢ νομοθέτης ἤλπισεν ἁμαρ»τήσεσθαί τινα τῶν πολιτῶν τοσαύτην »ἁμαρτίαν; οὐ γὰρ ἂν δήπου, εἰ μὲν »τις λίποι τὴν τάξιν, μὴ αὐτῆς τῆς »πόλεως ἐν κινδύνῳ οὔσης, ἀλλ' ἑτέρους »εἰς τοῦτο (ἄλ. γρ. τοῦτον) καθιστάσης »ἐτέθη νόμος ὡς μεγάλα ἀδικοῦντος· εἰ »δέ τις αὐτῆς τῆς πόλεως ἐν κινδύνῳ »οὔσης λίποι τὴν πόλιν αὐτὴν, οὐκ ἂν »ἄρα ἐτέθη· σφόδρα γ' ἂν, εἴ τις ᾠήθη »τινὰ τῶν πολιτῶν ἁμαρτήσεσθαί τι »τοιοῦτόν ποτε.» (Λυσ. Κατὰ Φίλιπ. δοκιμ. σελ. 886.) Ἄξιον δὲ καὶ τὸ τῷ Πλουτάρχῳ εἰρημένον (Περὶ Εἱμαρμένην. § 4, σελ. 294. Wytt.) περὶ τοῦ νόμου παραθέσθαι· «Ὁ πολιτικὸς »νόμος, πρῶτον μὲν τὰ πλεῖστα, εἰ καὶ »μὴ πάντα, ἐξ ὑποθέσεως προστάττει· »ἔπειτα μὴν καθόλου τὰ πόλει προσή»κοντα εἰς δύναμιν ΠΕΡΙΛΑΜΒΑΝΕΙ, »κ. τ. λ.»

§ 4. 2. Δικαίαν.) ΔΓ, δικαίως. — 3. Βουλεύεσθε.) Ἐξ ΕΔ καὶ ΔΓ, ΑΤ,

ἀποβλέποντας μὴ ἐπιτρέπειν τοῖς ἔξω τοῦ πράγματος λέγουσιν· οὕτω γὰρ ἔσται τοῖς τε κρινομένοις ἄνευ διαβολῆς[4] ὁ ἀγὼν, καὶ τοῖς διώκουσιν ἥκιστα συκοφαντεῖν, καὶ ὑμῖν εὐορκοτάτην τὴν ψῆφον[5] ἐνεγκεῖν· ἀδύνατον γάρ ἐστιν ἄνευ τοῦ λόγου, μὴ δικαίως δεδιδαγμένους, δικαίαν θέσθαι τὴν ψῆφον.

§ 5. Δεῖ δὲ, ὦ ἄνδρες, μηδὲ ταῦτα λαθεῖν ὑμᾶς, ὅτι[2] οὐχ ὅμοιός ἐστιν ὁ ἀγὼν περὶ τούτου καὶ τῶν ἄλλων ἰδιωτῶν. Περὶ μὲν γὰρ ἀγνῶτος ἀνθρώπου τοῖς Ἕλλησιν ἐν ὑμῖν αὐτοῖς ἐδοκεῖτ' ἂν ἢ καλῶς ἢ καὶ φαύλως ἐψηφίσθαι· περὶ δὲ τούτου ὅ,τι ἂν βουλεύσησθε, παρὰ πᾶσι τοῖς Ἕλλησιν ἔσται λόγος. Ἐπιφανής τε γάρ ἐστι διὰ τὸν ἔκπλουν τὸν εἰς Ῥόδον, καὶ τὴν ἀπαγγελίαν[3] ἣν ἐποιήσατο καθ' ὑμῶν πρός τε τὴν πόλιν τῶν Ῥοδίων, καὶ τῶν ἐμπόρων τοῖς ἐπιδημοῦσιν ἐκεῖ· οἳ πᾶσαν τὴν οἰκουμένην περιπλέοντες δι' ἐργασίαν,[4] ἀπήγγελον[5] ἅμα περὶ τῆς πόλεως ἃ Λεωκράτους ἀκηκόεσαν· οἳ ἴσασι τὰ τῶν προγόνων τῶν ἡμετέρων ἔργα ἐναντιώτατα τοῖς τούτῳ διαπεπραγμένοις ὄντα. Ὥστε περὶ πολλοῦ ποιητέον ἐστὶν ὀρθῶς βουλεύσασθαι περὶ αὐτοῦ. Εὖ γὰρ ἴστε, ὦ Ἀθηναῖοι, ὅτι ᾧ πλεῖστον διαφέρετε τῶν ἄλλων ἀνθρώπων, τῷ πρός τε τοὺς θεοὺς εὐσεβῶς, καὶ πρὸς τοὺς γονεῖς[6] ὁσίως καὶ πρὸς τὴν πατρίδα φιλοτίμως ἔχειν, τούτου πλεῖστον ἀμελεῖν[7] δόξοιτ' ἂν, εἰ τὴν παρ' ὑμῶν οὗτος διαφύγοι τιμωρίαν. Δέομαι δ' ὑμῶν, ὦ Ἀθηναῖοι, ἀκοῦσαί μου τῆς κατηγορίας διὰ τέλους, καὶ μὴ ἄχθεσθαι, ἐὰν ἄρξωμαι ἀπὸ τῶν τῇ πόλει τότε συμβάντων, ἀλλὰ τοῖς αἰτίοις ὀργίζεσθαι, *καὶ* δι' οὓς ἀναγκάζομαι[8] νῦν ἀναμεμνῆσθαι[9] περὶ αὐτῶν.

§ 6. Γεγενημένης γὰρ τῆς ἐν Χαιρωνείᾳ μάχης, καὶ συνδραμόντων ἁπάντων ὑμῶν εἰς τὴν ἐκκλησίαν, ἐψηφίσατο ὁ δῆμος παῖδας μὲν καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν εἰς τὰ τείχη κατακομίζειν,[2]

---

βούλεσθε. — 4. Ἄνευ διαβολῆς.) Ἄνευ ἀπάτης, ἢ καὶ ὑποψίας. «Διαβολὴ, ὑπόπτευσις ἢ ὑπόληψις» φησὶν Ἡσύχιος. — 5. Εὐορκοτάτην τὴν ψῆφον.) Προσέθηκα τὸ ἄρθρον, ὃ καὶ ἕτερος (G. Prinzger) προσέθηκε πρὸ ἐμοῦ, οὐκ οἶδ' ὅθεν εὑρών· σιγῶσι γὰρ ὧδε τὰ ἀντίγραφα.

§ 5 2. Μηδὲ ΤΑΥΤΑ λαθεῖν ὑμᾶς, ὅτι κ. τ. λ.) Ἴσ. γρ. ΤΟΥΤΟ. — 3. Ἀπαγγελίαν.) Οὕτως οἱ πλεῖστοι τῶν ἐκδοτῶν ἐκ διορθώσεως, οἷς οὐκ ἐπείσθη ὁ πρὸ ἐμοῦ, τηρήσας τὸ ἐπαγγελίαν. — 4. Δι' ἐργασίαν.) Διὰ κέρδος τὸ ἀπὸ τῆς ἐργασίας γενόμενον. Ἴσον ἐνταῦθα δύναται ἡ ἐργασία τῷ ἐν τῇ συνηθείᾳ Πραγματεία, καὶ ἑρμηνεύει κατὰ λέξιν τὸ τῆς τῶν Γάλλων φωνῆς négoce. Ἔστι γὰρ τοῦτο παρὰ τὸ Ῥωμαϊκὸν negotium, συντεθειμένον ἐκ τοῦ Non otium, οὐκ ἀργία. — 5. Ἀπήγγελλον.) Ἐκ ΔΓ, ΑΤ (σολοίκου) ἀπήγγελον. Πάσῃ τῇ οἰκουμένῃ διηγοῦντο, ἃ Λεωκράτους ἐν Ῥόδῳ ἀκηκόεσαν ἱστοροῦντος περὶ τῶν Ἀθήνησι συμβάντων. — 6. Γονεῖς.) Γονέας ὤφειλε λέγεσθαι, εἰ χρὴ πιστεύειν τοῖς Ἀττικισταῖς. — 7. Τούτου πλεῖστον ἀμελεῖν κ. τ. λ.) Ἐξ ΕΔ, ΑΤ, τούτῳ. — 8. Καὶ δι' οὓς ἀναγκάζομαι.) Ὡς κακῶς πλεονάσαντα, ἀστερίσκοις διείληφα τὸν σύνδεσμον. — 9. Ἀναμεμνῆσθαι.) ΔΓ, μεμνῆσθαι.

§ 6. 2. Κατακομίζειν.) Ἴσ. γρ. μετακομίζειν, ὡς καὶ Δημοσθένης (Περὶ παραπρεσβ. σελ. 368) «Παῖδας καὶ γυ-

τοὺς δὲ στρατηγοὺς τάττειν εἰς τὰς φυλακὰς τῶν Ἀθηναίων, καὶ τῶν ἄλλων τῶν οἰκούντων Ἀθήνησιν, καθ' ὅ,τι ἂν αὐτοῖς δοκῇ. Λεωκράτης δὲ τούτων οὐδενὸς φροντίσας, συσκευασάμενος ἃ εἶχε μετὰ τῶν οἰκετῶν ἐπὶ τὸν λέμβον[3] κατεκόμισε, τῆς νεὼς ἤδη περὶ τὴν ἀκτὴν ἐξορμούσης·[4] καὶ περὶ δείλην ὀψίαν,[5] αὐτὸς μετὰ τῆς ἑταίρας Εἰρηνίδος[6] κατὰ μέσην τὴν ἀκτὴν διὰ τῆς πυλίδος ἐξελθών, πρὸς τὴν ναῦν προσέπλευσε, καὶ ᾤχετο φεύγων· οὔτε τοὺς λιμένας τῆς πόλεως ἐλεῶν, ἐξ ὧν ἀνήγετο, οὔτε τὰ τείχη τῆς πατρίδος αἰσχυνόμενος, ὧν τὴν φυλακὴν ἔρημον τὸ καθ' αὑτὸν μέρος κατέλειπεν·[7] οὔτε τὴν ἀκρόπολιν καὶ τὸ ἱερὸν τοῦ Διὸς τοῦ Σωτῆρος, καὶ τῆς Ἀθηνᾶς τῆς Σωτείρας,[8] ἀφορῶν καὶ προδιδοὺς ἐφοβήθη, οὓς αὐτίκα σώσοντας ἑαυτὸν ἐκ τῶν κινδύνων ἐπικαλέσεται. Καταχθεὶς[9] δὲ καὶ ἀφικόμενος[10] εἰς Ῥόδον, ὥσπερ τῇ πατρίδι μεγάλας εὐτυχίας εὐαγγελιζόμενος, ἀπήγγελλεν,[11] ὡς τὸ μὲν ἄστυ τῆς πόλεως ἑαλωκὸς καταλίποι, τὸν δὲ Πειραιᾶ πολιορκούμενον· αὐτὸς δὲ μόνος διασωθεὶς ἥκοι· καὶ οὐκ ᾐσχύνθη τὴν τῆς πατρίδος ἀτυχίαν, αὑτοῦ σωτηρίαν προσαγορεύσας. Οὕτω δὲ σφόδρα ταῦτ' ἐπίστευσαν οἱ Ῥόδιοι, ὥστε τριήρεις πληρώσαντες, τὰ πλοῖα κατῆγον·[12] καὶ τῶν ἐμπόρων καὶ

---

ναῖκας ἐκ τῶν ἀγρῶν μετακομίζεσθαι» καὶ αὐτὸς οὗτος Λυκοῦργος ἐν τοῖς ἑξῆς (§ 14) ἐρεῖ, «Τὰ ἱερὰ τὰ πάτρια μετακομίζεσθαι.» — 3. Λέμβον.) Barque, chaloupe. «Λέμβος, τὸ μικρὸν πλοιάριον, τὸ ἐφόλκιον κ. τ. λ.» φησὶν Ἡσύχιος. — 4. Ἐξορμούσης.) Ἐξ ΕΔ, ΑΤ, ἐξορμώσης. — 5. Περὶ δείλην ὀψίαν.) «Δείλης πρωΐας, τὸ μετὰ ἕκτην ὥραν· Δείλης ὀψίας, πρὸς ἑσπέραν κ. τ. λ.» (Μοιρ. Ἀττικιστ.) — 6. Εἰρηνίδος.) Μνημονεύει ταύτης καὶ ὁ Ἀθήναιος (σελ. 586) «Καὶ Λυκοῦργος ἐν τῷ Κατὰ Λεωκράτους Εἰρηνίδος ἑταίρας μέμνηται ὡς ἑταιρούσης τῷ Λεωκράτει.» — 7. Κατέλειπεν.) Ἐξ ΕΔ, ΑΤ, κατέλιπεν. — 8 Τοῦ Διὸς τοῦ Σωτῆρος καὶ τῆς Ἀθηνᾶς τῆς Σωτείρας.) Διὸς ἐπωνύμιον τὸ Σωτήρ, ὥσπερ καὶ τῆς Ἀθηνᾶς τὸ Σώτειρα. «Σώτειρα (φησὶν Ἡσύχιος,) ἡ Ἀθηνᾶ παρὰ τοῖς Ἕλλησι . . . Σωτὴρ καὶ ὁ Ζεύς, καὶ ὁ (γρ. ὁ καὶ) Ἐλευθέριος, ἢ λυτρωτής.» Καὶ περὶ μὲν τοῦ Διὸς φησὶν Ἀριστοφάνης (Πλούταρχ. 1176)

Καὶ ταῦτα τοῦ Σωτῆρος ἱερεὺς ὢν
Διός.

Εὕρηται δὲ καὶ ἐν ταῖς Ἀριστοτέλους διαθήκαις «Ἀναθεῖναι δὲ καὶ Νικάνορα σωθέντα ἣν εὐχὴν ὑπὲρ αὐτοῦ ηὐξάμην, ζῷα λίθινα τετραπήχη ἐν Σταγείροις, Διὶ Σωτῆρι καὶ Ἀθηνᾷ Σωτείρᾳ» (Διογέν. Λαέρτ. ε, 16) Ὁ δὲ ναὸς τοῦ Διὸς, Σωτῆρος, συνῃρημένως Διοσωτήριον ἀντὶ τοῦ Διοσωτήριον ἐκαλεῖτο. «Δισωτήριον καλοῦσιν Ἀθήνησιν τὸν ναὸν τοῦ Σωτῆρος Διός· ἔστι δὲ Ἀττικὸν τὸ σχῆμα. Διπόλια γοῦν καλεῖται ἑορτή κ. τ. λ.» (Bekker Anecd Græc. σελ. 91), ἀντὶ τοῦ Διϊπόλια δηλονότι. — 9. Καταχθείς.) Εἰς τὸν λιμένα τῆς πόλεως. — 10. Ἀφικόμενος.) Εἰς αὐτὴν τὴν πόλιν. — 11. Ἀπήγγελλεν.) Ἐκ ΔΓ, ΑΤ, ἀπήγγειλεν. — 12. Τὰ πλοῖα κατῆγον.) Τὰ σιτηγὰ πλοῖα βίᾳ εἰς τὴν Ῥόδον καταπλέειν ἐποίουν. Ὅτι δὲ τοῦτο σημαίνει τὸ Κατάγειν, ἐξηγήσατο ὁ Ἁρποκρατίων· «Κατάγων τὰ πλοῖα, Δημοσθένης ἐν ὀγδόῳ Φιλιππικῶν. Κατάγειν τὰ πλοῖα λέγεται, ἀντὶ τοῦ λῃΐζεσθαι καὶ κακοῦν, καὶ μὴ ἐᾷν τοὺς πλέοντας ὅποι βούλονται πλεῖν, ἀλλ' εἰς τὰ οἰκεῖα χωρία τοῖς ληστεύουσι κατάγειν· ὡς καὶ Λυκοῦργος ἐν τῷ Κατὰ Λεωκράτους δηλοῖ.» Ἕτερος δὲ Λεξικογράφος (Bekker, Anecdot. Græc. pag. 269) λέγει, «Κατάγειν τὰ πλοῖα, ληστεύειν, ἐπεὶ οἱ λῃ-

τῶν ναυκλήρων οἱ παρεσκευασμένοι δεῦρο πλεῖν,[13] αὐτοῦ[14] τὸν σῖτον ἐξείλοντο, καὶ τἄλλα χρήματα, διὰ τοῦτον.[15] Καὶ ὅτι ταῦτ' ἀληθῆ λέ[illegible] ἀναγνώσεται ὑμῖν τὰς μαρτυρίας ἁπάντων· πρῶτον μὲν τὰς τῶν γειτόνων, καὶ τῶν ἐν τῷ τόπῳ τούτῳ κατοικούντων, οἳ τοῦτον ἴσασιν ἐν τῷ πολέμῳ φυγόντα,[16] καὶ ἐκπλεύσαντα Ἀθήνηθεν· ἔπειτα τῶν παραγενομένων εἰς Ῥόδον, ὅτε Λεωκράτης ταῦτ' ἀπήγγελλε·[17] μετὰ δὲ ταῦτα, τὴν Φυρκίνου μαρτυρίαν, ὃν καὶ ὑμῶν ἴσασιν οἱ πολλοὶ[18] κατηγοροῦντα τούτου[19] ἐν τῷ δήμῳ, ὡς καὶ μεγάλου βλάβους αἴτιος εἴη, τῆς πεντηκοστῆς μετέχων αὐτοῖς.[20] Πρὸ δὲ τοῦ ἀναβαίνειν τοὺς μάρτυρας, βραχέα βούλομαι διαλεχθῆναι ὑμῖν.

---

»σται ἐνδησάμενοι τὰ τῶν πολεμίων »πλοῖα, κατάγουσιν εἰς τοὺς οἰκείους »λιμένας καὶ λῃστεύουσιν.» Οἶμαι δὲ καὶ ὅ φησιν Ἡσύχιος, «Καταγωγίς . . . σκά»φος πεντηρικὸν κ. τ. λ.» τὰς ναῦς δηλοῦν, αἷς κατῆγον τὰ πλοῖα, ὥστ' εἶναι τὴν Καταγωγίδα τὴν Γαλλιστὶ καλουμένην vaisseau corsaire, ἢ armé en course. — 13. Δεῦρο πλεῖν.) περ Ἀθήνας. — 14. Αὐτοῦ.) Εἰς Ῥόδον, καθὰ Εἰς καὶ ἐν τῇ συνηθείᾳ, ὡς τοπικῷ ἐπιῤῥήματι ὁσημέραι χρώμεθα τῷ Αὐτοῦ. — 15. Διὰ τοῦτον.) Διὰ τὸν Λεωκράτην. Ἀποκατέστησα τὴν γραφὴν, ἀνθ' ἧς ὁ πρὸ ἐμοῦ ἐξ ἀντιγράφων λαβὼν ἔγραψε διὰ τούτων. — 16. Φεύγοντα.) Ἄμεινον ἂν ἐγράφετο κατ' ἀόριστον, φυγόντα, καθάπερ ἔδοξε καὶ ἑτέροις.) — 17. Ἀπήγγελλε.) Ἐκ ΔΓ, ΑΓ, ἀπήγγειλε. — 18. Ἴσασιν οἱ πολλοί.) Ἴσασι πολλοί, ἀνάρθρως γραπτέον εἶναι ἔδοξε τῷ πρὸ ἐμοῦ, κἀμοὶ συνδοκεῖ. — 19. Κατηγοροῦντα τούτου.) Τὸν Φυρκῖνον τοῦ Λεωκράτους. — 20. Ὡς καὶ ΜΕΓΑΛΟΥ βλάβους ΑΙΤΙΟΣ εἴη, τῆς πεντηκοστῆς μετέχων αὐτοῖς.) Οὕτως ἔγνων διασκευάσαι τὸ ὑπὸ πάντων τῶν κριτικῶν νοθείας κατεγνωσμένον κείμενον, τὴν λέξιν Αἴτιος μόνην παρεμβαλὼν ἐξ ΕΔ, ἀντὶ τοῦ «ὡς καὶ ΜΕΓΑΛΑ »ΚΑΙ βλάβους εἴη τῆς πεντηκοστῆς με»τέχων αὐτοῖς.» Ἀνθ' οὗ ὁ πρὸ ἐμοῦ ἔγραψεν «ὡς καὶ μεγάλα καταβλαβεὶς »εἴη τὴν πεντηκοστὴν μετέχων αὐτοῖς» τὸ μὲν, τὴν πεντηκοστὴν (ἀντὶ τοῦ, τῆς πεντηκοστῆς) ἐξ ἀντιγράφων, τὰ λοιπὰ δὲ ἐξ ἑτέρων διορθώσεως εἰληφώς. Πρὸ γὰρ αὐτοῦ οἱ μὲν ἐπεβάλλοντο διορθοῦν, «ὡς καὶ μεγάλα βλαβείη, τῆς πεντη»κοστῆς μετέχων αὐτῷ.» οἱ δὲ, «ὡς »πολλὰ καὶ μεγάλα βεβλαβεὶς εἴη . . . »αὐτοῖς» ἄλλοι δέ: «ὡς καὶ μεγάλα »βεβλαμμένος εἴη κ. τ. λ.» Εἰσὶ δ' οἳ καὶ τολμηρότερον γράφειν παρῄνεσαν: «ὡς καὶ εἰς Μέγαρα καὶ ἀλλαχόσε ἴη »(γρ. ἴοι) κ. τ. λ.» Πεντηκοστὴ δ' ἐκαλεῖτο ὅπερ ἐτέλουν τῶν εἰσαγομένων εἰς τὸν Πειραιᾶ φορτίων οἱ ἔμποροι· καὶ οἱ τελοῦντες αὐτὸ ἐλέγοντο πεντηκοστεύεσθαι, ὡς καὶ οἱ εἰσπράττοντες, Πεντηκοστολόγοι. (Ἴδ. Ἁρποκρατ. λέξ. Πεντηκοστή, καὶ Bekker, Anecd. Græc. Pag. 297.) Ἦν δὲ οὐχ εἷς, ἀλλὰ πλείους οἱ πεντηκοστολόγοι, συνωνούμενοι τὸ τέλος παρὰ τοῦ δήμου, ὧν ὁ ἡγούμενος ἐκαλεῖτο Πεντηκόσταρχος. (Ἴδ. Boeckh, Staatshaushalt. der Athener, tom. I, pag. 337-340). Εἷς τοίνυν τῶν πεντηκοστολόγων ἦν καὶ ὁ Λεωκράτης, ὥσπερ καὶ ὁ Φυρκῖνος· οὗτος δὲ κατηγόρει Λεωκράτους, ὡς μεγάλης βλάβης αἴτιος ἐγεγόνει αὐτοῖς (τοῖς πεντηκοστολόγοις δηλονότι) ἀποδημήσας. Μνημονεύει δὲ ὁ Δημοσθένης (Κατὰ Νεαίρ. σελ. 1353) καὶ σίτου πεντηκοστὴν ἐωνημένου τινός. Τοῦ δὲ μετέχειν ἡ σύνταξις, πρὸς μὲν γενικὴν πράγματος, καὶ τοῖς ἄρτι γευσαμένοις γραμματικῆς διάδηλος· σπανιωτέρα δὲ ἡ πρὸς δοτικὴν προσώπου, Μετέχειν τινί τινος, δέον λέγειν, Συμμετέχειν. Πολλοῦ γε μὴν δεῖ σόλοικος ἢ σολοικοφανὴς εἶναι, καθάπερ ἔδοξέ τισι τῶν γραμματικῶν· τοῦ γὰρ Αἰσχίνου φήσαντος, «Μὴ με»τέχειν τοῖς ἐκεῖ συλλεγομένοις μήτε »λόγων μήτ' ἔργων κ. τ. λ.» ὁ σχολιαστὴς αὐτοῦ εὐήθως πάνυ προσέγραψε, «Δοκεῖ σολοικοφανὲς εἶναι· οὐδεὶς γὰρ »λέγει πρὸς δοτικὴν Μετέχω σοι »κ. τ. λ.» (Ἴδ. Αἰσχίν. Κατὰ Κτησιφ. σελ. 518, édit Bekker, σελ. 259.) Λέγει μὲν οὖν οὐ μόνος Αἰσχίνης, οὕτως

§ 7. Οὐ γὰρ ἀγνοεῖτε, ὦ ἄνδρες, οὔτε τὰς παρασκευὰς τῶν κρινομένων, οὔτε τὰς δεήσεις τῶν ἐξαιτουμένων· ἀλλ' ἀκριβῶς ἐπίστασθε, ὅτι χρημάτων ἕνεκα καὶ χάριτος πολλοὶ ἐπείσθησαν τῶν μαρτύρων ἢ ἀμνημονεῖν,[2] ἢ μὴ ἐλθεῖν, ἢ ἑτέραν πρόφασιν εὑρεῖν. Ἀξιοῦτε οὖν τοὺς μάρτυρας ἀναβαίνειν, μηδὲ ὀκνεῖν, μηδὲ περὶ πλείονος[3] ποιεῖσθαι τὰς χάριτας ὑμῶν καὶ τῆς πόλεως, ἀλλ' ἀποδιδόναι τῇ πατρίδι τἀληθῆ καὶ τὰ δίκαια, μηδὲ λείπειν τὴν τάξιν ταύτην, καὶ μιμεῖσθαι Λεωκράτη· ἢ λαβόντας τὰ ἱερὰ, κατὰ τὸν νόμον ἐξομόσασθαι.[4] Ἐὰν δὲ μηδέτερον[5] τούτων ποιῶσιν ὑπὲρ ὑμῶν καὶ τῶν νόμων καὶ τῆς δημοκρατίας, κλητεύσομεν αὐτούς.[6] Λέγε τὰς μαρτυρίας. ΜΑΡΤΥΡΕΣ.

§ 8. Μετὰ ταῦτα τοίνυν, ὦ ἄνδρες, ἐπειδὴ χρόνος ἐγένετο, καὶ ἀφικνεῖτο Ἀθήνηθεν πλοῖα εἰς τὴν Ῥόδον, καὶ φανερὸν ἦν ὅτι οὐδὲν δεινὸν ἐγεγόνει περὶ τὴν πόλιν, φοβηθεὶς ἐκπλεῖ πάλιν ἐκ τῆς Ῥόδου, καὶ ἀφικνεῖται εἰς Μέγαρα· καὶ ᾤκει ἐν Μεγάροις πλείω ἢ πέντε ἔτη, προστάτην[2] ἔχων Μεγαρέα, οὐδὲ τὰ ὅρια τῆς χώρας αἰσχυνόμενος, ἀλλ' ἐκ γειτόνων τῆς ἐκθρεψάσης αὐτὸν πατρίδος μετοικῶν. Καὶ οὕτως αὐτοῦ κατεγνώκει ἀΐδιον φυγὴν, ὥστε μεταπεμψάμενος ἐντεῦθεν Ἀμύνταν, τὸν τὴν ἀδελφὴν αὐτοῦ ἔχοντα τὴν πρεσβυτέραν, καὶ τῶν φίλων[3] Ἀντιγένην Ξυπεταιῶνα, καὶ δεηθεὶς τοῦ κηδεστοῦ πρίασθαι παρ' αὐτοῦ τἀνδράποδα καὶ τὴν οἰκίαν, ἀποδόσθαι ταλάντου.[4] Καὶ ἀπὸ τούτου προσέταξε τοῖς τε χρήσταις ἀποδοῦναι τὰ ὀφειλόμενα, καὶ τοὺς ἐράνους διενεγ-

---

ἀξιόχρεως μάρτυς ὢν, ἀλλὰ καὶ Εὐριπίδης (Ὀρέστ. 1337), οὐδὲν ἧττον ἄξιος πιστεύεσθαι,

Ἀλλ' ἐλθὲ καὶ μετάσχες ἱκεσίας φίλοις, (τουτέστιν, ἐλθὲ καὶ συνικέτευσον μετὰ τῶν φίλων), καὶ ἕτεροι.

§ 7. 2. Ἀμνημονεῖν.) Λέγειν, ὅτι οὐ μέμνηνται τῶν γενομένων, περὶ ὧν ἐκλήθησαν μαρτυρήσοντες, ὅτι λέληθεν αὐτοὺς τὰ συμβάντα. — 3 Μηδὲ περὶ πλείονος κ. τ. λ.) Μηδὲ προαιρεῖσθαι τὸ χαρίζεσθαι Λεωκράτει τοῦ τῇ πατρίδι καὶ τῇ πόλει ἀποδιδόναι τὰ ὀφειλόμενα. — 4. Ἐξομόσασθαι.) «Τὸ μεθ' »ὅρκου πρᾶξίν τινα ἀπαρνήσασθαι (φη»σὶν Ἁρποκρατίων) διὰ νόσον ἤ τινα ἑτέ»ραν πρόφασιν, ἐξομόσασθαι λέγεται. «Καθ' ἑτέρους δὲ (ἰδ. Bekker, Anecdot. græc. Pag. 188), « Ἐξομόσασθαι, ὅταν ἀρνῶν»ται οἱ μάρτυρες ὅτι οὐδὲν οἴδαμεν.» — 5. Ἐὰν δὲ μηδέτερον κ. τ. λ.) Εἰ δὲ μήτ' ἐλθεῖν βούλοιντο μαρτυρήσοντες, μήτε κατὰ τὸν νόμον ἐξομόσασθαι. — 6. Κλητεύσομεν αὐτούς.) Ἐξ ΕΔ, ἀντὶ τοῦ ἐν τοῖς ἀντιγράφοις κλητεύσωμεν, ὃ προείλετο ὁ πρὸ ἐμοῦ. Κατὰ τὸν Ἁρποκρατίωνα, «Λέγεται Κλητεύε»σθαι καὶ Ἐκκλητεύεσθαι ἐπὶ »τῶν μαρτύρων, ὅταν μὴ ὑπακούωσι »πρὸς τὴν μαρτυρίαν ἐν τοῖς δικαστη»ρίοις· καὶ ἔστιν ἐπιτίμιον κατ' αὐτῶν »δραχμαὶ χίλιαι κ. τ. λ.» Καὶ ἐλέγετο τοῦτο Χιλιοῦν· «Χιλιωθέντα, Λυ»κοῦργος ἐν τῷ Κατ' Ἀριστογείτονος, »ἀντὶ τοῦ χιλίας ὄφλοντα. Ὁ δὲ αὐτὸς »ῥήτωρ καὶ ἐν τῷ Κατὰ Κηφισοδότου »φησὶ Χιλιῶσαι» (Ἁρποκρατ.).

§ 8. 2. προστάτην.) Γαλλιστὶ protecteur. — 3. Τῶν φίλων.) Ἐκ ΔΓ, ΑΤ, τὸν φίλον. Ἔστι δὲ, ἕνα ἐκ τῶν αὐτοῦ φίλων. — 4. Ἀποδόσθαι ταλάντου.) Σύντασσε τῷ προηγησαμένῳ Ὥστε, ἵν' ᾖ, ὥστε ἀποδόσθαι, τουτέστι πωλῆσαι, τὴν οἰκίαν καὶ τὰ ἀνδράποδα ἑνὸς ταλάντου, τῷ κηδεστῇ αὐτοῦ Ἀμύντᾳ οὗ ἐδεήθη πρίασθαι αὐτὰ παρ' αὐτοῦ. Δύναται δὲ τὸ τάλαντον πεντακισχίλια καὶ τετρακόσια φράγκα. —

κεῖν,[5] τὸ δὲ λοιπὸν αὐτῷ ἀποδοῦναι. Διοικήσας δὲ ταῦτα πάντα Ἀμύντας, αὐτὸς πάλιν ἀποδίδοται τἀνδράποδα πέντε καὶ τριάκοντα μνῶν Τιμοχάρει Ἀχαρνεῖ, τῷ τὴν νεωτέραν ἔχοντι τούτου ἀδελφήν. Ἀργύριον δὲ οὐκ ἔχων δοῦναι ὁ Τιμοχάρης, συνθήκας ποιησάμενος,[6] καὶ θέμενος παρὰ Λυσικλεῖ, *μίαν* μνᾶν τόκον[7] ἔφερε τῷ Ἀμύντᾳ. Ἵνα δὲ μὴ λόγον οἴησθε εἶναι, ἀλλ' εἰδῆτε τὴν ἀλήθειαν, ἀναγνώσεται καὶ τούτων ὑμῖν τὰς μαρτυρίας. Εἰ μὲν οὖν ζῶν ἐτύγχανεν ὁ Ἀμύντας, ἐκεῖνον [ἂν] αὐτὸν[8] παρειχόμην· νῦν δὲ ὑμῖν καλῶ τοὺς συνειδότας. Καί μοι λέγε ταύτην τὴν μαρτυρίαν, ὡς ἐπρίατο παρὰ Λεωκράτους ἐν Μεγάροις τἀνδράποδα ὁ Ἀμύντας καὶ τὴν οἰκίαν. ΜΑΡΤΥΡΕΣ. Ἀκούσατε δέ, καὶ ὡς ἀπέλαβε τετταράκοντα μνᾶς παρὰ Ἀμύντου Φιλόμηλος Χολαργεύς, καὶ Μενέλαος ὁ πρεσβεύσας πρὸς βασιλέα. ΜΑΡΤΥΡΙΑ. Λαβὲ δέ μοι καὶ τὴν Τιμοχάρους[9] τοῦ πριαμένου τἀνδράποδα παρ' Ἀμύντου πέντε καὶ τριάκοντα μνῶν, καὶ τὰς συνθήκας.[10] ΜΑΡΤΥΡΙΑΙ. ΣΥΝΘΗΚΑΙ. Τῶν μὲν μαρτύρων ἀκηκόατε, ὦ ἄνδρες. Ἄξιον δ' ἐστίν, ἐφ' οἷς μέλλω λέγειν ἀγανακτῆσαι καὶ μισῆσαι τουτονὶ Λεωκράτη.[11] Οὐ γὰρ ἐξήρκεσε τὸ σῶμα τὸ ἑαυτοῦ καὶ τὰ χρήματα μόνον ὑπεκθέσθαι, ἀλλὰ καὶ τὰ ἱερὰ τὰ πατρῷα, ἃ τοῖς ὑμετέροις καὶ νομίμοις καὶ πατρῴοις ἔθεσιν οἱ πρόγονοι παρέδοσαν αὐτῷ ἱδρυσάμενοι, ταῦτα μετεπέμψατο εἰς Μέγαρα, καὶ ἐξήγαγεν ἐκ τῆς χώρας· οὐδὲ τὴν ἐπωνυμίαν τῶν πατρῴων ἱερῶν φοβηθείς, ὅτι ἐκ τῆς πατρίδος αὐτὰ κινήσας, συμφεύγειν αὐτῷ, ἐκλείποντα[12] τοὺς νεώς, καὶ τὴν χώραν ἣν κατεῖχον, ἠξίωσε, καὶ ἱδρύσασθαι ἐπὶ ξένης καὶ ἀλλοτρίας, καὶ εἶναι ὀθνεῖα τῇ χώρᾳ καὶ τοῖς νόμοις τοῖς κατὰ τὴν Μεγαρέων πόλιν εἰθισμένοις. Καὶ οἱ μὲν πατέρες ἡμῶν τὴν Ἀθηνᾶν, ὡς τὴν χώραν εἰληχυῖαν, ὁμώνυμον αὐτῇ[13] τὴν πατρίδα προσηγόρευον Ἀθήνας, ἵν' οἱ τιμῶντες τὴν θεόν, τὴν ὁμώνυμον

5. Τοὺς ἐράνους διενεγκεῖν.) Τοῖς εἰσηνεγκοῦσι τὸν ἔρανον ἀποδοῦναι διανείμαντα καθ' ὅσον ἕκαστος εἰσήνεγκεν. — 6. Συνθήκας ποιησάμενος.) Γραμματεῖον γράψας, ὃ νῦν Ὁμολογίαν καλοῦμεν. — 7. Μίαν μνᾶν τόκον.) Κακῶς πλεονάσαν τὸ ἀριθμητικὸν ὄνομα ἀστερίσκοις διείληφα. — 8. Ἐκεῖνον ἂν αὐτὸν κ. τ. λ.) ΗΔ ἡ προσθήκη τοῦ δυνητικοῦ, παραινεσάντων τοῦτο καὶ ἑτέρων. — 9. τὴν Τιμοχάρους.) Μαρτυρίαν. — 10. Καὶ τὰς συνθήκας.) Ἃς Τιμοχάρης πρὸς Ἀμύνταν ἐποιήσατο περὶ τῶν πέντε καὶ τριάκοντα μνῶν. — 11. Λεωκράτη.) Αἱ ἐκδόσεις Λεωκράτην, σιγώντων τῶν ἀντιγράφων. — 12. Ἐκλείποντα.) Ἴσως ἦν κατ' ἀόριστον, ἐκλιπόντα. — 13. Τὴν Ἀθηνᾶν, ὡς τὴν χώραν εἰληχυῖαν, ὁμώνυμον αὐτῇ κ. τ. λ.) Συγκέχυται ἡ σύνταξις· ἴσως γραπτέον, « τῇ Ἀθηνᾷ, ὡς τὴν χώραν εἰληχυίᾳ ὁμώνυμον αὐτῇ κ. τ. λ. ἢ ὡς φέρει ἡ ἀνωτέρω (σελ. 46) μνημονευθεῖσα ἐν Βόννῃ ἔκδοσις, ἐκ διορθώσεως, « τὴν Ἀθηνᾶν, ὡς τὴν » χώραν εἰληχυῖαν (ἱδρυσάμενοι), ὁμώνυμον αὐτῇ κ. τ. λ. » Τῆς γὰρ μετοχῆς (ἱδρυσάμενοι.) προστιθεμένης, ἀκριβῶς

αὐτῇ πόλιν μὴ ἐγκαταλείπωσι.[14] Λεωκράτης δὲ, οὔτε νομίμων, οὔτε πατρῴων, οὔτε ἱερῶν φροντίσας, τὸ καθ' ἑαυτὸν ἐξαγώγιμον ὑμῖν καὶ τὴν παρὰ τῶν Θεῶν βοήθειαν[15] ἐποίησε. Καὶ οὐκ ἐξήρκεσεν αὐτῷ τοσαῦτα καὶ τηλικαῦτα τὴν πόλιν ἀδικῆσαι, ἀλλ' οἰκῶν ἐν Μεγάροις, οἷς παρ' ὑμῶν ἐξεκομίσατο χρήμασιν ἀφορμῇ[16] χρώμενος, ἐκ τῆς Ἠπείρου παρὰ Κλεοπάτρας[17] εἰς Λευκάδα ἐσιτήγει, καὶ ἐκεῖθεν εἰς Κόρινθον. Καίτοι, ὦ ἄνδρες, καὶ περὶ τούτων οἱ ὑμέτεροι νόμοι τὰς ἐσχάτας τιμωρίας ὁρίζουσιν, ἐάν τις Ἀθηναίων ἄλλοσέ [πη] σιτηγήσῃ ἢ ὡς ὑμᾶς.+ Ἔπειτα τὸν προδόντα μὲν ἐν τῷ πολέμῳ, σιτηγήσαντα δὲ παρὰ τοὺς νόμους, μὴ φροντίσαντα δὲ μήτε ἱερῶν, μήτε πατρίδος, μήτε νόμων τοῦτον ἔχοντες ἐν τῇ ὑμετέρᾳ ψήφῳ οὐκ ἀποκτενεῖτε, καὶ παράδειγμα τοῖς ἄλλοις ἀνθρώποις ποιήσετε! Πάντων ἄρα ἀνθρώπων ῥαθυμότατοι ἔσεσθε, καὶ ἥκιστα ἐπὶ τοῖς δεινοῖς ὀργιζόμενοι.

§ 9. Καὶ ταῦτα δὲ *ὁμοῦ,* ὦ ἄνδρες, ἐμοῦ θεωρήσατε,[2] ὡς δικαίαν τὴν ἐξέτασιν ποιουμένου περὶ τούτων· οὐ γὰρ οἶμαι δεῖν ὑμᾶς ὑπὲρ τηλικούτων ἀδικημάτων εἰκάζοντας, ἀλλὰ τὴν ἀλήθειαν εἰδότας, ψηφίζεσθαι· καὶ τοὺς μάρτυρας, μὴ δώσοντας ἔλεγχον μαρτυρεῖν, ἀλλὰ δεδωκότας. Προὐκαλεσάμην[3] γὰρ αὐτοὺς, πρόκλησιν ὑπὲρ τούτων ἁπάντων γράψας, καὶ ἀξιῶν βασανίζειν τοὺς τούτου οἰκέτας. Καί μοι λέγε ταύτην. ΠΡΟΚΛΗΣΙΣ. Ἀκούετε, ὦ ἄνδρες, τῆς προκλήσεως. Ἅμα τοίνυν ταύτην Λεωκράτης οὐκ ἐδέχετο, καὶ κατεμαρτύρει αὑτοῦ ὅτι προδότης τῆς πατρίδος ἐστίν. Ὁ γὰρ τὸν πάντων [τῶν] συνειδότων ἔλεγχον

---

ξει τὰ τῆς συντάξεως. — 14. Ἐγκαταλείπωσι.) ΗΔ, ΑΤ, Ἐγκαταλίπωσι — 15. Ἐξαγώγιμον... βοήθειαν.) Κομψῶς μετενήνεκται τοὔνομα ἀπὸ τῶν κατ' ἐμπορίαν ἐξαγομένων ἐκ τῆς χώρας τέχνης ἢ φύσεως γεννημάτων. Ἐξάγεσθαι (être exportés) γὰρ λέγεται ταῦτα, ὥσπερ τὰ ἐκ τῆς ἀλλοδαπῆς εἰσφερόμενα Εἰσάγεσθαι (être importés)· καὶ Ἐξαγωγὴ (exportation) καὶ Εἰσαγωγὴ (importation) τὰ ὀνόματα. Ἔστι δ' ὁ νοῦς· Καὶ αὐτὴν τὴν παρὰ τῶν Θεῶν βοήθειαν ὁ Λεωκράτης ὑμᾶς ἀφείλετο, ἐξενεγκὼν ἐκ τῆς πόλεως τὰ ἱερὰ, ὥσπερ ἂν εἰ ἐξαγώγιμος (τουτέστι συγχωρουμένη παρὰ τῶν νόμων κατ' ἐμπορίαν ἐξάγεσθαι.) ἦν καὶ ἡ παρὰ τῶν Θεῶν βοήθεια. — 16 Ἀφορμῇ.) Ζήτει τὴν ἐξήγησιν ἐν ταῖς εἰς τὰ Ξενοφῶντος Ἀπομνημονεύματα σημειώσεσι. (σελ. 288) — 17. Κλεοπάτρας.) Φιλίππου θυγάτηρ ἦν ἡ Κλεοπάτρα, Ἀλεξάνδρῳ, τῷ Μολοττῶν βασιλεῖ γαμηθεῖσα.

§ 9. 2. Καὶ ταῦτα δὲ ὁμοῦ, ὦ ἄνδρες, ἐμοῦ θεωρήσατε.) Ἀστερίσκοις διείληφα τὸ ἐπίῤῥημα, ὡς ἐκ τῆς προσεχοῦς ἀντωνυμίας γεγεννημένον. Εἰκὸς γὰρ πάλαι γεγράφθαι, Καὶ ταῦτα δ' ἐμοῦ (ἢ δέ μου), ὦ ἄνδρες, θεωρήσατε, ἢ Καὶ ταῦτα δὲ, ὦ ἄνδρες, ἐμοῦ θεωρήσατε. Μαρτυρεῖ δὲ τῇ νοθείᾳ καὶ τῶν ὑπὸ τοῦ προτέρου ἐκδότου παραβεβλημένων ἀντιγράφων ἓν, οὐ τὸ χείριστον, ἐν ᾧ λείπει τὸ ἐπίῤῥημα. — 3. Προὐκαλεσάμην.) Ἐξ ΕΔ, ΑΤ, παρεκαλεσάμην. Διὰ τῆς Πρὸ γὰρ καὶ τὸ ῥῆμα, ὥσπερ καὶ τοὔνομα ἡ Πρόκλησις. «Εἰώθεσαν (φησὶν Ἁρποκρα»τίων) ὁπότε δικάζοιντό τινες, ἐξαιτεῖν »ἐνίοτε θεραπαίνας ἢ θεράποντας εἰς »βάσανον, ἢ εἰς μαρτυρίαν τοῦ πράγ»ματος, καὶ τοῦτο ἐκαλεῖτο ΠΡΟΚΑ»ΛΕΙΣΘΑΙ· τὸ δὲ γραμματεῖον τὸ περὶ »τούτου γραφόμενον ὠνομάζετο Πρό-

φυγῶν[4] ὡμολόγηκεν ἀληθῆ εἶναι τὰ εἰσηγγελμένα. Τίς γὰρ ὑμῶν οὐκ οἶδεν, ὅτι περὶ τῶν ἀμφισβητουμένων πολὺ δοκεῖ δικαιότατον καὶ δημοτικὸν εἶναι, ὅταν οἰκέται ἢ θεράπαιναι συνειδῶσιν ἃ δεῖ,[5] τούτους ἐλέγχειν καὶ βασανίζειν, καὶ τοῖς ἔργοις μᾶλλον, ἢ τοῖς λόγοις πιστεύειν, ἄλλως τε καὶ περὶ πραγμάτων κοινῶν καὶ μεγάλων, καὶ συμφερόντων τῇ πόλει; Ἐγὼ τοίνυν τοσοῦτον ἀφέστηκα τοῦ ἀδίκως τὴν εἰσαγγελίαν κατὰ Λεωκράτους ποιήσασθαι, ὅσον ἐγὼ μὲν ἐβουλόμην τοῖς ἰδίοις κινδύνοις ἐν τοῖς Λεωκράτους οἰκέταις καὶ θεραπαίναις βασανισθεῖσι τὸν ἔλεγχον γενέσθαι. Οὑτοσὶ δὲ, διὰ τὸ συνειδέναι ἑαυτῷ, οὐχ ὑπέμεινεν,[6] ἀλλ' ἔφυγεν. Καίτοι, ὦ ἄνδρες, πολὺ θᾶττον οἱ Λεωκράτους οἰκέται καὶ θεράπαιναι τῶν γενομένων[7] ἄν τι ἠρνήθησαν, ἢ τὰ μὴ ὄντα τοῦ ἑαυτῶν δεσπότου κατεψεύσαντο.

§ 10. Χωρὶς τοίνυν τούτων, Λεωκράτης ἀναβοήσεται αὐτίκα, ὡς ἰδιώτης ὢν, καὶ ὑπὸ τῆς τοῦ ῥήτορος καὶ συκοφάντου δεινότητος ἀναρπαζόμενος. Ἐγὼ δὲ ἡγοῦμαι πάντας ὑμᾶς εἰδέναι, ὅτι τῶν μὲν δεινῶν καὶ συκοφαντεῖν ἐπιχειρούντων ἔργον ἐστὶν ἅμα τοῦτο προαιρεῖσθαι,[2] καὶ ζητεῖν τὰ χωρία ταῦτα, ἐν οἷς τοὺς παραλογισμοὺς κατὰ τῶν ἀγωνιζομένων ποιήσονται·

---

ληψεις. κ. λ. τ. » — 4. Ὁ γὰρ ΤΟΝ πάντων [τῶν] συνειδότων ἔλεγχον φυγὼν κ. τ. λ.) Τὸ μὲν δεύτερον ἄρθρον (τόν, ΑΤ, τῶν) ἐξ ἑτέρων διορθώσεως· ἐξ ἡμετέρας δὲ τὸ προστεθὲν τρίτον (τῶν). Ὁ πρὸ ἐμοῦ ἐξέδωκεν, «Ὁ γὰρ ΤΩΝ πάντων συνειδότων ἔλεγχον φυγών.» Ἡ ἀρχαία γραφὴ ἦν «Ὁ γὰρ ΤΩΝ πάντων ἔλεγχον φυγὼν,» ἐλλείπουσα τῇ πρώτῃ μετοχῇ· δι' ὃ ἄλλοι ἄλλως διορθοῦν ἐπεβάλοντο, οἱ μὲν «Ὁ γὰρ τὸν πάντων ἰσχυρότατον ἔλεγχον φυγών.» γράφειν δεῖν εἰκάσαντες, ἵν' ᾖ τὸν πάντων τῶν ἐλέγχων ἰσχυρότατον ἔλεγχον, οἱ δὲ, «Ὁ γὰρ τὸν πάντων ἀκριβέστατον ἔλεγχον φυγών.» Ἦν δὲ καὶ ἀπραγμονέστερον διορθοῦν, «Ὁ γὰρ τὸν τούτων ἔλεγχον φυγών» τουτέστι τῶν οἰκετῶν. Ἀλλὰ νῦν εὑρεθείσης ἐν τοῖς ἀντιγράφοις τῆς μετοχῆς, οὐκ ἄλλως οἶμαι γραπτέον εἶναι, ἢ ὡς ἔγραψα. Ἔστι δὲ καὶ περὶ τοῦ Πάντων διστάσαι, εἰ γνήσιον· ἁπλουστέρα γὰρ ἂν ἦν μακρῷ ἡ γραφὴ, εἰ οὕτως εἶχεν, Ὁ γὰρ τὸν τῶν συνειδότων ἔλεγχον φυγών.» Συνειδότας δὲ λέγει τὰς θεραπαίνας καὶ τοὺς οἰκέτας Λεωκράτους. — 5. Συνειδῶσιν ἃ δεῖ.) Τῶν κριτικῶν τις παρῄνει γράφειν μετ' ἀπαγορεύσεως, ἃ μὴ δεῖ. Ἴσως ἐγέγραπτο πάλαι ἃ ζητεῖται, ὡς ἡρμήνευσε καὶ ὁ Λατῖνος μεταφραστὴς, quæ inquinruntur. Περὶ δὲ τῆς γνώμης ταύτης Λυκούργου, δικαιότατον κρίνοντος τὸ τοὺς δούλους βασανίζειν, ἔπιθι τὰ ἐν ἄλλοις (Προλεγόμ. εἰς τὰ Ἀριστοτέλ. Πολιτικ. σελ. ό) σημειωθέντα. — 6. Οὑτοσὶ δὲ, διὰ τὸ συνειδέναι ΕΑΥΤΩ, οὐχ ὑπέμεινεν) Ἐκ τῆς Στεφάνου διορθώσεως ὁ πρὸ ἐμοῦ καὶ οἱ λοιποὶ σχεδὸν ἅπαντες, ἀντὶ τοῦ ΕΑΥΤΟΝ· Καὶ ἡ μὲν διόρθωσις ἀναμφίλεκτος, ὁ δὲ νοῦς, καθ' ὃν αὐτὴν ἐξηγήσαντο, οὔ μοι δοκεῖ ἠκριβῶσθαι· ἀναφέρουσι γὰρ εἰς τὸν φεύγοντα, διὰ τὸ συνειδέναι τὸν Λεωκράτην ἑαυτῷ, δέον εἰς τοὺς οἰκέτας, οὐχ ὑπέμεινε Λεωκράτης τὸν ἐκ τῶν βασάνων ἔλεγχον, διὰ τὸ τοὺς οἰκέτας καὶ τὰς θεραπαίνας συνειδέναι αὐτῷ τὰ εἰργασμένα. Περὶ γὰρ αὐτῶν τούτων εἴρηκε μικρὸν ἀνωτέρω, «Ὁ γὰρ τὸν πάντων τῶν συνειδότων ἔλεγχον φυγών.» — 7. Τῶν γενομένων.) ΒΔ, ΑΤ, τῶν λεγομένων. Καὶ ὁ Λατῖνος δὲ μεταφραστὴς quæ facta fuerant εἴρηκε.

§ 10. 2. Τοῦτο προαιρεῖσθαι) Τὸ

τῶν δὲ δικαίως τὰς κρίσεις ἐνισταμένων, καὶ τοὺς ἐνόχους ταῖς ἀραῖς ἀκριβῶς ἀποδεικνύντων, τἀναντία φαίνεσθαι τούτοις ποιοῦντας, ὥσπερ ἡμεῖς.[3] Οὑτωσὶ δὲ διαλογίζεσθε περὶ τούτων παρ' ὑμῖν αὐτοῖς· τίνας ἀδύνατον ἦν τῇ δεινότητι καὶ ταῖς παρασκευαῖς ταῖς τοῦ λόγου παραγαγεῖν; τοὺς οἰκέτας·[4] κατὰ φύσιν τοίνυν βασανιζόμενοι, πᾶσαν τὴν ἀλήθειαν περὶ πάντων τῶν ἀδικημάτων ἔμελλον φράσειν οἱ οἰκέται καὶ αἱ θεράπαιναι· ἀλλὰ τούτους ὁ Λεωκράτης παραδοῦναι ἔφυγε, καὶ ταῦτα οὐκ ἀλλοτρίους, ἀλλ' αὐτοῦ ὄντας. Τίνας δὲ δυνατὸν εἶναι δοκεῖ τοῖς λόγοις ψυχαγωγῆσαι,[5] καὶ τὴν ὑγρότητα αὐτῶν τοῦ ἤθους[6] τοῖς δακρύοις εἰς ἔλεον προαγαγέσθαι; τοὺς δικαστάς· ἐνταῦθα Λεωκράτης ὁ προδότης τῆς πατρίδος ἐλήλυθεν, οὐδὲν ἕτερον ἢ φοβούμενος μὴ ἐκ τῆς αὐτῆς οἰκίας οἵ τ' ἐξελέγχοντες τὸ ἔργον[7] καὶ ὁ ἐξελεγχόμενος γένηται. Τί γὰρ ἔδει προφάσεων, ἢ λόγων ἢ σκήψεως; ἁπλοῦν τὸ δίκαιον· ῥᾴδιον τὸ ἀληθές· βραχὺς ὁ ἔλεγχος. Εἰ μὲν ὁμολογεῖ τὰ ἐν τῇ εἰσαγγελίᾳ ἀληθῆ καὶ ὅσια[8] εἶναι, τί οὐ τῆς ἐκ τῶν νόμων τιμωρίας τυγχάνει; εἰ δὲ μή φησι ταῦτα ἀληθῆ εἶναι, τί οὐ παραδέδωκε τοὺς οἰκέτας καὶ τὰς θεραπαίνας; προσήκει γὰρ τὸν ὑπὲρ προδοσίας κινδυνεύοντα καὶ παραδιδόναι βασανίζειν,[9] καὶ μηδένα τῶν ἀκριβεστάτων ἐλέγχων φεύγειν. Ἀλλ' οὐδὲν τούτων ἔπραξεν· ἀλλὰ καταμεμαρτυρηκὼς ἑαυτοῦ, ὅτι προδότης ἐστὶ τῆς πατρίδος καὶ τῶν ἱερῶν καὶ τῶν νόμων, ἀξιώσει ὑμᾶς ἐναντία ταῖς αὐτοῦ ὁμολογίαις καὶ μαρτυρίαις ψηφίσασθαι. Καὶ πῶς δίκαιόν ἐστι τὸν τὴν ἐξουσίαν τῆς ἀπολογίας αὑτοῦ ἔξ ἄλλων τε πολλῶν καὶ ἐκ τοῦ μὴ δέξασθαι τὰ δίκαια περιῃρημένον, τοῦτον ἐᾶσαι ὑμᾶς αὐτοὺς ὑπὲρ τῶν ὁμολογουμένων ἀδικημάτων ἐξαπατῆσαι. Περὶ μὲν οὖν τῆς προκλήσεως καὶ τοῦ ἀδικήματος,

---

συκοφαντεῖν. — 3. Ὥσπερ ἡμεῖς.) Φαινόμεθα ποιοῦντες. Ἀποκατέστησα ἣν καὶ αἱ λοιπαὶ ἐκδόσεις φέρουσι γραφήν, ἀνθ' ἧς ὁ πρὸ ἐμοῦ εἰλήφει ἐξ ἀντιγράφων τὸ δευτεροπρόσωπον ὑμεῖς. — 4. Παραγαγεῖν; τοὺς οἰκέτας.) Διέγραψε τὰς δύο τελευταίας λέξεις ὁ πρὸ ἐμοῦ, ἀντιγράφοις πεισθείς. Παραγαγεῖν δ' ἐστὶ κατὰ λέξιν τὸ τῶν Γάλλων sèduire. — 5. Ψυχαγωγῆσαι.) Απατῆσαι· ὅθεν καὶ «ψυχαγωγός... ὁ ἀπατεὼν κ. τ. λ» παρ' Ἡσυχίῳ. — 6. Τὴν ὑγρότητα .... τοῦ ἤθους.) Τὴν μαλακότητα, καὶ τὸ συμπαθὲς τοῦ τρόπου. «Ὑγρὸν τὸ ἁπαλόν· ὡς τοὺς ὀρχηστὰς ὑγροὺς λέγομεν.» Καὶ «Ὑγρόγελως ὁ ὑγρὸν καὶ διακεχυμένον γελῶν, καὶ μὴ «αὐστηρὸν καὶ βίαιον» (Bekker, Anecd. græc. pag. 67 et 115.) — 7. Οἵ τ' ἐξελέγχοντες τὸ ἔργον.) ΠΔ (συνᾴδουσα τῇ Λατινικῇ μεταφράσει redarguentes opus eius) ΑΤ, τῷ ἔργῳ. Τὸ ἔργον δηλονότι τὸ ὑπὸ Λεωκράτους εἰργασμένον· ἐρεῖ γὰρ καὶ ἐν τοῖς ἑξῆς (§ 17) «Ἤπου ταχέως ἂν ἠνέσχετό τις... «τοιοῦτον ἔργον» — 8. Ὅσια.) Δίκαια. — 9. Παραδιδόναι βασανίζειν.) Ἐξ ΕΔ (ἣν καὶ ἕτεροι ἀπεδέξαντο.) διέγραψα τὸν σύνδεσμον, τοῦ πρὸ ἐμοῦ, ὥσπερ καὶ ἑτέρων, γραψάντων παραδιδόναι καὶ βασανίζειν. Ἐρεῖ δὲ καὶ ἐν τοῖς ἑξῆς (σελ. 540.) καθ' ὁμοίαν σύνταξιν, «παρασχόντα τάξαι.» Εἴρηκε καὶ Ἰσοκράτης (Τραπεζιτ. § 9, σελ. 331) «Παραδοῦναι βασανίζειν» καὶ (σελ. 364) «Ἐκδοίη βασανίσαι.»

ὅτι ὁμολογούμενόν ἐστιν, ἱκανῶς ὑμᾶς ἡγοῦμαι, ὦ ἄνδρες, μεμαθηκέναι.

§ 11. Ἐν οἷς δὲ καιροῖς, καὶ ἡλίκοις κινδύνοις τὴν πόλιν οὖσαν Λεωκράτης προδέδωκεν, ἀναμνῆσαι ὑμᾶς βούλομαι. Καί μοι λαβὲ τὸ ψήφισμα, γραμματεῦ, τὸ Ὑπερίδου, καὶ ἀναγίνωσκε. ΨΗΦΙΣΜΑ. Ἀκούετε τοῦ ψηφίσματος, ὦ ἄνδρες, ὅτι τὴν βουλὴν τοὺς πεντακοσίους καταβαίνειν εἰς Πειραιᾶ χρηματιοῦσαν περὶ φυλακῆς τοῦ Πειραιῶς ἐν τοῖς ὅπλοις ἔδοξε, καὶ πράττειν διεσκευασμένην[2] ὅ,τι ἂν δοκῇ τῷ δήμῳ συμφέρον εἶναι. Καίτοι, ὦ ἄνδρες, εἰ οἱ ἀφειμένοι[3] τοῦ στρατεύεσθαι ἕνεκα τοῦ βουλεύεσθαι ὑπὲρ τῶν τῆς πόλεως, ἐν τῇ τῶν στρατιωτῶν τάξει διέτριβον, ἆρ' ὑμῖν δοκοῦσι μικροὶ καὶ οἱ τυχόντες φόβοι τότε τὴν πόλιν κατασχεῖν; Ἐν οἷς Λεωκράτης οὑτοσί, καὶ αὐτὸς ἐκ τῆς πόλεως ἀποδρὰς ᾤχετο, καὶ τὰ χρήματα τὰ ὑπάρχοντα ἐξεκόμισε, καὶ ἱερὰ τὰ πατρῷα μετεπέμψατο· καὶ εἰς τοσοῦτον προδοσίας ἦλθεν, ὥστε κατὰ τὴν αὐτοῦ προαίρεσιν, ἔρημοι μὲν ἦσαν οἱ ναοὶ *τῶν ἱερέων*,[4] ἔρημοι δὲ αἱ φυλακαὶ τῶν τειχῶν· ἐξελέλειπτο δὲ ἡ πόλις καὶ ἡ χώρα. Καίτοι κατ' ἐκείνους τοὺς χρόνους, ὦ ἄνδρες, τίς οὐκ ἂν τὴν πόλιν ἠλέησεν, οὐ μόνον πολίτης, ἀλλὰ καὶ ξένος ἐν τοῖς ἔμπροσθεν χρόνοις ἐπιδεδημηκώς; τίς δ' ἦν οὕτως ἢ μισόδημος τότε ἢ μισαθήναιος, ὅστις ἐδυνήθη *ἂν* ἄτακτον ἑαυτὸν ὑπομεῖναι ἰδεῖν,[5] ἡνίκα ἡ μὲν ἧττα καὶ τὸ γεγονὸς πάθος *τῷ δήμῳ* προσηγγέλετο,[6] ὀρθὴ δὲ ἦν ἡ πόλις ἐν τοῖς συμβεβηκόσιν,[7] αἱ δ' ἐλπίδες τῆς σωτηρίας τῷ δήμῳ ἐν τοῖς ὑπὲρ πεντήκοντα ἔτη γεγονόσι καθειστήκεσαν; ὁρᾷν δ' ἦν ἐπὶ μὲν τῶν θυρῶν γυναῖκας ἐλευθέρους περιφόβους, κατεπτηχυίας, καὶ πυνθανομένας εἰ ζῶσι, τὰς μὲν ὑπ' ἀνδρός, τὰς δ' ὑπὲρ πατρός, τὰς δ' ὑπὲρ ἀδελφῶν, ἀναξίως αὑτῶν καὶ τῆς πόλεως ὁρωμένας·[8] τῶν δὲ ἀνδρῶν

§ 11. 2. Διεσκευασμένην.) ὡπλισμένην. «Διεσκευασμένοι, ἡτοιμασμένοι, ἔνοπλοι, ξιφήρεις εἰς πόλεμον» φησὶν Ἡσύχιος· ἔνθα τὸ εἰς πόλεμον, ἀβλεψίᾳ τῶν γραψάντων, μετατετοπίσθαι ἔοικεν ἐκ τῆς οἰκείας μετὰ τὸ ἡτοιμασμένοι χώρας. — 3. Ἀφειμένοι.) Προειλόμην μεθ' ἑτέρων τὸν προκείμενον, ἀνθ' οὗ ὁ πρὸ ἐμοῦ ἔγραψεν ἀορίστως, ἀφέμενοι, ἀντὶ τοῦ ἐν ταῖς προτέραις ἐκδόσεσιν, ἀφιέμενοι. — 4. Ἔρημοι... οἱ ναοὶ τῶν ἱερέων.) Τῶν ἱερῶν γράφειν τις παρῄνει τῶν κριτικῶν, καὶ οὐ Τῶν ἱερέων, ὃ κἀμοὶ ἀπαρέσκει. Ἴσως περιττὸν ἑκάτερον, καθὰ καὶ ἑτέροις ἔδοξε. — 5. Ἐδυνήθη ἄν... ὑπομεῖναι ἰδεῖν.) Διαγραπτέος μοι εἶναι ἔδοξεν, ὡς ἀτόπως πλεονάζων, ὁ δυνητικός. Εἶχε δὲ καὶ συντομώτερον φράσαι ὁ ῥήτωρ, Ὅστις ὑπέμεινεν ἂν ἄτακτον ἑαυτὸν ἰδεῖν· καὶ οὐκ ἂν ἐπλεόναζε τηνικαῦτα ὁ δυνητικός. — 6. Τῷ δήμῳ προσηγγέλετο.) Τὰς δύο πρώτας λέξεις (τῷ δήμῳ) ὁ πρὸ ἐμοῦ ἀπέκλεισεν ὅλως τοῦ κειμένου, ἀντιγράφοις πεισθείς. — 7. Ὀρθὴ δὲ ἦν ἡ πόλις ἘΝ τοῖς συμβεβηκόσιν.) Ἴσως γραπτέον, ἘΠΙ, ὡς καὶ Ἰσοκράτης (Πρὸς Φίλιππ. § 29, σελ. 93,) συνέταξε τὴν φράσιν τουτέστι διὰ τὰ συμβεβηκότα, ὡς ὁ αὐτὸς Ἰσοκράτης ἀλλαχοῦ (Περὶ τοῦ ζεύγ. § 3. σελ. 348.) Εἴρηκεν· «Ὀρθῆς δὲ τῆς πόλεως »γενομένης διὰ τὸ μέγεθος τῶν αἰτιῶν.» Ἴδε καὶ τὰ ἐκεῖ (τόμ. Β, σελ. 72 καὶ 252) σημειωθέντα περὶ τοῦ Ὀρθὸν εἶναι ἢ γίγνεσθαι. — 8. ἀναξίως αὑτῶν καὶ τῆς πόλεως ὉΡΩΜΈΝΑΣ.) Τὴν τελευταίαν λέξιν διαφόρως οἱ πρὸ ἡμῶν

τοὺς τοῖς σώμασιν ἀπειρηκότας καὶ ταῖς ἡλικίαις[9] πρεσβυτέρους, καὶ ὑπὸ τῶν νόμων τοῦ στρατεύεσθαι ἀφειμένους,[10] ἰδεῖν ἦν καθ' ὅλην τὴν πόλιν ἐπὶ γήρως οὐδῷ[11] διαφθειρομένους,[12] διπλᾶ ἱμάτια ἐμπεπορπημένους.[13] Πολλῶν δὲ καὶ δεινῶν κατὰ τὴν πόλιν

---

διορθῶται ἀπεβάλοντο, οἱ μὲν εἰς τὸ ὁρμωμένας ἢ ὁρωμένας, οἱ δὲ εἰς τὸ θρεομένας τρέποντες. Ὁ δὲ πρὸ ἐμοῦ καὶ ἄλλην, εἴτε διάφορον γραφὴν, εἴτε διόρθωσιν (τοῦτο γὰρ οὐδ' αὐτὸς εἶχε δηλῶσαι, μὴ δεδηλωκότος τοῦ πρὸ αὐτοῦ τὸν Λυκοῦργον ἐν Βόννῃ τῇ πρὸς τῷ Ῥήνῳ ἐκδόντος), ἐσημειώσατο (Præfat. Pag. XX), τὴν, ὈΔΥΡΟΜΕΝΑΣ. Καὶ εἰ μὲν εἴληπται ἐξ ἀντιγράφων, ταύτην ἀναμφιλέκτως καταχωριστέον καὶ εἰς τὸ τοῦ ῥήτορος κείμενον, μηδὲν πλέον περιεργαζομένους. Εἰ δὲ εἰκάσας εἰς τοῦτο μετεποίησε τὸ ὁρωμένας, ὁ πρῶτος γράψας, οὐκ ἀπίθανος ἡ διόρθωσις. Ἴσως δ' οὖν, οὐδὲ τοῦτο τὴν ἀρχὴν ἔγραψεν ὁ ῥήτωρ, ἀλλὰ τὸ ΕΡΡΟΜΕΝΑΣ. Δύναται δὲ τοῦτο ταὐτὸν τῷ Διαφθειρομένας (ᾧπερ αὐτίκα χρήσεται ὁ ῥήτωρ ἐπὶ τῶν ἀνδρῶν, λέγων, «Ἐπὶ γήρως οὐδῷ διαφθειρομένους») τουτέστιν, ὧδε κἀκεῖσε περιπλανωμένας. Λέγεται γὰρ οὐ μόνον κατ' οὐδέτερον, ἀλλὰ καὶ κατὰ παθητικὸν τύπον τὸ Ἔρρειν, ὡς δηλοῖ καὶ »ὁ Ἡσύχιος: «Ἔρρε, φθείρου, ἀπαλ»λάσσου» καὶ «Ἐρρεται φθαρεῖται» ὃ τρεπτέον εἰς τὸ Ἐρρήσεται, φθαρεῖται, ἢ εἰς τὸ Ἔρρεται, φθείρεται. Δεδήλωται δὲ, ὅτι ἐκ τοῦ Ἑλληνικοῦ Ἔρρειν γεγέννηται καὶ τὸ Ῥωμαϊκὸν errare, καὶ τὸ τῶν Γάλλων errer, τὸ πλανᾶσθαι. — 9. Ταῖς ἡλικίαις.) Ἀντὶ τοῦ, τὰς ἡλικίας, ἔγραψα ταῖς ἡλικίαις, ἐκ τοῦ Σουΐδα, ὅς φησι, τοῦτο τοῦ Λυκούργου παρατιθέμενος τὸ χωρίον· «Πεπορπη»μένος, ἱμάτιον διπλοῦν περικείμενος »πόρπῃ συνεχόμενον, ὡς μὴ ἀφίστα»σθαι τῶν ὤμων. Κεῖται παρὰ Λυκούρ»γῳ ἐν τῷ Κατὰ Τιμοκράτους (γρ. »Λεωκράτους)· τῶν δ' ἀνδρῶν τοὺς τοῖς »σώμασιν ἀπειρηκότας, καὶ ταῖς ἡλι»κίαις πρεσβυτέρους, καὶ ὑπὸ τῶν νό»μων τοῦ στρατεύεσθαι ἀφειμένους, »ἰδεῖν ἦν καθ' ὅλην τὴν πόλιν τότ' ἐπὶ »γήρως οὐδῷ περιφθειρομένους, διπλᾶ »ἱμάτια ἐμπεπορπημένους.» — 10. Ἀφειμένους.) Οὕτως ἔγραψα ἐκ τοῦ Σουΐδα, ἀντὶ τοῦ ἀφεμένους. — 11. Ἐπὶ γήρως οὐδῷ.) οὐδῷ ὁ Σουΐδας μετὰ ψιλῆς, ἢ οὕτω τὴν ἀρχὴν πεπνευματισμένου τοῦ ὀνόματος, ἢ τοῦ Κυστέρου φιλώσαντος, εἰς διάκρισιν τοῦ Ὁδὸς (chemin). Διαφέρει μέντοι τὸ Ἰωνικὸν οὐδὸς τοῦ ὀδὸς οὐδενὶ ἢ τῇ συνήθει τοῖς Ἴωσιν εἰς δίφθογγον τροπῇ τῆς ἀρχούσης καὶ ψιλώσει, κατὰ τὸ ὄρος, οὖρος, καὶ ὅλος, οὖλος· καὶ ἔστιν ἡ φράσις τοῦ Ποιητοῦ (Ἰλιάδ. χ', 60),

Δύσμορον, ὅν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ
Αἴσῃ ἐν ἀργαλέῃ φθίσει, κακὰ πολλ' ἐπιδόντα.

Ἴσον δὲ ἐνθάδε δύναται τὸ τοῦ ῥήτορος Ἐπὶ γήρως οὐδῷ, οὐ τῷ Ἐπ' αὐτῷ τῷ γήρᾳ, ἀλλὰ τῷ Ἐν τῇ ὁδῷ τοῦ γήρως, βαδίζοντας πρὸς τὸ γῆρας, ὡς ἐδήλωσε καὶ ἐκ τοῦ πρεσβυτέρους καὶ ὑπὲρ τὰ πεντήκοντα ἔτη γεγονότας αὐτοὺς εἰπεῖν· ἀπὸ γὰρ τοῦ πεντηκοστοῦ ἕκτου ἔτους ἄρχεσθαι τὴν τῶν γερόντων ἡλικίαν ἐσημειωσάμεθα καὶ ἐν ἄλλοις (εἰς τὰ Ἀριστοτέλ. Πολιτικ. σελ 321). Ὡσαύτως καὶ τῷ Κεφάλῳ συνὼν ὁ Σωκράτης (Πλάτ. Πολιτ. ά, σελ. 328) λέγει, «Χαίρω διαλεγόμενος τοῖς σφό»δρα πρεσβύταις... καὶ δὴ καὶ σοῦ »ἡδέως ἂν πυθοίμην, ὅ,τι σοι φαίνεται »τοῦτο· ἐπειδὴ ἐνταῦθα ἤδη εἶ τῆς »ἡλικίας, ὃ δὴ ἐπὶ γήραος οὐδῷ φασιν »εἶναι οἱ ποιηταί.» — 12. Διαφθειρο»μένους.) Ἄμεινον ἔοικεν εἶναι τὸ παρὰ τῷ Σουΐδα Περιφθειρομένους, τουτέστιν, ὧδε κἀκεῖσε κακῇ τύχῃ πλανωμένους, τέτακται μέντοι καὶ ἡ Διὰ πρόθεσις ἔσθ' ὅτε ἐπὶ τῆς αὐτῆς τῇ Περὶ σημασίας, οἷόν ἐστι τὸ τοῦ Εὐριπίδου (Ὀρέστ. 1261) τουτί·

Δόχμια νῦν κόρας
Διάφερ' ὀμμάτων,
Ἐκεῖθεν ἐνθάδ', εἶτ'
Ἐπ' ἄλλαν σκοπιάν.

Εἴρηται δὲ τῷ αὐτῷ (Ἱκέτ. 382) καὶ «Διαφέρων κηρύγματα» ὁ καθ' ὅλην τὴν πόλιν φερόμενος ἐπὶ τῷ κηρύσσειν καὶ διαγγέλλειν τὰ προστεταγμένα, ὁ ἐν τῇ συνηθείᾳ Διαλαλητὴς καλούμενος. — 13. Διπλᾶ ἱμάτια ἐμπεπορπημένους.) Προειλόμην τὴν ἄνευ ἄρθρου παρὰ τῷ Σουΐδᾳ γραφὴν τῆς ἐκδεδομένης τέως Διπλᾶ τὰ ἱμάτια κ. τ. λ. Διπλοῦν ἱμάτιον ἐκαλεῖτο ἣν ἐφόρουν οἱ στρατευόμενοι χλαῖναν, πόρ-

γιγνομένων,[14] καὶ πάντων τῶν πολιτῶν τὰ μέγιστα ἠτυχηκότων, μάλιστ' ἂν τις ἤλγησε καὶ ἐδάκρυσεν ἐπὶ ταῖς τῆς πόλεως συμφοραῖς, ἡνίχ' ὁρᾶν ἦν τὸν δῆμον ψηφισάμενον, τοὺς μὲν δούλους, ἐλευθέρους,[15] τοὺς δὲ ξένους, Ἀθηναίους, τοὺς δ' ἀτίμους, ἐντίμους· ὃς πρῶτον ἐπὶ τῷ Αὐτόχθων εἶναι καὶ ἐλεύθερος ἐσεμνύνετο. Τοσαύτῃ δὲ ἡ πόλις ἐκέχρητο μεταβολῇ, ὥστε πρότερον μὲν ὑπὲρ τῆς τῶν ἄλλων Ἑλλήνων ἐλευθερίας ἀγωνίζεσθαι, ἐν δὲ τοῖς τότε χρόνοις ἀγαπᾶν,[16] ἐὰν ὑπὲρ τῆς αὐτῶν σωτηρίας ἀσφαλῶς δύνηται διακινδυνεῦσαι· καὶ πρότερον μὲν πολλῆς χώρας τῶν βαρβάρων ἐπάρχειν, τότε δὲ πρὸς Μακεδόνας ὑπὲρ τῆς ἰδίας κινδυνεύειν·

---

πῃ ἡ περόνη συνεχομένην περὶ τοὺς ὤμους, ὡς δηλοῖ καὶ Ὅμηρος (Ἰλιάδ. κ', 133) περὶ τοῦ ἐξιόντος εἰς μάχην Νέστορος λέγων,

Ἀμφὶ δ' ἄρα χλαῖναν περονήσατο φοινικόεσσαν,

ΔΙΠΛΗΝ, ἐκταδίην, οὔλη δ' ἐπενήνοθε λάχνη.

Ὅθεν ἐκλήθη καὶ Ἐμπερονατρὶς ἡ τοιαύτη χλαῖνα ἀπὸ τῆς περόνης ἢ πόρπης (agraffe) ᾗ συνείχετο περὶ τοὺς ὤμους, κατὰ τὸν Ἡσύχιον «Ἐμπερονατρίς, διπλοῦν ἱμάτιον», ἣν ὁ Θεόκριτος (εἰδ. ιε', 21 καὶ 79) ἁπλῶς Περοναστρίδα καὶ Περόναμα εἴρηκε. Καλεῖ δ' αὐτὴν Ὅμηρος καὶ Δίπλακα (Ἰλιάδ. γ', 126). Καὶ ἔοικεν ἡ αὐτὴ εἶναι τῇ Διβόλῳ, ἡ Διπλοΐδι καλουμένῃ παρ' ἄλλοις, »Δίβολον, φάρος διπλοῦν» φησὶν Ἡσύ»χιος· καὶ «Διβόλους χλαίνας, οἱ μὲν »διμίτους, οἱ δὲ διπλᾶς», πρὸς ἀντιδιαστολὴν τῶν Ἁπλοΐδων (Ἰλιάδ. ω', 230) ἢ Ἀπληγίδων καλουμένων χλαινῶν. Ἔνθα σημειωτέον καί, ὅτι διττῶς ἐξηγοῦντο οἱ γραμματικοὶ τὴν Δίπλακα ἢ Διπλοΐδα, οἱ μὲν διὰ τὸ δίμιτον καὶ παχυτέρῳ ἐρίῳ ὑφυφάσθαι, οἱ δὲ διὰ τὸ τηλικαύτην εἶναι τῇ ἐκτάσει, ὥστε διπλάζειν αὐτὴν ἔχειν ἐν τῷ περιβάλλεσθαι· καθ' ὃ ἐρρέθη καὶ ὁ Διογένης »τρίβωνα διπλῶσαι πρῶτος» (Διογ. Λαέρτ. VI, 22) καὶ ἕτερός τις στρατηγὸς (Πολυαίν. Δ, ιδ', 1, σελ. 146) Ἀρκάδας μιμήσασθαι, «τρίβωνα δι»πλοῦν ἐμπεπορπημένος.» Εἰ γάρ ἐστι, καθ' Ἡσύχιον ἡ «Ἀπληγίς, σύμμετρος »χλαῖνα, οὐ δυναμένη διπλωθῆναι» καὶ ἡ «Ἁπλοΐς, μικρὸν ἱμάτιον», εἰκὸς καὶ τὴν Διπληγίδα, ἢ Διπλοΐδα, μεῖζον ἱμάτιον εἶναι, δυνάμενον διπλωθῆναι, κατὰ τὸν τῶν Ἰβήρων Σάγον (Ρωμ. sagum, Γαλλ. saye), περὶ ὧν ὁ Ἀππιανὸς (VI, 42, σελ. 151) φησιν, ὅτι «Χρῶνται διπλοῖς ἱματίοις παχέσιν, »ἀντὶ χλαμύδων αὐτὰ περιπορπώμενοι, »καὶ τοῦτο σάγον ἡγοῦνται. «Προστίθει »τούτῳ καὶ Διόδωρον τὸν Σικελιώτην» (V, 33) λέγοντα περὶ τῶν Κελτιβήρων, «Φοροῦσι δ' οὗτοι σάγους μέλανας τραχεῖς »(ἴσ. παχεῖς) καὶ παραπλήσιον ἔχοντας τὸ ἔριον ταῖς αἰγείαις θριξίν. »Πλού»ταρχος δὲ (Ἀλέξ. § 32, σελ. 221) Ἐπιπόρπαμα καλεῖ τὸ ἔνδυμα τοῦτο, ἀπὸ τῆς Πόρπης· ὁ δὲ Στράβων (σελ. 294) καὶ Ἐφαπτίδα, ἐν οἷς περὶ τῶν Κίμβρων ἱερῶν φησίν, ὅτι παρηκολούθουν ταῖς συστρατευομέναις τοῖς ἀνδράσι γυναιξί, «ἐφαπτίδας ἐπιπεπορ»πημένας.» Ἡσυχίου αὐτὰς τὰς πόρπας »ἢ περόνας ἐφαπτίδας καλέσαντος· ἃς γὰρ λέγει » ΕΦΑΝΤΙΔΑΣ, ΠΟΡΝΑΣ« μεταποιητέον εἰς τὸ ΕΦΑΠΤΙΔΑΣ, ΠΕΡΟΝΑΣ. — 14. Γιγνομένων.) Ἴσ. γρ. γενομένων. — 15. Ψηφισάμενον, τοὺς μὲν δούλους, ἐλευθέρους κ. τ. λ.) Ὑπερίδης ἦν ὁ καὶ ταῦτα ψηφίσασθαι συμβουλεύσας, ὥσπερ καὶ τὰ ἀνωτέρω (§ 11), ἢ δῆλον ἐκ τοῦ Ψευδοπλουτάρχου, ἐν Ὑπερίδου βίῳ, ὅθι φησίν, ὅτι Ὑπερίδης, «κριθεὶς ὑπὸ Ἀριστογείτονος »παρανόμων ἐπὶ τῷ γράψαι μετὰ »Χαιρώνειαν, τοὺς μετοίκους πολίτας »ποιήσασθαι, τοὺς δὲ δούλους, ἐλευθέ»ρους, ἱερὰ δὲ καὶ παῖδας καὶ γυναῖ»κας εἰς τὸν Πειραιᾶ ἀποθέσθαι, ἀπέφυ»γεν. Αἰτιωμένων δέ τινων αὐτόν, ὡς »παριδόντα πολλοὺς νόμους ἐν τῷ ψη»φίσματι· Ἐπεσκότει (ἔφη) μοι τὰ »Μακεδόνων ὅπλα, καὶ οὐκ ἐγὼ τὸ ψήφι»σμα ἔγραψα, ἡ δ' ἐν Χαιρωνείᾳ μάχη. (Πλουτάρχ. τόμ. IV σελ. 404 Wyttenb.) — 16. ἀγαπᾶν.) Γαλλ. se contenter. »Ἀγαπᾶν· ἀποδέχεσθαι, ἢ τὸ ἀρκεῖσθαι »καὶ μηδὲν πλέον ἐπιζητεῖν.» (Bekker.

καὶ τὸν δῆμον, ὃν πρότερον Λακεδαιμόνιοι καὶ Πελοποννήσιοι, καὶ οἱ τὴν Ἀσίαν κατοικοῦντες Ἕλληνες βοηθὸν ἐπεκαλοῦντο, οὗτος ἐδεῖτο τῶν ἐξ Ἄνδρου, καὶ Κέω, καὶ Τροιζῆνος, καὶ Ἐπιδαύρου, ἐπικουρίαν αὐτῷ μεταπέμψασθαι. Ὥστε, ὦ ἄνδρες, τὸν ἐν τοῖς τοιούτοις φόβοις καὶ τηλικούτοις κινδύνοις καὶ τοσαύτῃ αἰσχύνῃ ἐγκαταλιπόντα τὴν πόλιν, καὶ μήτε ὅπλα θέμενον ὑπὲρ τῆς πατρίδος, μήτε τὸ σῶμα παρασχόντα τάξαι τοῖς στρατηγοῖς, ἀλλὰ φυγόντα, καὶ προδόντα τὴν τοῦ δήμου σωτηρίαν, τίς ἂν ἢ δικαστὴς φιλόπολις, καὶ εὐσεβεῖν βουλόμενος, ψήφῳ ἀπολύσειεν, ἢ ῥήτωρ κληθεὶς τῷ προδότῃ τῆς πόλεως βοηθήσειε; τὸν οὐδὲ συμπενθῆσαι τὰς τῆς πατρίδος συμφορὰς τολμήσαντα, οὐδὲ συμβεβλημένον οὐδὲν εἰς τὴν τῆς πόλεως καὶ τοῦ δήμου σωτηρίαν; | Καίτοι κατ' ἐκείνους τοὺς χρόνους, οὐκ ἔστιν ἥτις ἡλικία οὐ παρέσχετο αὑτὴν εἰς τὴν τῆς πόλεως σωτηρίαν, ὅτε ἡ μὲν χώρα τὰ δένδρα συνεβάλλετο, οἱ δὲ τετελευτηκότες τὰς θήκας,[17] οἱ δὲ νεῲ τὰ ὅπλα·[18] ἐπεμελοῦντο γὰρ οἱ μὲν τῆς τῶν τειχῶν κατασκευῆς, οἱ δὲ τῆς τῶν τάφρων,[19] οἱ δὲ τῆς χαρακώσεως·[20] οὐδεὶς δ' ἦν ἀργὸς τῶν ἐν τῇ πόλει· ἐφ' ὧν οὐδενὸς τὸ σῶμα τὸ ἑαυτοῦ παρέσχετο τάξαι Λεωκράτης· ὧν εἰκὸς ὑμᾶς ἀναμνησθέντας, τὸν μηδὲν ξυνενεγκεῖν,[21] μηδ' ἐπ' ἐκφορὰν ἐλθεῖν ἀξιώσαντα τῶν ὑπὲρ τῆς ἐλευθερίας καὶ τοῦ δήμου σωτηρίας ἐν Χαιρωνείᾳ τελευτησάντων θανάτῳ ζημιῶσαι, ὡς τὸ ἐπὶ τούτῳ μέρος ἀτάφων ἐκείνων τῶν ἀνδρῶν γεγενημένων, ὧν οὗτος οὐδὲ τὰς θήκας παριὼν ᾐσχύνθη ὀγδόῳ ἔτει τὴν πατρίδα αὐτῶν προσαγορεύων.[22]

§ 12. Περὶ ὧν, ὦ ἄνδρες,[2] μικρῷ πλείω βούλομαι διελθεῖν,

Anecdot. Græc. pag. 324). — 17. Οἱ δὲ τετελευτηκότες τὰς θήκας.) Τοὺς τάφους, τὰ μνημεῖα, ὧν ἀφαιροῦντες τοὺς λίθους, εἰς τὴν τῶν τειχῶν ἐχρῶντο κατασκευήν. — 18. Οἱ δὲ νεῲ τὰ ὅπλα.) Ἐν γὰρ τοῖς ναοῖς ὅπλα ἦν ἀνατεθειμένα ἀπὸ τῶν προτέρων πολέμων. — 19. Τῶν τάφρων.) Τῶν περὶ τὴν πόλιν ἢ τὸ τεῖχος ὀρυγμάτων (fossés). — 20. Χαρακώσεως.) Γαλλ. palissade, ἀπὸ τοῦ χαρακόω (palissader), ὃ καὶ χαρακίζω λέγεται. Ἡσύχιος, «Χαρακίζειν, ΣΠΑΙΡΕΙΝ, ΜΕΤΕΩΡΙΖΕΙΝ, διαιρεῖν·» ἔνθα, ἀντὶ τῆς πρώτης ἐξηγήσεως γραπτέον, οἶμαι, ΣΤΑΥΡΟΥΝ· καὶ γὰρ (κατὰ τὸν αὐτὸν). Σταυροί, οἱ καταπεπηγότες σκόλοπες, ΧΑΡΑΚΕΣ, καὶ πάντα τὰ ἑστῶτα ξύλα κ. τ. λ.» ἀντὶ δὲ τῆς δευτέρας, γράφοις ἂν ΜΕΘΟΡΙΖΕΙΝ, πλὴν εἰ μὴ καὶ τοῦ μετεωρίζειν ἕνεκα πολλάκις τοὺς χάρακας πήγνυσθαι φήσει τις, οἷον ἐπὶ τῶν ἀμπέλων, ἃς χάραξι (échalas) μετεώρους συνέχειν εἰώθασι. — 21. Μηδὲν ξυνενεγκεῖν.) ΗΔ, ΑΤ, μηδέ. Ὁ νοῦς, Τὸν μὴ ἀξιώσαντα συνενεγκεῖν μηδὲν, ὥσπερ οἱ λοιποί, οὓς φθάσας εἶπε συνενηνοχέναι, τὴν μὲν χώραν τὰ δένδρα, τοὺς δὲ τετελευτηκότας τὰς θήκας, τοὺς νεὼς δὲ τὰ ὅπλα. Εἴρηκε δὲ καὶ μικρὸν ἀνωτέρω, «συμβεβλημένον οὐδέν.» — 22. ΟΓΔΟΩ ἔτει τὴν πατρίδα αὐτῶν προσαγορεύων.) Ἴσως ἐγράφετο ΕΚΤΩ. Ἀνωτέρω μὲν γὰρ (§ 8.) οἰκῆσαί φησι Λεωκράτην ἐν Μεγάροις «πλείω ἢ πέντε ἔτη·» ἐν δὲ τοῖς ἑξῆς (§ 13), «πέντε ἔτη» καὶ μικρὸν ὑποβὰς, (§ 14) «ἓξ ἔτη συνεχῶς ἀποδημῆσαι,» καὶ τελευταῖον (§ 36.) «πλείω πέντ' ἢ ἓξ ἔτη.»

§ 12. 2. Ὦ ἄνδρες.) Ἐκ ΔΓ, προ-

καὶ ὑμῶν ἀκοῦσαι δέομαι, καὶ μὴ νομίζειν ἀλλοτρίους εἶναι τοὺς τοιούτους τῶν δημοσίων ἀγῶνας· αἱ γὰρ τῶν ἀγαθῶν εὐλογίαι τὸν ἔλεγχον σαφῆ κατὰ τῶν τἀναντία ἐπιτηδευόντων ποιοῦσιν. Ἔτι δὲ καὶ δίκαιον τὸν ἔπαινον, ὃς μόνος ἆθλον[3] τῶν κινδύνων τοῖς ἀγαθοῖς ἀνδράσιν ἐστὶ, τοῦτον, ἐπειδὴ κἀκεῖνοι εἰς τὴν κοινὴν σωτηρίαν τῆς πόλεως τὰς ψυχὰς αὐτῶν ἀνάλωσαν, ἐν τοῖς δημοσίοις καὶ κοινοῖς ἀγῶσι τῆς πόλεως, μὴ παραλιπεῖν. Ἐκεῖνοι γὰρ τοῖς πολεμίοις ἀπήντησαν ἐπὶ τοῖς ὁρίοις τῆς Βοιωτίας ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας μαχούμενοι, οὐκ ἐπὶ τοῖς τείχεσι τὰς ἐλπίδας τῆς σωτηρίας ἔχοντες, οὐδὲ τὴν χώραν κακῶς ποιεῖν προέμενοι τοῖς ἐχθροῖς· ἀλλὰ τὴν μὲν αὐτῶν ἀνδρείαν ἀσφαλεστέραν φυλακὴν εἶναι νομίζοντες τῶν λιθίνων περιβόλων, τὴν δὲ θρέψασαν αὐτοὺς αἰσχυνόμενοι περιορᾶν πορθουμένην, εἰκότως. Ὥσπερ γὰρ πρὸς τοὺς φύσει γεννήσαντας, καὶ τοὺς ποιητοὺς τῶν πατέρων οὐχ ὁμοίως ἔχουσιν ἅπαντες ταῖς εὐνοίαις, οὕτω καὶ πρὸς τὰς χώρας τὰς μὴ φύσει προσηκούσας, ἀλλ᾽ ὕστερον ἐπικτήτους γενομένας καταδεέστερον διάκεινται. Τοιαύταις δὲ γνώμαις χρησάμενοι, καὶ τοῖς ἀρίστοις ἀνδράσιν ἐξ ἴσου τῶν κινδύνων μετασχόντες, οὐχ ὁμοίως τῆς τύχης ἐκινδύνευσαν[4] τῆς γὰρ ἀρετῆς οὐ ζῶντες ἀπολαύουσιν, ἀλλὰ τελευτήσαντες, τὴν δόξαν ἐγκαταλελοίπασιν, οὐχ ἡττηθέντες, ἀλλ᾽ ἀποθανόντες ἔνθαπερ ἐτάχθησαν[5] ὑπὲρ τῆς ἐλευθερίας ἀμύνοντες. Εἰ δὲ δεῖ καὶ παραδοξότατον μὲν εἰπεῖν, ἀληθὲς δὲ, ἐκεῖνοι νικῶντες ἀπέθανον. Τὰ γὰρ ἆθλα τοῦ πολέμου τοῖς ἀγαθοῖς ἀνδράσιν ἐστὶν ἐλευθερία καὶ ἀρετή. Ταῦτα γάρ[6] ἀμφότερα τοῖς τελευτήσασιν ὑπάρχει. Ἔπειτα δὲ οὐδ᾽ οἷόν[7] τ᾽ ἐστὶν εἰπεῖν, ἥττης αἰτίους[8] τοὺς ταῖς διανοίαις μὴ πτήξαντας τὸν

---

σείληφα τὸ κλητικὸν μόριον. — 3. Ἔπαινον, ὃς μόνος ἆθλον κ. τ. λ.) Καὶ κτῆμα δὲ τοσούτῳ ἀσφαλέστερον, ὅσῳ καὶ παντὸς ἀπήλλακται φθόνου, ὥς φησι Δημοσθένης (Περὶ παραπρεσβ. σελ. 441), «Τῶν μὲν ἄλλων ἀγαθῶν οὐ μέτεστι »τοῖς τεθνεῶσιν· οἱ δ᾽ ἐπὶ τοῖς καλῶς »πραχθεῖσιν ἔπαινοι τῶν οὕτω τετελευ»τηκότων ἴδιον κτῆμά ἐστιν· οὐδὲ γὰρ »ὁ φθόνος αὐτοῖς ἔτι τηνικαῦτα »ἐναντιοῦται. — 4. Οὐχ ὁμοίως τῆς τύχης ἐκοινώνησαν.) Ἴσως ἐγέγραπτο, ὁμοίας. — 5. Ἔνθαπερ ἐτάχθησαν.) Ἐξ ΕΔ, ΑΤ, ἔνθα παρετάχθησαν. — 6. Τὰ γὰρ ἆθλα . . . ἐλευθερία καὶ ἀρετή· ταῦτα γὰρ κ. τ. λ.) Τὸν δεύτερον αἰτιολογικὸν (γὰρ) εἰς τὸν συμπλεκτικὸν (δὲ) τρεπτέον εἶναι, τινὲς παρῄνεσαν. Ἴσως τὸ πρῶτον ἄρθρον (Τὰ) εἰς ἀντωνυμίαν τρεπτέον, ἵν᾽ ᾖ πρότασις τῆς περιόδου, οὕτως· «Ἃ γὰρ ἆθλα »τοῦ πολέμου τοῖς ἀγαθοῖς ἀνδράσιν »ἐστὶν, ἐλευθερία καὶ ἀρετὴ, ταῦτα δ᾽ »ἀμφότερα (ἴσ. ταῦτ᾽ ἀμφότερα) τοῖς »τελευτήσασιν ὑπάρχει.» Σημειούσθω δὲ καὶ τὸ Ἀρετὴ, ἐπὶ τῆς δόξης ἐνθάδε κείμενον, ὡς καὶ παρὰ τῷ Θουκυδίδῃ (ά, 33), «Φέρουσα εἰς μὲν τοὺς »πολλοὺς ἀρετὴν, οἷς δὲ ἐπαμυνεῖτε, »χάριν·» ὅπερ καὶ ὁ Ἁρποκρατίων ἐσημειώσατο, λέγων· «Ἀρετὴ, ἀντὶ τοῦ »εὐδοξία· Θουκυδίδης ἐν πρώτῳ.» Καὶ ἕτερος Λεξικογράφος (Bekker, Anecd. Græc pag. 443), «Ἀρετή· Ἀνδοκίδης καὶ Θουκυδίδης, ἀντὶ τοῦ εὐδοξία.» — 7. Οὐδ᾽ οἷον.) Ὁ πρὸ ἐμοῦ ἐξ ἀντιγράφου ὁρμηθεὶς ἔτρεψεν εἰς τὸ οὐχ οἷον. — 8. Ἥττης αἰτίους.) Κατέ-

τῶν ἐπιόντων φόβον· μόνους γὰρ τοὺς ἐν τοῖς πολέμοις καλῶς ἀποθνήσκοντας, οὐδ᾽ ἂν εἷς ἡττηθῆναι δικαίως φήσειε· τὴν γὰρ δουλείαν φεύγοντες, εὐκλεᾶ θάνατον αἱροῦνται. Ἐδήλωσε δὲ ἡ τούτων τῶν ἀνδρῶν ἀρετή· μόνοι γὰρ τῶν ἁπάντων τὴν τῆς Ἑλλάδος ἐλευθερίαν ἐν τοῖς ἑαυτῶν σώμασιν εἶχον· ἅμα γὰρ οὗτοί τε τὸν βίον μετήλλαξαν, καὶ τὰ τῆς Ἑλλάδος εἰς δουλείαν μετέπεσε· συνετάφη γὰρ τοῖς τούτων σώμασιν ἡ τῶν ἄλλων Ἑλλήνων ἐλευθερία.[9] Ὅθεν καὶ φανερὸν πᾶσιν ἐποίησαν οὐκ ἰδίᾳ πολεμοῦντες, ἀλλ᾽ ὑπὲρ κοινῆς ἐλευθερίας προκινδυνεύοντες· ὥστε, ὦ ἄνδρες, οὐκ [ἂν] αἰσχυνθείην[10] εἰπὼν στέφανον τῆς πατρίδος εἶναι τὰς ἐκείνων ψυχάς. Καὶ δι᾽ ἃ οὐκ ἀλόγως ἐπετήδευον, ἐπίστασθε, ὦ Ἀθηναῖοι,[11] μόνοι τῶν Ἑλλήνων τοὺς ἀγαθοὺς ἄνδρας τιμᾶν· εὑρήσετε δὲ παρὰ μὲν τοῖς ἄλλοις ἐν ταῖς ἀγοραῖς ἀθλητὰς ἀνακειμένους, παρ᾽ ὑμῖν δὲ στρατηγοὺς ἀγαθοὺς καὶ τὸν τύραννον ἀποκτείναντας.[12] Καὶ τοιούτους μὲν ἄνδρας οὐδ᾽ ἐξ ἁπάσης τῆς Ἑλλάδος ὀλίγους εὑρεῖν ῥᾴδιον· τοὺς δὲ τοὺς στεφανίτας ἀγῶνας νενικηκότας εὐπετῶς πολλαχόθεν ἐστὶ γεγονότας ἰδεῖν. Ὥσπερ τοίνυν τοῖς εὐεργέταις μεγίστας τιμὰς ἀπονέμετε, οὕτω δίκαιον καὶ τοὺς τὴν πατρίδα καταισχύνοντας καὶ προδιδόντας ταῖς ἐσχάταις τιμωρίαις κολάζειν.

---

γνωσάν τινες τῶν πρὸ ἐμοῦ τοῦ κεκρικότος δεῖν τρέπειν τὰς δύο λέξεις εἰς μίαν, Ἡττῆσθαι. Αὐτὸς δὲ τοσούτου δέω καταγινώσκειν τοῦ ψυχρὸν ἡγησαμένου τὸ Ἥττης αἰτίους, ὥστε προελοίμην ἂν τούτου τὸ Ἡττῆσθαι, ἤγουν τὸ Ἥττους. — 9. Συνετάφη γὰρ τοῖς τούτων σώμασιν ἡ τῶν ἄλλων Ἑλλήνων ἐλευθερία.) Τοῦτο φαίνεται μεμιμημένος φάναι καὶ ὁ πατὴρ τοῦ εἰς τὸν Δημάδην ἀναφερομένου λόγου (Περὶ τῆς δωδεκαετ. σελ 271) περὶ τοῦ Ἐπαμινώνδου· «Τῷ γὰρ Ἐπαμινώνδου σώματι »συνέθαψε τὴν δύναμιν τῶν Θηβαίων »ὁ καιρός.» Περὶ τοῦ αὐτοῦ δὲ καὶ Ἰουστῖνος, Patriæ gloriam et natam et extinctam cum eo fuisse (JUSTIN VI, 8), τουτέστι, τὴν τῆς πατρίδος δόξαν καὶ συγγεγόναι καὶ συναπεσβέσθαι τῷ Ἐπαμινώνδᾳ. — 10. Οὐκ ἂν αἰσχυνθείην.) ΗΔ, ἡ προσθήκη τοῦ δυνητικοῦ. — 11. Καὶ ΔΙ' Ἃ οὐκ ἀλόγως ἐπετήδευον, ἐπίστασθε, ὦ Ἀθηναῖοι, κ. τ. λ.) Οὐκ ἀρκεῖ ἡ ὑπὸ Ῥεισκίου προβληθεῖσα διόρθωσις, προστιθέναι παραινοῦντος τὸν αἰτιολογικὸν σύνδεσμον. »Καὶ γὰρ δι᾽ ἃ κ. τ. λ.« Πλείω τούτου ἡμαρτηκέναι τοὺς ἀντιγραφέας οἶμαι, τὰ μὲν μεταποιήσαντας, τὰ δὲ καὶ παραλιπόντας. Ἴσως ἐγέγραπτο τὴν ἀρχήν· »Καί, ΝΗ ΔΙΑ, οὐκ ἀλόγως »ἐπετήδευον ΤΑΥΤΑ· ἐπίστασθε ΓΑΡ, »ὦ Ἀθηναῖοι κ. τ. λ.« Παρεμβάλλει δὲ κἂν τοῖς ἑξῆς (σελ. 41) λεγομένοις τὸν αὐτὸν ὅρκον, »εἰ μή, νὴ Δία, μὴ ταῦτα κ. τ. λ.» — 12. Καὶ τὸν τύραννον ἀποκτείναντας.) Οὐκ ἀλόγως ἔδοξέ τισι παραλελεῖφθαι καὶ ἕτερον ἄρθρον (καὶ τοὺς τόν,) ὅπερ εἶχον ἂν ὡρισμένως νοεῖσθαι ὁ Ἁρμόδιος καὶ ὁ Ἀριστογείτων. Ἀλλ᾽ ἴσως, πᾶν τοὐναντίον, ἐξελεῖν ἐχρῆν καὶ τὸ τέως σωζόμενον ἄρθρον (καὶ τύραννον ἀποκτείναντας), ἵν᾽ ᾖ ὁ νοῦς, ἀορίστως, Οἱ μὲν ἄλλοι Ἕλληνες ἀθλητὰς εἰκόσι τιμᾶν εἰώθασιν, ὑμεῖς δὲ στρατηγοὺς καὶ τυραννοκτόνους ταῖς τοιαύταις τιμαῖς γεραίρετε. Ἔστι μέντοι καὶ παρὰ τῷ κωμικῷ (Ἀριστοφάν. Θεσμοφ. 338) ἐνάρθρως ἐξενηνεγμένον, καίπερ οὐ περὶ Ἀριστογείτονος καὶ Ἁρμοδίου ποιουμένῳ τὸν λόγον,

. . . . . . . . . . . ἢ τυραννεῖν ἐπινοεῖ,
Ἢ τὸν τύραννον συγκατάγειν κ. τ. λ.

Εἴη δ᾽ ἂν οὖν τὸ παρὰ τῷ ἡμετέρῳ ῥήτορι Τὸν τύραννον, ἐξηγεῖσθαι, τὸν τυραννεῖν βουλόμενον.

§ 13. Σκέψασθε δέ, ὦ ἄνδρες, ὅτι οὐδ' ἐν ὑμῖν ἐστιν[2] ἀποψηφίσασθαι Λεωκράτους τουτουΐ, τὰ δίκαια ποιοῦσι· τὸ γὰρ ἀδίκημα τοῦτο κεκριμένον ἐστὶ καὶ κατεγνωσμένον. Ἡ μὲν γὰρ ἐπ' Ἀρείῳ πάγῳ βουλὴ (καὶ μηδείς μοι θορυβήσῃ·[3] ταύτην γὰρ ὑπολαμβάνω μεγίστην τότε γενέσθαι τῇ πόλει σωτηρίαν) τοὺς φυγόντας τὴν πατρίδα καὶ ἐγκαταλιπόντας τότε τοῖς πολεμίοις[4] λαβοῦσα ἀπέκτεινε. Καίτοι, ὦ ἄνδρες, μὴ νομίζετε τοὺς τὰ τῶν ἄλλων φονικὰ ἀδικήματα ὁσιώτατα[5] δικάζοντας, αὐτοὺς ἂν εἴς τινας τῶν πολιτῶν τοιοῦτόν τι παρανομῆσαι. Ἀλλὰ μὴν Αὐτολύκου[6] μὲν ὑμεῖς κατεψηφίσασθε, μείναντος μὲν αὐτοῦ ἐν τοῖς κινδύνοις, ἔχοντος δ' αἰτίαν τοὺς υἱεῖς[7] καὶ τὴν γυναῖκα ὑπεκθέσθαι, καὶ ἐτιμωρήσασθε. Καίτοι, εἰ τὸν τοὺς ἀχρήστους εἰς τὸν πόλεμον ὑπεκθέσθαι αἰτίαν ἔχοντα ἐτιμωρήσασθε, τί δεῖ πάσχειν, ὅστις ἀνὴρ ὢν, οὐκ ἀπέδωκε τὰ τροφεῖα τῇ πατρίδι; Ἔτι δὲ ὁ δῆμος, δεινὸν ἡγησάμενος εἶναι τὸ γιγνόμενον, ἐψηφίσατο ἐνόχους εἶναι τῇ προδοσίᾳ τοὺς φεύγοντας τὸν ὑπὲρ τῆς πατρίδος κίνδυνον, ἀξίους εἶναι νομίζων τῆς ἐσχάτης τιμωρίας. Ἃ δὴ κατέγνωσται μὲν παρὰ τῷ δικαιοτάτῳ συνεδρίῳ,[8] κατεψήφισται δὲ ὑφ' ὑμῶν τῶν δικάζειν λαχόντων, ὁμολογεῖται[9] δὲ παρὰ τῷ δήμῳ τῆς μεγίστης ἄξια εἶναι τιμωρίας, τούτοις ὑμεῖς ἐναντία ψηφιεῖσθε; πάντων ἄρ'[10] ἀνθρώπων ἔσεσθε ἀγνωμονέστατοι,[11] καὶ ἐλαχίστους ἕξετε τοὺς ὑπὲρ ὑμῶν αὐτῶν κινδυνεύοντας. Ὡς μὲν οὖν ἔνοχός ἐστι τοῖς εἰσηγγελμένοις ἅπασιν, ὦ ἄνδρες, Λεωκράτης, φανερόν ἐστι.

§ 14. Πυνθάνομαι δὲ αὐτὸν ἐπιχειρήσειν ὑμᾶς ἐξαπατᾶν, λέγοντα ὡς ἔμπορος ἐξέπλευσε, καὶ κατὰ ταύτην τὴν ἐργασίαν ἀπεδήμησεν εἰς Ῥόδον. Ἐὰν οὖν ταῦτα λέγῃ, ἐνθυμεῖσθε, ὡς ῥᾳ-

§ 13. 2. Οὐδ' ἐν ὑμῖν ἐστιν.) Ἀπεδεξάμην τὴν ἑτέρων διόρθωσιν, ἣν ἀπεδοκίμασεν ὁ πρὸ ἐμοῦ, ἀγαπήσας τῇ φερομένῃ γραφῇ, οὐδὲν ὑμῖν ἐστιν. — 3. Καὶ μηδείς μοι θορυβήσῃ.) Καὶ μηδεὶς ὑμῶν ἐπιταράξῃ μου διὰ θορύβου τὸν λόγον, ὅτι καὶ αὖθις (Ἰδ. ἀνωτέρ. § 4) τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς μνημονεύω. Εἰκὸς γὰρ τοὺς ἐκκλησιάζοντας οὐχ ἡδέως ἀκούειν ἐπαινουμένων τῶν Ἀρειοπαγιτῶν, ὡς οὐ πάνυ δημοτικῶν ὑπολαμβανομένων. — 4. Τοὺς φυγόντας τὴν πατρίδα καὶ ἐγκαταλιπόντας τότε τοῖς πολεμίοις κ. τ. λ.) Ὁ πρὸ ἐμοῦ, «τοὺς φεύγοντας τὴν πατρίδα καὶ καταλιπόντας τότε τοὺς πολεμίους.» Τὸ μὲν φυγόντας καὶ τὸ τοῖς πολεμίοις εἴληφα ἐξ ΕΔ, τὸ δὲ ἐγκαταλιπόντας ἐκ ΔΓ. Ἐρεῖ δὲ καὶ ἐν τοῖς ἑξῆς (§ 20.) περὶ Λεωκράτους, ὅτι τὴν πατρίδα ἐγκαταλιπὼν τοῖς πολεμίοις ᾤχετο. — 5. Ὁσιώτατα.) Δικαιότατα. — 6. Ἀλλὰ μὴν Αὐτολύκου κ. τ. λ.) Αὐτόλυκος. Λυ»κούργου λόγος ἐστὶ κατ' Αὐτολύκου τοῦ »Ἀρεοπαγίτου. Οὗτος δὲ τοὺς οἰκείους »ὑπεκτιθέμενος ἐν τοῖς Χαιρωνικοῖς ἑάλω, »καὶ κατεψηφίσαντο αὐτοῦ οἱ δικασταί, »ὡς ὁ αὐτὸς δηλοῖ ῥήτωρ ἐν τῷ κατὰ »Λεωκράτους.» (Ἁρποκρατ.) — 7. Τοὺς υἱεῖς.) Ἐκ ΔΓ, ΑΤ, τοὺς υἱούς. — 8. Παρὰ τῷ δικαιοτάτῳ συνεδρίῳ.) Τῶν Ἀρειοπαγιτῶν. — 9. Ὁμολογεῖται.) Γραπτέον, οἶμαι, ὡμολόγηται. — 10. Πάντων ἄρ'.) Ἐξ ΕΔ, ΑΓ, Πάντων γάρ. — 11. Ἀγνωμονέστατοι.) Ἀνοητότατοι.

δίως λήψεσθε αὐτὸν ψευδόμενον.[2] Πρῶτον μὲν γὰρ οὐκ ἐκ τῆς ἀκτῆς κατὰ τὴν πυλίδα ἐκβαίνουσιν[3] οἱ κατ' ἐμπορίαν πλέοντες, ἀλλ' ἐκ τοῦ λιμένος, ὑπὸ πάντων τῶν φίλων ὁρώμενοι καὶ ἀποστελλόμενοι· ἔπειτα, οὐ μετὰ τῆς ἑταίρας καὶ τῶν θεραπαινῶν, ἀλλὰ μόνοι[4] μετὰ παιδὸς τοῦ διακονοῦντος. Πρὸς δὲ, τί προσῆκεν ἐν Μεγάροις τὸν Ἀθηναῖον ὡς ἔμπορον πέντε ἔτη κατοικεῖν, καὶ τὰ ἱερὰ τὰ πάτρια μετακομίζεσθαι, καὶ τὴν οἰκίαν τὴν ἐνθάδε πωλεῖν, εἰ μὴ κατεγνώκει γε[5] αὐτοῦ προδεδωκέναι τὴν πατρίδα, καὶ μεγάλα πάντας ἠδικηκέναι; Ὃ καὶ πάντων γένοιτ' ἂν ἀτοπώτατον, εἰ περὶ ὧν αὐτὸς προσεδόκα τεύξεσθαι τιμωρίας, ταῦθ' ὑμεῖς ἀπολύσετε, κύριοι γενόμενοι τῆς ψήφου. Χωρὶς δὲ τούτων, οὐχ ἡγοῦμαι δεῖν ἀποδέχεσθαι ταύτην τὴν ἀπολογίαν· πῶς γὰρ οὐ δεινὸν τοὺς μὲν ἐπὶ ἐμπορίαν ἀποδημοῦντας σπεύδειν ἐπὶ τὴν τῆς πόλεως βοήθειαν, τοῦτον δὲ μόνον ἐν τοῖς τότε καιροῖς καὶ κατ' ἐργασίαν[6] ἐκπλεῖν, ἡνίκα οὐδ' ἂν εἷς προσκτήσασθαι οὐδὲν ἂν ἐζήτησεν, ἀλλὰ τὰ ὑπάρχοντα μόνον διαφυλάξαι; Ἡδέως δ' ἂν αὐτοῦ πυθοίμην, τίνα ἐμπορίαν εἰσάγων χρησιμώτερος ἐγένετο ἂν τῇ πόλει τοῦ παρασχεῖν τὸ σῶμα τάξαι τοῖς στρατηγοῖς, καὶ τοὺς ἐπιόντας ἀμύνασθαι μεθ' ὑμῶν μαχόμενος; Ἐγὼ μὲν οὐδεμίαν ὁρῶ τηλικαύτην οὖσαν βοήθειαν. Ἄξιον δέ ἐστιν οὐ μόνον αὐτῷ διὰ τὴν πρᾶξιν ὀργίζεσθαι ταύτην, ἀλλὰ καὶ διὰ τὸν λόγον τοῦτον·[7] φανερῶς γὰρ ψεύδεσθαι τετόλμηκεν· οὔτε γὰρ πρότερον οὐδεπώποτε ἐγένετο ἐπὶ ταύτης τῆς ἐργασίας, ἀλλ' ἐκέκτητο χαλκοτύπους,[8] οὔτε τότε ἐκπλεύσας οὐδὲν εἰσήγαγεν ἐκ Μεγάρων, ἓξ ἔτη συνεχῶς ἀποδημήσας. Ἔτι δὲ καὶ πεντηκοστῆς μετέχων ἐτύγχανεν, ἣν οὐκ ἂν καταλιπὼν κατ' ἐμπορίαν ἀπεδήμει. Ὥστ', ἂν μέν τι περὶ τούτων λέγῃ, οὐδ' ὑμᾶς ἐπιτρέψειν αὐτῷ νομίζω.

§ 15. Ἥξει δ' ἴσως ἐπ' ἐκεῖνον τὸν λόγον φερόμενος, ὃν αὐτῷ συμβεβουλεύκασί[2] τινες τῶν συνηγόρων, ὡς οὐκ ἔνοχός ἐστι τῇ προδοσίᾳ· οὔτε γὰρ νεωρίων κύριος, οὔτε πυλῶν, οὔτε στρατοπέδων, οὔθ' ὅλως τῶν τῆς πόλεως οὐδενός.[3] Ἐγὼ δ'

§ 14. 2. Λήψεσθε. . . . ψευδόμενον.) Προσόμοιον τῷ ἐν τῇ συνηθείᾳ, Θέλετε τὸν πιάσειν ψεύστην. — 3. Ἐκβαίνουσιν.) Ἐκ ΔΓ, ΛΤ, ἐμβαίνουσιν. Παράθες τούτοις τὰ ἀνωτέρω (§ 5-6) λελεγμένα. — 4. Μόνοι.) Μόνος, ἔγραψεν ὁ πρὸ ἐμοῦ, ἀντιγράφοις ἑπόμενος. — 5. Κατεγνώκει γε.) Ἐξ ΕΔ, ΛΤ, κατεγνώκει τε. — 6. Καὶ κατ' ἐργασίαν.) Κακῶς πλεονάζειν ἔδοξέ τισιν ὁ σύνδεσμος, κἀμοὶ συνδοκεῖ. — 7. Ἀλλὰ καὶ διὰ τὸν λόγον τοῦτον.) Παρέλιπε τὸν δεύτερον σύνδεσμον ὁ πρὸ ἐμοῦ, παραλελειμμένον καὶ ἔν τισι τῶν ἀντιγράφων. — 8. Χαλκοτύπους.) Ἴσον ἐνθάδε τῷ χαλκέας, τουτέστι τοὺς τὸν χαλκὸν τύπτοντας, ἐνεργητικῶς, οὐ κατὰ τὸ παρὰ τῷ Ποιητῇ (Ἰλιάδ. τ', 25) «χαλκοτύπους ὠτειλὰς» τὰς ὑπὸ τοῦ χαλκοῦ τυπωμένας.

§ 15. 2. Συμβεβουλεύκασι.) Ἐκ ΔΓ, ΛΤ, συμβεβλήκασι. — 3. Οὔθ' ὅλως ΤΩΝ τῆς πόλεως οὐδενός.) Ἀποκατέστησα τὴν

ἡγοῦμαι τοὺς μὲν τούτων κυρίους μέρος ἄν τι προδοῦναι τῆς ὑμετέρας δυνάμεως, τουτονὶ δ' ὅλην ἔκδοτον ποιῆσαι τὴν πόλιν. Ἔτι δ' οἱ μὲν τοὺς ζῶντας μόνον ἀδικοῦσι προδιδόντες· οὗτος δὲ καὶ τοὺς τετελευτηκότας, καὶ τὰ ἐν τῇ χώρᾳ ἱερὰ τῶν πατρῴων νομίμων ἀποστερῶν. Καὶ ὑπὸ μὲν ἐκείνων προδοθεῖσαν, οἰκεῖσθαι ἂν συνέβαινε· δούλην δὲ οὖσαν τὴν πόλιν, ὃν τρόπον οὗτος ἐξέλιπεν, ἀοίκητον ἂν γενέσθαι. Ἔτι δὲ ἐκ μὲν τοῦ κακῶς πράττειν τὰς πόλεις, μεταβολῆς τυχεῖν ἐπὶ τὸ βέλτιον εἰκός ἐστιν· ἐκ δὲ τοῦ παντάπασι γενέσθαι ἀναστάτους,[4] καὶ τῶν κοινῶν ἐλπίδων στερηθῆναι. Ὥσπερ γὰρ ἀνθρώπῳ, ζῶντι μὲν ἐλπὶς ἐκ τοῦ κακῶς πρᾶξαι μεταπεσεῖν, τελευτήσαντι δὲ συναναιρεῖται πάντα, δι' ὧν ἄν τις εὐδαιμονήσειεν, οὕτω καὶ περὶ τὰς πόλεις συμβαίνει πέρας ἔχειν τὴν εὐτυχίαν, ὅταν ἀνάστατοι γένωνται. Εἰ γὰρ δεῖ τὴν ἀλήθειαν εἰπεῖν, πόλεώς ἐστι θάνατος ἀνάστατον γενέσθαι. Τεκμήριον δὲ μέγιστον· ἡμῶν γὰρ ἡ πόλις τὸ μὲν παλαιὸν ὑπὸ τῶν τυράννων κατεδουλώθη, τὸ δ' ὕστερον ὑπὸ τῶν τριάκοντα, καὶ ὑπὸ Λακεδαιμονίων τὰ τείχη καθῃρέθη· καὶ ἐκ τούτων ὅμως ἀμφοτέρων ἠλευθερώθημεν, καὶ τῆς τῶν Ἑλλήνων εὐδαιμονίας ἠξιώθημεν προστάται γενέσθαι·[5] ἀλλ' οὐχ ὅσαι πώποτ' ἀνάστατοι γεγόνασι. Τοῦτο μὲν γὰρ (εἰ καὶ παλαιότερον εἰπεῖν ἐστι) τὴν Τροίαν τίς οὐκ ἀκήκοεν, ὅτι μεγίστη γεγενημένη τῶν τότε πόλεων, καὶ πάσης ἐπάρξασα τῆς Ἀσίας, ὡς ἅπαξ ὑπὸ τῶν Ἑλλήνων κατεσκάφη,[6] τὸν αἰῶνα ἀοίκητός ἐστι; τοῦτο δὲ, Μεσσήνην, πεντακοσίοις ἔτεσιν[7] ὕστερον ἐκ τῶν τυχόντων[8] ἀνθρώπων συνοικισθεῖσαν;

§ 16. Ἴσως οὖν τῶν συνηγόρων αὐτῷ τολμήσει τὶς εἰπεῖν μικρὸν τὸ πρᾶγμα ποιῶν, ὡς οὐδὲν ἂν παρ' ἕνα ἄνθρωπον ἐγένετο τούτων· καὶ οὐκ αἰσχύνονται τοιαύτην ἀπολογίαν ποιούμενοι πρὸς ὑμᾶς, ἐφ' ᾗ δικαίως ἂν ἀποθάνοιεν. Εἰ μὲν γὰρ ὁμολογοῦσι τὴν πατρίδα αὐτὸν ἐκλιπεῖν, τοῦτο συγχωρήσαντες, ὑμᾶς

---

μονονουχὶ ἐν ἁπάσαις ταῖς ἐκδόσεσι φερομένην ὀρθὴν γραφὴν, ἀντὶ τοῦ, ΤΟΥ, ὃ ἔγραψε μεθ' ἑτέρων τινῶν ὁ πρὸ ἐμοῦ. Συνεχωρεῖτ' ἂν ἴσως τὸ ἑνικὸν, εἰ ἐνεκλίνετο, «Οὔθ' ὅλως του κ. τ. λ.» ἵν' ᾖν, Οὔτ' οὐδενός τινος ὅλως τῆς πόλεως. — 4. Ἀναστάτους.) Ἐξ ΕΔ, ΑΤ, ἀνάστατον. «Ἀνάστατος, κατεστραμμένος. Ἀ»ναστάτως, πεπορθημένως; — Ἀνάστατον »τὴν πόλιν ποιήσας, ἀνοικίσας ἢ μετα»στήσας ἢ μεταγαγὼν κ. τ. λ.» (Bekker, Anecd. Græc. pag. 211 et 392-393.) — 5. Τῆς τῶν Ἑλλήνων εὐδαιμονίας ἠξιώθημεν προστάται γενέσθαι.) Εἴθ' ἦν ἀληθὲς τὸ λεγόμενον! ἀλλ' ἐμιμήσαντο πολλάκις Ἀθηναῖοι τοὺς Λακεδαιμονίους, οὐ προστάται, ἀλλὰ κύριοι τῆς τῶν Ἑλλήνων εὐδαιμονίας, ὡς ἐκεῖνοι γενόμενοι (Ἴδ. Ἰσοκράτ. Παναθήν. § 99, σελ. 287.) — 6. Κατεσκάφη.) ΔΓ, καθῃρέθη. — 7. Πεντακοσίοις ἔτεσιν.) Δείναρχος δὲ (Κατὰ Δημοσθέν. σελ. 52) τετρακοσιοστῷ ἔτει φησὶ Μεσσήνην κατοικισθῆναι, καὶ ἄλλοι ἄλλως κατὰ τὸ πλεῖον ἢ ἔλαττον· περὶ ὧν ἔπιθι τὰ εἰς τὸν Ἰσοκράτην (Τόμ. Β, σελ. 89 καὶ 333) σημειωθέντα μοι. — 8. Ἐκ τῶν τυχόντων.) Ἐξ ἀνθρώπων ἔνθεν κἀκεῖθεν, ὡς ἔτυχε, συνειλεγμένων.

ἐάτωσαν διαγνῶναι περὶ τοῦ μεγέθους·[2] εἰ δ' ὅλως μηδὲν τούτων πεποίηκεν, οὐ μανία δήπου τούτων λέγειν, ὡς οὐδὲν ἂν ἐγένετο παρὰ τοῦτον.[3] Ἡγοῦμαι δ' ἔγωγε, ὦ ἄνδρες, τοὐναντίον τούτοις, παρὰ τοῦτον εἶναι τῇ πόλει τὴν σωτηρίαν·[4] ἡ γὰρ πόλις οἰκεῖται κατὰ τὴν ἰδίαν ἑκάστων μοῖραν φυλαττομένη. Ὅταν οὖν ταύτην ἐφ' ἑνός τις παρίδῃ,[5] λέληθεν ἑαυτὸν ἐφ' ἁπάντων τοῦτο πεποιηκώς. Καίτοι ῥᾴδιόν ἐστιν, ὦ ἄνδρες, πρὸς τὰς τῶν ἀρχαίων νομοθετῶν διανοίας ἀποβλέψαντας, τὴν ἀλήθειαν εὑρεῖν. Ἐκεῖνοι γὰρ οὐ τῷ μὲν ἑκατὸν τάλαντα κλέψαντι θάνατον ἔταξαν, τῷ δὲ δέκα δραχμὰς ἔλαττον ἐπιτίμιον· οὐδὲ τὸν μὲν μεγάλα ἱεροσυλήσαντα ἀπέκτεινον,[6] τὸν δὲ μικρὰ ἐλάττονι τιμωρίᾳ ἐκόλαζον· οὐδὲ τὸν μὲν οἰκέτην ἀποκτείναντα ἀργυρίῳ ἐζημίουν, τὸν δὲ, ἐλεύθερον, εἶργον τῶν νόμων,[7] ἀλλ' ὁμοίως ἐπὶ πᾶσι καὶ τοῖς ἐλαχίστοις παρανομήμασι θάνατον ὥρισαν εἶναι τὴν ζημίαν. Οὐ γὰρ πρὸς τὸ ἴδιον ἕκαστος αὐτῶν ἀπέβλεπε τοῦ γεγενημένου πράγματος, οὐδ' ἐντεῦθεν τὸ μέγεθος τῶν ἁμαρτημάτων ἐλάμβανον, ἀλλ' αὐτὸ ἐσκόπουν τοῦτο, εἰ πέφυκε τὸ ἀδίκημα τοῦτο ἐπὶ πλεῖον ἐλθὸν μέγα βλάπτειν τοὺς ἀνθρώπους· καὶ γὰρ ἄτοπον ἄλλως πως περὶ τούτων[8] ἐξετάζειν. Φέρε γάρ, ὦ ἄνδρες, εἴτις ἕνα νόμον, εἰς τὸ Μητρῷον[9] ἐλθὼν ἐξαλείψειεν, εἶτ' ἀπολογεῖτο, ὡς οὐδὲν παρὰ τοῦτον[10] τῇ πόλει ἐστίν, ἆρ' οὐκ ἂν ἀπεκτείνατ' αὐτόν; ἐγὼ μὲν οἶμαι, δικαίως,

§ 16. 2. Περὶ τοῦ μεγέθους.) Τοῦ ἀδικήματος. — 3. Οὐδὲν ἂν ἐγένετο παρὰ τοῦτον.) Ἐξ ΕΔ, ΑΤ, γένηται. Ὁ δὲ πρὸ ἐμοῦ τὴν ἀντωνυμίαν (τοῦτον) ἀντιγράφοι πεισθεὶς ἔτρεψεν εἰς τὸ τοῦτο. — 4. Παρὰ τοῦτον εἶναι τῇ πόλει τὴν σωτηρίαν.) Τούτων ἔγραψεν ὁ πρὸ ἐμοῦ ἀντιγράφοις ἀκολουθήσας, οὐκ εὐλόγως, ἐμοὶ δοκεῖν. — 5. Ὅταν οὖν... παρίδῃ.) Ἐξ ΕΔ, ΑΤ, παρίδοι. — 6. Ἀπέκτεινον.) ΗΔ, ΑΤ, ἀπέκτειναν. Ἄτοπος γὰρ ὧδε ὁ ἀόριστος. — 7. Τῶν νόμων.) Τῶν νομίμων, γράφειν παρῃνέκασί τινες. — 8. Περὶ τούτων.) ΔΓ, περὶ τούτου. — 9. Εἰς τὸ Μητρῷον.) Ἱερὸν Κυβέλης τῆς μητρὸς τῶν θεῶν, ἐν ᾧ ἐνετίθεντο τοὺς νόμους περὶ οὗ Λυκοῦργος καὶ ἀλλαχοῦ τῶν μηκέτι σωζομένων αὐτοῦ λόγων ἐμνημόνευσεν, ἢ δῆλον καὶ ἐκ τοῦ Ἁρποκρατίωνος· «Μητρῷον. Λυκοῦργος ἐν τῷ »Κατὰ Ἀριστογείτονος· τοὺς νόμους ἔ»θεντο ἀναγράψαντες ἐν τῷ Μητρῴῳ. »Δηλοῖ δὲ καὶ Δείναρχος ἐν τῷ Κατὰ »Πυθέου·» περὶ ὧν ἔπιθι τὰς Οὐαλεσίου ... Ἁρποκρατίωνα σημειώσεις. Ἔχρῶντο δὲ τῷ Μητρῴῳ, ὡς ἀρχείῳ (archives) καὶ νομοφυλακείῳ, τουτέστιν, οὐ μόνον τοὺς κυρίως λεγομένους νόμους ἐν αὐτῷ ἐτίθεντο, ἀλλ' ἁπλῶς πᾶν ψήφισμα βουλῆς, ἐκκλησίας, δικαστηρίων, καὶ εἴ τι τοιοῦτον ἕτερον φυλακῆς ἦν ἄξιον εἰς τὸν ἔπειτα χρόνον, οἷον, ἐπὶ παραδείγματος, ἡ Μελήτου κατὰ Σωκράτους κατηγορία ἐν τῷ Μητρῴῳ ἔκειτο, ὡς φησι Διογένης ὁ Λαέρτιος (II, 47). Εἰκὸς δὲ καὶ τοὺς λογισμοὺς τῶν τε προσόδων καὶ τῶν ἀναλωμάτων τῆς πόλεως, ἐν τῷ Μητρῴῳ τηρεῖσθαι, ὡς ἔστι συλλογίσασθαι ἐξ ὧν περὶ αὐτοῦ τούτου τοῦ Λυκούργου λέγει ὁ τὸν βίον αὐτοῦ συγγράψας, ὅτι «Μέλ»λων τελευτήσειν εἰς τὸ Μητρῷον καὶ τὸ »Βουλευτήριον ἐκέλευσεν αὐτὸν κομισθῆ»ναι, βουλόμενος εὐθύνας δοῦναι τῶν »πεπολιτευμένων κ. τ. λ.» Προειρήκει »γὰρ ὁ αὐτὸς, ὅτι Λυκοῦργος ταμίας »ἐγένετο ἐπὶ τρεῖς πενταετηρίδας ταλάν»των μυρίων τετρακισχιλίων κ. τ. λ. Εἰκὸς δὲ καὶ ἰδιωτῶν διαθήκας τηρεῖσθαι ἐν τῷ Μητρῴῳ (Ἴδ. Διογ. Λαέρτ. X, 16). — 10. Παρὰ τοῦτον.) Τουτέστι

εἴπερ ἐμέλλετε[11] καὶ τοὺς ἄλλους σώσειν.[12] Τὸν αὐτὸν τοίνυν τρόπον κολαστέον ἐστὶ τοῦτον, εἰ μέλλετε[13] τοὺς ἄλλους πολίτας βελτίους ποιήσειν· καὶ οὐ τοῦτο λογιεῖσθε, εἰ εἷς ἐστι μόνος ὁ ἄνθρωπος, ἀλλ' εἰ τὸ πρᾶγμα.[14] Ἐγὼ μὲν γὰρ ἡγοῦμαι τὸ μὴ πολλοὺς τοιούτους γενέσθαι ἡμέτερον εὐτύχημα εἶναι· τοῦτον μέντοι διὰ τοῦτο μείζονος[15] τιμωρίας ἄξιον εἶναι τυχεῖν, ὅτι μόνος τῶν ἄλλων πολιτῶν, οὐ κοινήν, ἀλλ' ἰδίαν τὴν σωτηρίαν ἐζήτησεν.

§ 17. Ἀγανακτῶ δὲ μάλιστα, ὦ ἄνδρες, ἐπειδὰν ἀκούσω τῶν μετὰ τούτου τινὸς λέγοντος,[2] ὡς οὐκ ἔστι τοῦτο προδιδόναι, εἴ τις ᾤχετο ἐκ τῆς πόλεως· καὶ γὰρ οἱ πρόγονοί ποθ' ἡμῶν τὴν πόλιν καταλιπόντες, ὅτε πρὸς Ξέρξην ἐπολέμουν, εἰς Σαλαμῖνα διέβησαν. Καὶ οὕτως ἐστὶν ἀνόητος καὶ παντάπασιν ὑμῶν καταπεφρονηκώς, ὥστε τὸ κάλλιστον τῶν ἔργων πρὸς τὸ αἴσχιστον συμβαλεῖν ἠξίωσε. Ποῦ γὰρ οὐ περιβόητος ἐκείνων τῶν ἀνδρῶν ἡ ἀρετὴ γέγονε; τίς δ' οὕτως ἢ φθονερός ἐστιν, ἢ παντάπασιν ἀφιλότιμος, ὃς οὐκ ἂν εὔξαιτο τῶν ἐκείνοις πεπραγμένων μετασχεῖν; οὐ γὰρ τὴν πόλιν ἐξέλιπον, ἀλλὰ τὸν τόπον μετήλλαξαν, πρὸς τὸν ἐπιόντα κίνδυνον καλῶς βουλευσάμενοι. Ἐτεόνικος[3] μὲν γὰρ ὁ Λακεδαιμόνιος, καὶ Ἀδείμαντος ὁ Κορίνθιος, καὶ τὸ Αἰγινητῶν ναυτικὸν ὑπὸ νύκτα τὴν σωτηρίαν αὑτοῖς ἔμελλον πορίζεσθαι· ἐγκαταλιπόμενοι δὲ οἱ πρόγονοι ὑπὸ πάντων τῶν Ἑλλήνων, βίᾳ καὶ τοὺς ἄλλους ἠλευθέρωσαν, ἀναγκάσαντες ἐν Σαλαμῖνι μετ' αὑτῶν πρὸς τοὺς βαρβάρους ναυμαχεῖν. Μόνοι δὲ ἀμφοτέρων περιγεγόνασι, καὶ τῶν πολεμίων καὶ τῶν συμμάχων, ὡς ἑκατέρων προσῆκε, τοὺς μὲν εὐεργετοῦντες, τοὺς δὲ μαχόμενοι νικῶντες. Ἆρά γε ὅμοιον τῷ φεύγοντι τὴν πατρίδα τεττάρων ἡμερῶν πλοῦν εἰς Ῥόδον; Ἦπου ταχέως ἂν ἠνέσχετό τις ἐκείνων τῶν ἀνδρῶν τοιοῦτον ἔργον, ἀλλ' οὐκ ἂν κατέλευσαν,[4] τὸν καταισχύνοντα τὴν αὑτῶν ἀριστείαν.[5] Οὕτω γοῦν ἐφίλουν τὴν πατρίδα πάντες, ὥστε τὸν παρὰ Ξέρξου πρεσβευτὴν Ἀλέξανδρον,[6] φίλον ὄντα αὐτοῖς πρότερον, ὅτι γῆν καὶ ὕδωρ ᾔτησεν,

---

παρ' ἕνα νόμον ἐξαλειφθέντα. Ὁ πρὸ ἐμοῦ ἔγραψεν ἐξ ΕΑ, Παρὰ τοῦτο. — 11. Ἐμέλλετε.) Ἠβούλεσθε. — 12. Σώσειν.) Ὁ πρὸ ἐμοῦ, σώζειν, ἐξ ἀντιγράφων. — 13. Μέλλετε.) Βούλεσθε. — 14. Ἀλλ' ΕΙ τὸ πρᾶγμα.) Ἐξ ΕΔ, ἀντὶ τοῦ ΕἿΣ. — 15. Μείζονος.) ΔΓ, πλείονος.

§ 17. 2. Ἐπειδὰν... τινὸς λέγοντος) Οἶμαι γεγράφθαι πάλαι, Τινὰς λέγοντας. — 3. Ἐτεόνικος.) Μνημονικὸν ἁμάρτημα Λυκούργου ὁ Ἐτεόνικος. Εὐρυβιάδης γὰρ ἦν ὁ κατὰ θάλασσαν ἡγούμενος Λακεδαιμονίων (Ἡροδότ. VIII, 5)· Ἐτεόνικος δέ, καὶ αὐτὸς μὲν Λακεδαιμόνιος, καὶ Λακεδαιμονικῆς μοίρας νεῶν ἡγησάμενος, πολλοῖς μέντοι χρόνοις ὕστερον, κατὰ τὸν Πελοποννησιακὸν πόλεμον. (Ξενοφ. Ἑλληνικ. ά, 6, § 26.) — 4. Κατέλευσαν.) ἐλιθοβόλησαν. — 5. Ἀριστείαν.) «Ἀριστεία, ἀνδραγαθία» φησὶν Ἡσύχιος. — 6. Τὸν παρὰ .... Ἀλέξανδρον.) Ἡ ἱστορία

μικροῦ δεῖν κατέλευσαν. Ὅπου δὲ καὶ τοῦ λόγου τιμωρίαν ἠξίουν λαμβάνειν, ἦπου τὸν ἔργῳ παραδόντα τὴν πόλιν ὑποχείριον τοῖς πολεμίοις οὐ μεγάλαις ἂν ζημίαις ἐκόλασαν; Τοιγαροῦν τοιαύταις χρώμενοι γνώμαις, ἐννενήκοντα μὲν ἔτη[7] τῶν Ἑλλήνων ἡγεμόνες κατέστησαν, Φοινίκην δὲ καὶ Κιλικίαν ἐπόρθησαν, ἐπ' Εὐρυμέδοντι δὲ καὶ ναυμαχοῦντες καὶ πεζομαχοῦντες ἐνίκησαν, ἑκατὸν δὲ τριήρεις[8] τῶν βαρβάρων αἰχμαλώτους ἔλαβον, ἅπασαν δὲ τὴν Ἀσίαν κακῶς ποιοῦντες περιέπλευσαν· καὶ τὸ κεφάλαιον τῆς νίκης, οὐ τὸ ἐν Σαλαμῖνι τρόπαιον ἀγαπήσαντες ἔστησαν,[9] ἀλλ' ὅρους τοῖς βαρβάροις πήξαντες τοὺς εἰς τὴν ἐλευθερίαν τῆς Ἑλλάδος, καὶ τούτους κωλύσαντες ὑπερβαίνειν, συνθήκας ἐποιήσαντο, μακρῷ μὲν πλοίῳ μὴ πλεῖν ἐντὸς Κυανέων καὶ Φασήλιδος, τοὺς δ' Ἕλληνας αὐτονόμους εἶναι, μὴ μόνον τοὺς τὴν Εὐρώπην ἀλλὰ καὶ τοὺς τὴν Ἀσίαν κατοικοῦντας. Καίτοι οἴεσθε ἄν, εἰ τῇ Λεωκράτους διανοίᾳ χρησάμενοι πάντες ἔφυγον, τούτων ἄν τι γενέσθαι τῶν καλῶν ἔργων, ἢ ταύτην ἂν ἔτι τὴν[10] χώραν κατοικεῖν ὑμᾶς; Χρὴ τοίνυν, ὦ ἄνδρες, ὥσπερ τοὺς ἀγαθοὺς ἐπαινεῖτε καὶ τιμᾶτε, οὕτω καὶ τοὺς κακοὺς μισεῖν τε καὶ κολάζειν, ἄλλως τε καὶ Λεωκράτη, ὃς οὔτε ἔδεισεν, οὔτε ἠσχύνθη ὑμᾶς.

§ 18. Καίτοι ὑμεῖς τίνα τρόπον νενομίκατε περὶ τούτων, καὶ πῶς ἔχετε ταῖς διανοίαις, θεωρήσατε. Ἄξιον γὰρ ὅμως, καίπερ πρὸς εἰδότας, διελθεῖν· ἐγκώμιον γάρ, νὴ τὴν Ἀθηνᾶν, εἰσὶ τῆς πόλεως οἱ παλαιοὶ νόμοι, καὶ τὰ ἔθη τῶν ἐξ ἀρχῆς ταῦτα κατασκευασάντων, οἷς ἂν προσέχητε, τὰ δίκαια ποιήσε-

---

Ἡροδότῳ (VIII, 137-143.) — 7. Ἐννενήκοντα μὲν ἔτη κ. τ. λ.) Διαπεφώνηται τὰ περὶ τοῦ χρόνου τῆς ἀρχῆς τῶν Ἀθηναίων τῆς εἰς τοὺς Ἕλληνας· περὶ ὧν ἔπιθι τὰ σημειωθέντα εἰς τὸν Ἰσοκράτην (σελ. 45-46) — 8. Ἑκατὸν δὲ τριήρεις.) Τοσαύτας λέγει καὶ ὁ Σικελιώτης Διόδωρος (XII, 3) «ἑκατὸν σὺν αὐταῖς ἀνδράσιν.» Θουκυδίδης δὲ (ά, 100) διακοσίας, συναριθμῶν δηλονότι ταῖς ἁλούσαις τὰς διαφθαρείσας· «Καὶ εἷλον τριήρεις Φοινίκων, καὶ διέφθειραν τὰς πάσας εἰς διακοσίας.» — 9. Οὐ τὸ ἐν Σαλαμῖνι τρόπαιον ἀγαπήσαντες ἔστησαν.) Μετήλλακται ἡ σύνταξις· τὸ γὰρ ἀκόλουθον ἦν, Οὐχ... ἠγάπησαν στήσαντες, τουτέστιν, Οὐκ ἠρκέσθησαν τῷ στῆσαι τὸ ἐν Σαλαμῖνι τρόπαιον. Ποικίλλεται δὲ ἡ σύνταξις· οὐ γὰρ μόνον, Ἠγάπησαν στήσαντες, ἀλλὰ καὶ Ἠγάπησαν εἰ ἔστησαν, καὶ Ἠγάπησαν τῷ στῆσαι, εἶχεν εἰπεῖν. — 10. Οἴεσθε ἌΝ, εἰ τῇ Λεωκράτους διανοίᾳ χρησάμενοι πάντες ἔφυγον, τούτων ἌΝ τι γενέσθαι τῶν καλῶν ἔργων, ἢ ταύτην ἊΝ ἔτι τὴν κ. τ. λ.) Οὐ μάτην πλεονάζει ὁ δυνητικὸς κείμενος τρίς· ἢ δῆλον ἐξ οὐκ ὀλίγων παραδειγμάτων, ἃ συνείλοχεν ὁ Ματθίας ἐν τῇ Γραμματικῇ. Τεκμήριον δὲ· καὶ μεθερμηνεύων γὰρ εἰς ἑτέραν φωνὴν τὸ προκείμενον χωρίον, ἔχοις ἂν οὐ περιττῶς ἐκφράσαι τῶν τριῶν δυνητικῶν τὴν σημασίαν· οἷον εἰς τὴν τῶν Γάλλων. POUVEZ-vous penser que, si tout le monde eût, à l'exemple de Léocrate, déserté son poste, aucun de ces glorieux exploits EÛT PU avoir lieu, ou que vous PUSSIEZ encore habiter ce pays?

τε, καὶ πᾶσιν ἀνθρώποις σεμνοὶ καὶ ἄξιοι τῆς πόλεως δόξετ' εἶναι. Ὑμῖν γάρ ἐστιν ὅρκος, ὃν ὀμνύουσι πάντες οἱ πολῖται, ἐπειδὰν εἰς τὸ ληξιαρχικὸν γραμματεῖον ἐγγραφῶσι καὶ ἔφηβοι γένωνται, μήτε τὰ ἱερὰ ὅπλα καταισχυνεῖν, μήτε τὴν τάξιν λείψειν, ἀμυνεῖν δὲ τῇ πατρίδι, καὶ ἀμείνω παραδώσειν. ὃν εἰ μὲν ὀμώμοκε Λεωκράτης, φανερῶς ἐπιώρκηκε, καὶ οὐ μόνον ὑμᾶς ἠδίκηκεν, ἀλλὰ καὶ εἰς τὸ θεῖον ἠσέβηκεν·[2] εἰ δὲ μὴ ὀμώμοκεν, εὐθὺς δῆλός ἐστι παρεσκευασμένος οὐδὲν ποιήσειν τῶν δεόντων. Ἀνθ' ὧν δικαίως ἂν αὐτὸν καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ τῶν θεῶν τιμωρήσαισθε. Βούλομαι δὲ ὑμᾶς ἀκοῦσαι τοῦ ὅρκου.[3] Λέγε γραμματεῦ. ΟΡΚΟΣ. Καλός γε, ὦ ἄνδρες, καὶ ὅσιος ὁ ὅρκος. Παρὰ τοῦτον τοίνυν ἅπαντα πεποίηκε Λεωκράτης. Καίτοι πῶς ἂν ἄνθρωπος γένοιτο ἀνοσιώτερος, ἢ μᾶλλον προδότης τῆς πατρίδος; τίνα δ' ἂν τρόπον ὅπλα καταισχύνειέ τις μᾶλλον, ἢ εἰ λαβεῖν μὴ θέλοι, καὶ τοὺς πολεμίους ἀμύνασθαι; πῶς δ' οὐ καὶ τὸν παραστάτην καὶ τὴν τάξιν λέλοιπεν ὁ μηδὲ τάξαι τὸ σῶμα παρασχών; ποῦ δ' ὑπὲρ ὁσίων καὶ ἱερῶν ἤμυνεν ἂν ὁ μηδένα κίνδυνον ὑπομείνας; τίνι δ' ἂν τὴν πατρίδα προὔδωκε μείζονι προδοσίᾳ; τὸ γὰρ τούτου μέρος[4] ἐκλελειμμένη, πολεμίοις ὑποχείριός ἐστιν. Εἶτα τοῦτον οὐκ ἀποκτενεῖτε τῶν ἁπάσαις ταῖς ἀδικίαις ἔνοχον ὄντα; Τίνας οὖν τιμωρήσεσθε; τοὺς ἔν τι τούτων ἡμαρτηκότας; Ῥᾴδιον ἔσται παρ' ὑμῖν ἄρα μεγάλα ἀδικεῖν, εἰ φανεῖσθε ἐπὶ τοῖς μικροῖς μᾶλλον ὀργιζόμενοι.

§ 19. Καὶ μήν, ὦ ἄνδρες, καὶ τοῦθ' ὑμᾶς δεῖ μαθεῖν, ὅτι τὸ συνέχον τὴν δημοκρατίαν[2] ὅρκος ἐστί. Τρία γάρ ἐστιν ἐξ ὧν ἡ πολιτεία συνέστηκεν, ὁ ἄρχων, ὁ δικαστής, ὁ ἰδιώτης. Τούτων τοίνυν ἕκαστος ταύτην [τὴν] πίστιν δίδωσιν. Εἰκότως· τοὺς μὲν γὰρ ἀνθρώπους πολλοὶ ἤδη ἐξαπατήσαντες καὶ διαλαθόντες,

§ 18. 2. Ἠσέβηκεν.) Ἐξ ἀντιγράφων ὁ πρὸ ἐμοῦ (οὐκ εὐλόγως, οἶμαι) ἔγραψεν, ἠσέβησεν. — 3. Ἀκοῦσαι τοῦ ὅρκου.) Ἦν δ' ὁ ὅρκος, ὡς σώζεται παρὰ τῷ Στοβαίῳ (XLI, σελ. 243), οὕτως ἔχων· «Οὐ καταισχυνῶ ὅπλα τὰ ἱερά, »οὐδ' ἐγκαταλείψω τὸν παραστάτην, ὅτῳ ἂν »στοιχήσω. Ἀμυνῶ δὲ καὶ ὑπὲρ ἱερῶν »καὶ ὑπὲρ ὁσίων, καὶ μόνος καὶ μετὰ »πολλῶν. Τὴν πατρίδα δὲ οὐκ ἐλάσσω »παραδώσω, πλείω δὲ καὶ ἀρείω ὅσην »(ἴσ. ὅσης) ἂν παραδέξωμαι, καὶ εὐηκοήσω τῶν ἀεὶ κρινόντων ἐμφρόνως, καὶ »τοῖς θεσμοῖς τοῖς ἱδρυμένοις πείσομαι, »καὶ οὕστινας ἂν ἄλλους τὸ πλῆθος ἱδρύσηται ὁμοφρόνως. Καὶ ἄν τις ἀναιρῇ »τοὺς θεσμούς, ἢ μὴ πείθηται, οὐκ ἐπιτρέψω· ἀμυνῶ δὲ καὶ μόνος καὶ μετὰ »πάντων, καὶ ἱερὰ τὰ πάτρια τιμήσω. »Ἵστορες θεοὶ τούτων!» — 4. Τίνι δ' ἂν τὴν πατρίδα προὔδωκε μείζονι προδοσίᾳ; τὸ γὰρ τούτου μέρος.) Οὐκ ἄκομψος, οὐδ' ἀπίθανος, ἣν παρήνεσέ τις τῶν κριτικῶν μεταβολὴν τοῦ χωρίου, εἰς τό, «τίνι δ' ἂν τὴν πατρίδα παρέδωκε μείζονα; προδοσίᾳ γὰρ τὸ τούτου μέρος κ. τ. λ.»

§ 19. 2. Τὸ συνέχον τὴν δημοκρατίαν.) Τὸ κρατοῦν καὶ διασῷζον τὴν δημοκρατίαν, τὸ μὴ ἐῶν αὐτὴν διαλυθῆναι. Ὅθεν καὶ τὸ παρὰ τῷ Φωτίῳ, «Συνεκτικώτατα, κεφαλαιωδέστατα, συν-

οὐ μόνον τῶν παρόντων κινδύνων ἀπελύθησαν, ἀλλὰ καὶ τὸν ἄλλον χρόνον ἀθῶοι τῶν ἀδικημάτων τούτων εἰσί. Τοὺς δὲ θεοὺς, οὔτ' ἂν ἐπιορκήσας τις λάθοι, οὔτ' ἂν ἐκφύγοι τὴν ἀπ' αὐτῶν τιμωρίαν· ἀλλ' εἰ μὴ αὐτὸς, οἱ παῖδές γε καὶ τὸ γένος ἅπαν τὸ τοῦ ἐπιορκήσαντος μεγάλοις ἀτυχήμασι περιπίπτει. Διόπερ, ὦ ἄνδρες δικασταί, ταύτην τὴν πίστιν[3] ἔδοσαν αὐτοῖς ἐν Πλαταιαῖς πάντες οἱ Ἕλληνες, ὅτε ἔμελλον παραταξάμενοι μάχεσθαι πρὸς τὴν Ξέρξου δύναμιν, οὐ παρ' αὐτῶν εὑρόντες, ἀλλὰ μιμησάμενοι τὸν παρ' ὑμῖν εἰθισμένον ὅρκον· ὃν ἄξιόν ἐστιν ἀκοῦσαι ὅμως· καὶ γὰρ ἱκανῶς ἐστιν ἐν τοῖς γεγραμμένοις ἰδεῖν τὴν ἐκείνων ἀρετήν.[4] Καί μοι ἀναγίνωσκε αὐτόν. ὍΡΚΟΣ. «Οὐ ποιή»σομαι περὶ πλείονος τὸ ζῆν τῆς ἐλευθερίας· οὐδὲ καταλείψω »τοὺς ἡγεμόνας, οὔτε ζῶντας, οὔτε ἀποθανόντας· ἀλλὰ τοὺς ἐν τῇ »μάχῃ τελευτήσαντας τῶν συμμάχων ἅπαντας θάψω. Καὶ κρα»τήσας τῷ πολέμῳ τοὺς βαρβάρους, τῶν μὲν μαχεσαμένων ὑπὲρ »τῆς Ἑλλάδος πόλεων οὐδεμίαν ἀνάστατον ποιήσω, τὰς δὲ τὰ »τοῦ βαρβάρου προελομένας ἁπάσας δεκατεύσω.[5] Καὶ τῶν ἱε»ρῶν τῶν ἐμπρησθέντων καὶ καταβληθέντων ὑπὸ τῶν βαρβάρων

---

»χοντα, διακρατοῦντα.» — 3. Ταύτην τὴν πίστιν.) ΔΓ, ταύτην πίστιν. — 4. Ὅρκον· ὃν ἄξιόν ἐστιν ΑΚΟΥΣΑΙ ὅμως· ΚΑΙ ΓΑΡ ΙΚΑΝΩΣ ἐστιν ἐν τοῖς γεγραμμένοις ἰδεῖν τὴν ἐκείνων ἀρετήν.) Δεινῶς ἠλκαται ὑπὸ τῶν ἀντιγραφέων τὸ χωρίον τόδε. Ὁ πρὸ ἐμοῦ, ἀκολουθῶν ταῖς ἀρχαίαις ἐκδόσεσι, γέγραφε, «Ὅρ»κον· ὃν ἄξιόν ἐστιν, Ἃ ὅμως ΙΣΧΝΩΣ »ἐστιν ἐν τοῖς γεγραμμένοις ἰδεῖν τὴν »ἐκείνων ἀρετήν.» ἃ πρὸ ἐκείνου οὕτω τὶς διορθοῦν ἐπιβάλλ[illegible] ὃν ἄξιόν »ἐστιν ἀκούειν ὅμως, καίπερ ἰσχνῶς »ἐστιν ἐν τοῖς κ. τ. λ.» Καὶ τὰς μὲν λοιπὰς ἑτέρων κριτικῶν διορθώσεις ζητείτω ὁ βουλόμενος ἐν ταῖς τῶν πρὸ ἐμοῦ σημειώσεσι· μιᾶς δὲ μόνης μνημονεύσω γραφῆς τοῦ ἐκδόντος τὸν Λυκοῦργον κατὰ τὸ 1824 ἔτος ἐν Λειψίᾳ (G. Pinzger), ἥν φησιν ἐκ τῆς τοῦ Βεκκήρου ἐκδόσεως εἰληφέναι· «ὅρκον, ὃν »ἄξιον ἐστὶν ἀκοῦσαι· καὶ γὰρ παλαιῶν »ὄντων τῶν τότε πεπραγμένων, ὅμως »ἰσχνῶς ἐστὶν ἐν τοῖς γεγραμμένοις »ἰδεῖν τὴν ἐκείνων ἀρετήν.» Ταύτης δὲ διαφωνοῦσαν γραφὴν ἑτέραν ὁ πρὸ ἐμοῦ ἐσημειώσατο, ἐκ τῆς Βεκκήρου κἀκεῖνος ἐκδόσεως λαβεῖν φάσκων, ταύτην, «Ὃν »ἄξιόν ἐστι μαθόντας [ἃ ὅμως ἰσχνῶς »ἐστὶ ἐν τοῖς γεγραμμένοις] ἰδεῖν τὴν »ἐκείνων ἀρετήν.» Περὶ ὧν ἑκατέρας οὐκ ἔχων διαγνῶναι, διὰ τὸ ἀπορεῖν τῆς Βεκκηριανῆς ἐκδόσεως, κατεχώρισα εἰς τὸ κείμενον ἣν καὶ πάλαι ἐπενόουν διόρθωσιν, «ὅρκον· ὃν (ἴσ. γρ. οὗ) ἄξιόν »ἐστιν ἀκοῦσαι ὅμως· καὶ γὰρ ἱκανῶς »ἐστιν ἐν τοῖς γεγραμμένοις ἰδεῖν τὴν »ἐκείνων ἀρετήν.» Ὅπως ποτὲ δ' ἂν ἔχῃ ταῦτα, τὸ γοῦν Ἰσχνῶς, θαῤῥήσας ἂν φαίην, ἐπάναγκες τρεπτέον εἶναι εἰς τὸ Ἱκανῶς. Ἐρεῖ δὲ καὶ ἐν τοῖς ἑξῆς (§ 30) Λυκοῦργος, «Ἱκανὰ μὲν οὖν καὶ »ταῦτα τὴν τῶν προγόνων γνῶναι διά»νοιαν.» — 5. Τὰς δὲ τὰ τοῦ βαρβάρου προελομένας ἁπάσας δεκατεύσω.) Τῷ ἐν Δελφοῖς Ἀπόλλωνι, ὥς φησιν Ἡρόδοτος (ζ΄, 132), τοῦ ὅρκου τούτου μνημονεύων· «Ὅσοι τῷ Πέρσῃ ἔδοσαν »σφέας αὐτοὺς, Ἕλληνες ἐόντες, μὴ ἀ»ναγκασθέντες, καταστάντων σφι εὖ τῶν »πρηγμάτων, τούτους δεκατεῦσαι τῷ ἐν »Δελφοῖσι θεῷ.» Τοῦτο δὲ τὸ Δεκατεύειν, οἱ μὲν κατὰ τὸ ἀπηνέστερον ἐξηγήσαντο, ἀντὶ τοῦ ἀναιρεῖν, ἢ γοῦν αἰχμαλωτίζειν, ἕνα καθ' ἑκάστην ἀνδρῶν δεκάδα, οἱ δὲ πρᾳότερον, ἀντὶ τοῦ τὴν δεκάτην τῆς οὐσίας ἑκάστου περιελεῖν. Ἔπιθι τὰς εἰς τὸ παρατεθειμένον Ἡροδότου χωρίον τῶν ἐκδοτῶν καὶ μετα-

«οὐδὲν ἀνοικοδομήσω παντάπασιν· ἀλλ' ὑπόμνημα τοῖς ἐπιγιγνομένοις ἐάσω καταλείπεσθαι τῆς τῶν βαρβάρων ἀσεβείας.» Οὕτω τοίνυν, ὦ ἄνδρες, σφόδρα ἐνέμειναν ἐν τούτῳ πάντες, ὥστε καὶ τὴν παρὰ τῶν θεῶν εὔνοιαν μεθ' ἑαυτῶν ἔσχον βοηθόν· καὶ πάντων Ἑλλήνων ἀνδρῶν ἀγαθῶν γενομένων πρὸς τὸν κίνδυνον, μάλιστα ἡ πόλις ἡμῶν εὐδοκίμησεν. Ὃ καὶ πάντων ἂν εἴη δεινότατον, τοὺς μὲν προγόνους ἡμῶν ἀποθνήσκειν τολμᾶν, ὥστε μὴ τὴν πόλιν ἀδοξεῖν, ὑμᾶς δὲ μὴ κολάζειν τοὺς καταισχύναντας[6] αὐτήν, ἀλλὰ περιορᾶν τὴν κοινὴν καὶ μετὰ πολλῶν πόνων συνειλεγμένην εὔκλειαν, ταύτην διὰ τὴν τῶν τοιούτων ἀνδρῶν πονηρίαν καταλυομένην. Καίτοι, ὦ ἄνδρες, μόνοις ὑμῖν τῶν Ἑλλήνων οὐκ ἔστιν οὐδὲν τούτων περιιδεῖν.

§ 20. Βούλομαι δὲ μικρὰ τῶν παλαιῶν ὑμῖν διελθεῖν, οἷς παραδείγμασι χρώμενοι, καὶ περὶ τούτων, καὶ περὶ ἄλλων βέλτιον βουλεύσεσθε. Τοῦτο γὰρ ἔχει μέγιστον ἡ πόλις ἡμῶν ἀγαθόν, ὅτι τῶν καλῶν ἔργων παράδειγμα τοῖς Ἕλλησι γέγονεν· ὅσον γὰρ τῷ χρόνῳ πασῶν ἐστιν ἀρχαιοτάτη, τοσοῦτον οἱ πρόγονοι ἡμῶν τῶν ἄλλων ἀνθρώπων ἀρετῇ διενηνόχασιν. Ἐπὶ Κόδρου γὰρ βασιλεύοντος, Πελοποννησίοις, γενομένης ἀφορίας[2] κατὰ τὴν χώραν αὐτῶν, ἔδοξε στρατεύειν ἐπὶ τὴν πόλιν ἡμῶν, καὶ ἡμῶν τοὺς προγόνους ἐξαναστήσαντας, κατανείμασθαι τὴν χώραν. Καὶ πρῶτον μὲν εἰς Δελφοὺς ἀποστείλαντες, τὸν θεὸν ἐπηρώτων εἰ ἐπιλήψονται[3] τὰς Ἀθήνας· ἀνελόντος δὲ τοῦ θεοῦ αὐτοῖς, ὅτι τὴν πόλιν αἱρήσουσιν, ἐὰν μὴ τὸν βασιλέα τῶν Ἀθηναίων Κόδρον[4] ἀποκτείνωσιν, ἐστράτευον ἐπὶ τὰς Ἀθήνας. Κλεόμαντις δέ, τῶν Δελφῶν τις, πυθόμενος τὸ χρηστήριον, δι' ἀπορρήτων τοῖς Ἀθηναίοις ἐξήγγειλεν[5] οὕτως οἱ πρόγονοι ἡμῶν, ὡς ἔοικε, καὶ τοὺς ἔξωθεν ἀνθρώπους εὔνους ἔχοντες διετέλουν. Ἐμβαλόντων δὲ τῶν Πελοποννησίων εἰς τὴν Ἀττικήν, τί ποιοῦσιν οἱ πρόγονοι ἡμῶν, ἄνδρες δικασταί; οὐ καταλιπόντες τὴν χώραν, ὥσπερ Λεωκράτης, ᾤχοντο· οὐκ ἔκδοτον[6] τὴν θρεψαμένην καὶ τὰ ἱερὰ τοῖς πολεμίοις παρέδοσαν· ἀλλ' ὀλίγοι ὄντες, κατακλεισθέντες ἐπολιορ-

---

φραστῶν σημειώσεις. — 6. Καταισχύναντας.) Ἴσως ἐγέγραπτο πάλαι κατ' ἐνεστῶτα, καταισχύνοντας.

§ 20. 2. Πελοποννησίοις, γενομένης ἀφορίας κ. τ. λ.) Ἄλλως ὁ Ἐτυμολόγος (σελ. 303), «Λυκοῦργος δέ φησιν, Ἀ»φορίας γενομένης Ἀθηναί»οις, τοῦτο ἐπιτελεσθῆναι κατὰ χρη»σμόν, κ. τ. λ.» — 3. Εἰ ἐπιλήψονται.) Ὀξέως συνῆκε τὴν ἀκυρολογίαν ὁ Ῥεΐσκιος, ἀλλ' οὐκ ἐπέτυχε τῆς διορθώσεως, γράφειν παραινῶν, εἰ καὶ πῆ λήψονται. Ἴσως, εἰ ἔτι λήψονται, ἢ εἰ ἐγκαταλήψονται, τουτέστιν εἰ κρατήσουσι τῆς πόλεως. «Ἐγκατειλημμένη, ληφθεῖσα, κεκρατημέ»νη.» Ἡσύχιος. — 4. Τὸν βασιλέα τῶν Ἀθηναίων Κόδρον.) Ἐξέβαλεν ὁ πρὸ ἐμοῦ τοῦ κειμένου, ὡς κακῶς πλεονάσαν, τὸ κύριον ὄνομα. — 5. Ἐξήγγειλεν.) Ἐξ ΕΔ, ΔΤ, ἐξήγγειλεν. — 6. Οὐκ ἔκδοτον.) ΔΓ, οὐδ' ἔκδοτον. —

κοῦντο, καὶ διεκαρτέρουν εἰς τὴν πατρίδα.[7] Καὶ οὕτως ἦσαν, ὦ ἄνδρες, γενναῖοι οἱ τότε βασιλεύοντες, ὥστε προηροῦντο ἀποθνήσκειν ὑπὲρ τῆς τῶν ἀρχομένων σωτηρίας μᾶλλον ἢ ζῶντες ἑτέραν μεταλλάξαι ʽτὴνʼ χώραν.[8] Φασὶ γοῦν τὸν Κόδρον παραγγείλαντα τοῖς Ἀθηναίοις προσέχειν, ὅταν τελευτήσῃ τὸν βίον, λαβόντα πτωχικὴν στολὴν,[9] ὅπως ἂν ἀπατήσῃ τοὺς πολεμίους, κατὰ τὰς πύλας ὑπεκδύντα,[10] φρύγανα[11] συλλέγειν πρὸ τῆς πόλεως. Προσελθόντων δ' αὐτῷ δυοῖν ἀνδρῶν ἐκ τοῦ στρατοπέδου, καὶ τὰ κατὰ τὴν πόλιν πυνθανομένων, τὸν ἕτερον αὐτῶν ἀποκτεῖναι τῷ δρεπάνῳ προσπεσόντα· τὸν δὲ περιλελειμμένον, παροξυνθέντα τῷ Κόδρῳ, καὶ νομίσαντα πτωχὸν εἶναι, σπασάμενον τὸ ξίφος,[12] ἀποκτεῖναι τὸν Κόδρον. Τούτων δὲ γενομένων, οἱ μὲν Ἀθηναῖοι κήρυκα πέμψαντες ἠξίουν[13] δοῦναι τὸν βασιλέα θάψαι, λέγοντες αὐτοῖς ἅπασαν τὴν ἀλήθειαν· οἱ δὲ Πελοποννήσιοι τοῦτον μὲν ἀπέδοσαν, γνόντες δὲ, ὡς οὐκ ἔτι δυνατὸν αὐτοῖς τὴν χώραν κατασχεῖν,[14] ἀπεχώρησαν. Τῷ δὲ Κλεομάντει τῷ Δελφῷ ἡ πόλις αὐτῷ τε καὶ ἐγκόνοις ἐν Πρυτανείῳ ἀΐδιον σίτησιν ἔδοσαν. Ὁρᾶτε, εἰ ὁμοίως ἐφίλουν[15] τὴν πατρίδα Λεωκράτει οἱ τότε βασιλεύοντες, οἵ γε προηροῦντο τοὺς πολεμίους ἐξαπατῶντες ἀποθνήσκειν ὑπὲρ αὐτῆς, καὶ τὴν ἰδίαν ψυχὴν ἀντὶ τῆς κοινῆς σωτηρίας

---

7. Διεκαρτέρουν εἰς τὴν πατρίδα.) Τὰ ἐκ τῆς πολιορκίας δεινὰ, καὶ ἐξαιρέτως τὴν στέρησιν τῶν πρὸς τροφὴν ἀναγκαίων, ὑπέμενον, ἕνεκα τῆς πατρίδος· τοῦτο γὰρ σημαίνει τὸ διακαρτερεῖν, ὁποῖον καὶ Ἡρόδοτος (γ΄, 52) εἴρηκε περὶ τοῦ υἱοῦ τοῦ Περιάνδρου, «Διακαρτερέων »ἐν τῇσι στοῇσι ἐκαλινδέετο . . . ἀλου»σίῃσί τε καὶ ἀσιτίῃσι» Καὶ τὸν Ὀδυσσέα δέ τις (Παρ' Ἀθην. σελ. 412) εἰς λαιμαργίαν διαβάλλων εἴρηκεν· «Ἐ»χρῆν γὰρ εἰ καὶ ἐλίμωττε, διακαρ»τερεῖν, ἢ μετριάζειν τὰ περὶ τὴν τρο»φήν.» Ἔνθεν καὶ τὸ Ἀποκαρτερεῖν ἐπὶ τοῦ ἑκουσίῳ τροφῆς ἀποχῇ [illegible] ἑαυτὸν τοῦ βίου. Ἡ δὲ Εἰς πρόθεσις ἀντὶ τῆς Διὰ, καθὰ καὶ ἐν τοῖς πρόσθεν (§ 13), «Εἰς τὴν κοινὴν »σωτηρίαν τῆς πόλεως τὰς ψυχὰς αὐτῶν »ἠνάλωσαν.» — 8. Ἑτέραν μεταλλάξαι τὴν χώραν.) Περιαιρετέον τοῦ χωρίου, ἢ τὸ ἄρθρον [τὴν], ἢ τὸ Ἑτέραν, ὥσπερ εἴρηκε καὶ ἀνωτέρω (§ 17), «τὸν τόπον μετήλλαξαν». — 9. Πτωχικὴν στολὴν.) Στολὴν ἣν φοροῦσιν [οἱ προσ]αῖται· ὅθεν καὶ τὸ ἑξῆς (§ 28) τοῦ Τυρταίου Πτωχεύειν, τὸ ἐπαιτεῖν. — 10. Κατὰ τὰς πύλας ὑπεκδύντα.) Ἐξ ΕΔ, ΛΓ, ὑποδύντα. Διπλῆς γὰρ ἐνθάδε προθέσεως χρεία, ἵνα σημαίνῃ τὸ ὑπεξελθόντα· οἷόν ἐστι καὶ τὸ τοῦ Πολυαίνου (Στρατηγήμ. Γ, ζ, 1, σελ. 80) τόδε, «Διὰ πυλίδος μικρᾶς ὑπεξελ»θών.» — 11. Φρύγανα.) «Φρύγανα, »ὕλη λεπτὴ καὶ ξηρά» φησὶν Ἡσύχιος. Ἔσωσε τοὔνομα καὶ ἡ συνήθεια. — 12. Σπασάμενον τὸ ξίφος.) Ἑλκύσας, ἢ ὡς ἡ παρ' ἡμῖν συνήθεια λέγει, Σύρας τὸ ξίφος. «Σπασάμενος, ἑλκύσας» καὶ «Σύ»ρων, ἕλκων» Ἡσύχιος — 13. Ἠξίουν) Παρεκάλουν. — 14. Κατασχεῖν.) ΔΓ, καταλαβεῖν. — 15. ὉΡΑΤΕ, ΕἸ ὁμοίως ἐφίλουν κ. τ. λ.) Ὁ πρὸ ἐμοῦ μεθ' ἑτέρων τινῶν περιελὼν τὸν συναπτικὸν, ἔγραψεν, Ὁρᾶτε· ὁμοίως κ. τ. λ ; ἐρωτηματίσας καὶ τὸν λόγον, ἀντὶ τοῦ ἀποφαντικοῦ. Προελοίμην ἂν, ἢ τὸν συναπτικὸν ἐᾷν κατὰ χώραν (καίπερ μὴ μαρτυρούμενον ὑπὸ τῶν ἀντιγράφων), ἢ γράφειν αὐτόν τε καὶ τὸ ῥῆμα τρέποντας εἰς τὸν ἀπαρεμφατικὸν σύνδεσμον, »ἎΡΑ ΓΕ ὁμοίως ἐφίλουν; » —

ἀντικαταλλάττεσθαι. Τοιγαροῦν μονώτατοι[16] ἐπώνυμοι τῆς χώρας[17] εἰσίν, ἰσοθέων τιμῶν τετυχηκότες. Εἰκότως· ὑπὲρ ἧς γὰρ ζῶντες οὕτω σφόδρα ἐσπούδαζον, δικαίως ταύτην καὶ τεθνεῶτες ἐκληρονόμουν. Ἀλλὰ Λεωκράτης, οὔτε ζῶν, οὔτε τεθνεὼς δικαίως ἂν αὐτῆς μετάσχοι, καὶ μονώτατος ἂν προσηκόντως ἐξορισθείη τῆς χώρας, ἣν ἐγκαταλιπὼν τοῖς πολεμίοις ᾤχετο· οὐδὲ γὰρ καλὸν τὴν αὐτὴν καλύπτειν τοὺς τῇ ἀρετῇ[18] διαφέροντας, καὶ τὸν κάκιστον πάντων ἀνθρώπων.

§ 21. Καίτοιγε ἐπεχείρησεν εἰπεῖν (ὃ καὶ νῦν ἴσως ἐρεῖ πρὸς ὑμᾶς), ὡς οὐκ ἄν ποτε ὑπομεῖναι[2] τὸν ἀγῶνα τοῦτον, συνειδὼς ἑαυτῷ τοιοῦτόν τι διαπεπραγμένῳ, ὥσπερ, οὐ πάντας καὶ τοὺς κλέπτοντας καὶ ἱεροσυλοῦντας τούτῳ τῷ τεκμηρίῳ[3] χρωμένους· οὐ γὰρ τοῦ πράγματός ἐστι σημεῖον, ὡς οὐ πεποιήκασιν, ἀλλὰ τῆς ἀναιδείας ἣν ἔχουσιν. Οὐ γὰρ τοῦτο δεῖ λέγειν, ἀλλ' ὡς οὐκ ἐξέπλευσεν, οὐδὲ τὴν πόλιν ἐγκατέλιπεν, οὐδ' ἐν Μεγάροις κατῴκησε. Ταῦτά ἐστι τεκμήρια τοῦ πράγματος· ἐπεί γε τὸ ἐλθεῖν[4] τοῦτον, οἶμαι θεῶν τινα αὐτὸν ἐπ' αὐτὴν ἀγαγεῖν τὴν τιμωρίαν, ἵν', ἐπειδὴ τὸν εὐκλεᾶ κίνδυνον ἔφυγε, τοῦ ἀκλεοῦς καὶ ἀδόξου θανάτου τύχοι, καὶ οὓς προὔδωκε τούτοις ὑποχείριον αὑτὸν καταστήσειεν. Ἑτέρωθι μὲν γὰρ ἀτυχῶν, οὔπω δῆλον, εἰ διὰ ταῦτα δίκην δίδωσιν· ἐνταῦθα δὲ παρ' οἷς προὔδωκε, φανερόν ἐστιν ὅτι τῶν αὑτοῦ παρανομημάτων ὑπέχει ταύτην τὴν τιμωρίαν. Οἱ γὰρ θεοὶ οὐδὲν πρότερον ποιοῦσιν ἢ τῶν πονηρῶν ἀνθρώπων τὴν διάνοιαν παράγουσι.[5] Καί μοι δοκοῦσι τῶν ἀρ-

---

16. Μονώτατοι.) Σολοικισμὸν κατέγνωσαν οἱ Γραμματικοὶ τούτου τοῦ ὑπερθετικοῦ, ποιηταῖς μόνοις αὐτὸ συγχωρήσαντες, οἷόν ἐστι τὸ τοῦ Ἀριστοφάνους (Πλουτ. 182),

Μονώτατος γὰρ εἶ σὺ πάντων αἴτιος.

— 17. Ἐπώνυμοι τῆς χώρας.) Ἀφ' ὧν ἡ χώρα καὶ οἱ κατοικοῦντες ὠνομάσθησαν· οἱ γὰρ Ἀθηναῖοι πρότερον ἀπὸ μὲν Κραναοῦ Κραναοὶ ἐκλήθησαν, εἶτα ἀπὸ Κέκροπος, Κεκροπίδαι, καὶ μετὰ ταῦτα Ἴωνες ἀπὸ Ἴωνος, ὡς φησιν Ἡρόδοτος (η, 44). Καὶ Ἐρεχθεΐδας δὲ ἀπὸ Ἐρεχθέως, ἐκάλεσαν αὐτοὺς οἱ ποιηταί. Οὐ μόνον δὲ τῆς χώρας κοινῶς, ἀλλὰ καὶ ἰδίᾳ ἑκάστης τῶν δέκα φυλῶν ἐπώνυμός τις ἦν βασιλεὺς ἀρχαῖος ἢ ἥρως· οἷον ἡ Ἐρεχθηῒς φυλή, ἀπὸ Ἐρεχθέως, ἡ Πανδιονὶς, ἀπὸ Πανδίονος, ἡ Αἰαντίς, ἀπὸ Αἴαντος, κ. τ. λ. Ἁρποκρατίων δέ φησιν, «Διττοί εἰσιν οἱ Ἐπώ»νυμοι, οἱ μὲν δέκα τὸν ἀριθμόν, ἀφ' »ὧν αἱ φυλαί· ἕτεροι δὲ, δύο καὶ τετ»ταράκοντα, ἀφ' ὧν αἱ ἡλικίαι προσα»γορεύονται τῶν πολιτῶν καθ' ἕκαστον »ἔτος, ἀπὸ ὀκτωκαίδεκα ἐτῶν μέχρις »ἑξήκοντα.» — 18. Τοὺς τῇ ἀρετῇ) Ἴσ. γρ. τούς τε τῇ ἀρετῇ.

§ 21. 2 Ὡς οὐκ ἄν ποτε ὑπομεῖναι.) Οὕτως ὁ πρὸ ἐμοῦ κατὰ τὸν τοῦ εὐκτικοῦ σχηματισμόν, ἀντὶ τοῦ παρὰ τοῖς πρότερον ἀπαρεμφάτου, ὑπομεῖναι. Ἕτεροι παρῄνουν γράφειν ὑπομείνειε. Οὐδέν, οἶμαι, τούτων ὀρθόγραπτέον, ὡς εἴκασεν ἕτερός τις τῶν κριτικῶν, ὑπέμεινε, ἢ γοῦν κατὰ χώραν ἐῶντας τὸ ἀπαρέμφατον, περιαιρετέον τὸ ἐν ἀρχῇ Ὡς. — 3. Τούτῳ τῷ τεκμηρίῳ κ. τ. λ.) Διαγραπτέον ἴσως τὸ ἄρθρον. — 4. Ἐπεί γε τὸ ἐλθεῖν) Ἴσως ἐγέγραπτο, ἐπεί τό γε ἐλθεῖν. — 5. Παράγουσι.) Ἀπατῶσι. «Παρήγαγεν» »ἤνεγκεν, ἢ ἠπάτησεν» καὶ «Παραγ-

χαίων τινὲς ποιητῶν, ὥσπερ χρησμοὺς γράψαντες τοῖς ἐπιγενομένοις,[6] τάδε τὰ ἰαμβεῖα καταλιπεῖν·

Ὅταν γὰρ ὀργὴ δαιμόνων βλάπτῃ τινά,
Τοῦτ' αὐτὸ πρῶτον ἐξαφαιρεῖται φρενῶν
Τὸν νοῦν τὸν ἐσθλὸν, εἰς δὲ τὴν χείρω τρέπει
Γνώμην· ἵν' εἰδῇ μηδὲν ὧν ἁμαρτάνει.[7]

§ 22. Τίς γὰρ οὐ μέμνηται τῶν πρεσβυτέρων, ἢ τῶν νεωτέρων οὐκ ἀκήκοε, Καλλίστρατον,[2] οὗ θάνατον ἡ πόλις κατέγνω, τοῦτον φυγόντα, καὶ τοῦ θεοῦ τοῦ ἐν Δελφοῖς ἀκούσαντα, ὅτι ἂν ἔλθῃ Ἀθήναζε τεύξεται τῶν νόμων, ἀφικόμενον, καὶ ἐπὶ τὸν βωμὸν τῶν δώδεκα θεῶν καταφυγόντα, καὶ οὐδὲν ἧττον ὑπὸ τῆς πόλεως ἀποθανόντα; Δικαίως· τὸ γὰρ τῶν νόμων τοῖς ἠδικηκόσι τυχεῖν, τιμωρία ἐστίν. Ὁ δέ γε θεὸς ὀρθῶς ἀπέδωκε τοῖς ἠδικημένοις κολάσαι τὸν αἴτιον· δεινὸν γὰρ ἂν εἴη εἰ ταὐτὰ σημεῖα τοῖς εὐσεβέσι καὶ τοῖς κακούργοις φαίνοιτο.[3]

§ 23. Ἡγοῦμαι δ' ἔγωγε, ὦ ἄνδρες, τὴν τῶν θεῶν ἐπιμέλειαν πάσας μὲν τὰς ἀνθρωπίνας πράξεις ἐπισκοπεῖν, μάλιστα δὲ τὴν περὶ τοὺς γονέας καὶ τοὺς τετελευτηκότας, καὶ τὴν πρὸς αὐτοὺς εὐσέβειαν. Εἰκότως· παρ' ὧν γὰρ τὴν ἀρχὴν τοῦ ζῆν εἰλήφαμεν, καὶ πλεῖστα ἀγαθὰ πεπόνθαμεν, εἰς τούτους μὴ ὅτι ἁμαρτεῖν, ἀλλ' ὅτι μὴ εὐεργετοῦντας τὸν αὑτῶν βίον καταναλῶσαι, μέγιστον ἀσέβημά ἐστι.[2] Λέγεται οὖν ἐν Σικελίᾳ (εἰ γὰρ καὶ μυθωδέστερόν ἐστιν, ἀλλ' ἁρμόσει καὶ ὑμῖν ἅπασι τοῖς νεωτέροις[3] ἀκοῦσαι)· ἐκ γὰρ τῆς Αἴτνης ῥύακα πυρὸς γενέσθαι· τούτου

»γαί, ἀπάται κ. τ. λ.» φησὶν Ἡσύχιος. Ἔπιθι καὶ τὰ σημειωθέντα μοι ἀλλαχοῦ (Ξενοφ. Ἀπομνημ. σελ. 304). — 6. Ἐπιγενομένοις.) Γραπτέον ἴσως κατ' ἐνεστῶτα, Ἐπιγιγνομένοις, καθάπερ ἔδοξέ τῳ τῶν κριτικῶν· — 7. Ὅταν γὰρ . . . ἁμαρτάνει.) Τῆς Εὐριπίδου μούσης εἶναι τὰ ἰαμβεῖα ταῦτα εὐλόγως ὑπενόησεν ὁ Οὐαλκενῆρος. Ὁ δὲ νοῦς τῶν λεγομένων, ὅτι ὁ θεὸς ἐπιτρίψαι βουλόμενος τοὺς κακοὺς, ἐξίστησι τῶν φρενῶν. Τοιοῦτόν τι ἐστι καὶ τὸ τοῦ Σοφοκλέους (Ἀντιγ. 622),

Τὸ κακὸν δοκεῖν ποτ' ἐσθλὸν
Τῷδ' ἔμμεν, ὅτῳ φρένας
Θεὸς ἄγει πρὸς ἄταν.

§ 22. 2. Καλλίστρατον.) Οὗ μνημονεύει καὶ Ἰσοκράτης ἐν τῷ Συμμαχικῷ (§ 9.) ἔνθα ἔπιθι τὰς σημειώσεις (τόμ. Β, σελ. 124. Ἴδε καὶ τὸν Böckh, Die Staatshaushaltung der [Athen]er, B. I, S. 246, und 450). — 3. Δεινὸν γὰρ ἂν εἴη, εἰ . . . φαίνοιτο.) Ἐξ ΕΔ, ΑΤ, φαίνονται.

§ 23. 2. Εἰς τούτους μὴ ὅτι ἁμαρτεῖν, ἀλλ' ὍΤΙ μὴ εὐεργετοῦντας τὸν αὑτῶν βίον καταναλῶσαι, μέγιστον ἀσέβημά ἐστι.) Ὁ μὲν νοῦς πρόδηλος· Μέγιστον ἀσέβημά ἐστι μὴ μόνον τὸ ἁμαρτάνειν εἰς τοὺς γονέας, ἀλλὰ καὶ τὸ μὴ καταναλῶσαι τὸν ἑαυτῶν βίον εἰς τὰς περὶ ἐκείνους εὐεργεσίας. Ἡ δὲ λέξις ἔχει τι ἀσύνηθες καὶ ταῖς ἀκοαῖς προσιστάμενον· ἐχρῆν γὰρ φάναι (εἰ ἔμελλε τὸ μὴ ὅτι σημαίνειν τὸ μὴ μόνον)· «Εἰς τούτους μὴ ὅτι ἁμαρ»τεῖν, ἀλλὰ μηδ' εὐεργετοῦντας κ. τ. λ.» Ἴσως ἐγράφετο ἜΤΙ· Οὐ μόνον τὸ μὴ ἁμαρτεῖν περὶ τοὺς γονέας, ἀλλ' ἔτι καὶ τὸ μὴ ἀδιαλείπτως εὐεργετεῖν αὐτοὺς, ἀσέβημα μέγιστον νενόμισται. — 3. Καὶ ΥΜΙΝ ἅπασι τοῖς νεωτέροις.) Παρῄνεσάν τινες γράφειν, «καὶ ὑμῖν καὶ ἅπασι τοῖς νεωτέροις·» ἕτεροι δὲ διὰ μεταθέσεως μόνου τοῦ συνδέσμου,

δὲ ῥεῖν φασὶν ἐπὶ τὴν ἄλλην χώραν, καὶ δὴ καὶ πρός πόλιν τινὰ τῶν ἐκεῖ κατοικουμένων. Τοὺς μὲν οὖν ἄλλους ὁρμῆσαι πρὸς φυγὴν, τὴν αὑτῶν σωτηρίαν ζητοῦντας· ἕνα δέ τινα τῶν νεωτέρων, ὁρῶντα τὸν πατέρα[4] πρεσβύτερον ὄντα, καὶ οὐ δυνάμενον[5] ἀποχωρεῖν, ἀλλὰ ἐγκαταλαμβανόμενον, ἀράμενον φέρειν· φορτίου δ' οἶμαι προσγενομένου, καὶ αὐτὸς ἐγκατελήφθη. Ὅθεν δὴ καὶ ἄξιον θεωρεῖσαι τὸ θεῖον, ὅτι τοῖς ἀνδράσι τοῖς ἀγαθοῖς εὐμενῶς ἔχει. Λέγεται γὰρ κύκλῳ τὸν τόπον ἐκεῖνον περιῤῥεῦσαι τὸ πῦρ, καὶ σωθῆναι τούτους μόνους· ἀφ' ὧν καὶ τὸ χωρίον ἔτι καὶ νῦν προσηγορεῦθαι,[6] Τῶν εὐσεβῶν χῶρον. Τοὺς δὲ ταχεῖαν τὴν ἀποχώρησιν ποιησαμένους, καὶ τοὺς ἑαυτῶν γονεῖς ἅπαντας ἐγκαταλιπόντας, ἀπολέσθαι.[7] Ὥστε καὶ ὑμᾶς δεῖ τὴν παρὰ θεῶν ἔχοντας μαρτυρίαν, ὁμογνωμόνως τοῦτον κολάζειν, τὸν ἅπασι τοῖς μεγίστοις ἀδικήμασιν ἔνοχον ὄντα, κατὰ τὸ ἑαυτοῦ μέρος. Τοὺς μὲν γὰρ θεοὺς τὰς πατρίους[8] τιμὰς ἀπεστέρηκε, τοὺς δὲ γονεῖς τοῖς πολεμίοις ἐγκατέλιπε, τοὺς τετελευτηκότας τῶν νομίμων οὐκ εἴασε τυχεῖν.

§ 24. Καίτοι σκέψασθε, ὦ ἄνδρες· οὐ γὰρ ἀποστήσομαι τῶν παλαιῶν· ἐφ' οἷς γὰρ ἐκεῖνοι ποιοῦντες ἐφιλοτιμοῦντο, καὶ ταῦτα δικαίως ἂν ὑμεῖς ἀκούσαντες ἀποδέχοισθε. Φησὶ γὰρ Εὔμολπον τὸν Ποσειδῶνος[2] καὶ Χιόνης μετὰ Θρᾳκῶν ἐλθεῖν, τῆς χώρας ταύτης ἀμφισβητοῦντα· τυχεῖν δὲ κατ' ἐκείνους τοὺς χρόνους βασιλεύοντα Ἐρεχθέα, γυναῖκα ἔχοντα Πραξιθέαν τὴν Κηφισοῦ θυγατέρα. Μεγάλου δὲ στρατοπέδου μέλλοντος αὐτοῖς εἰσβάλλειν εἰς τὴν χώραν, εἰς Δελφοὺς ἰὼν ἠρώτα τὸν θεὸν, τί ποιῶν ἂν νίκην λάβοι παρὰ τῶν πολεμίων. Χρήσαντος δ' αὐτῷ τοῦ θεοῦ, τὴν θυγατέρα εἰ θύσειε πρὸ τοῦ συμβαλεῖν τῷ στρατοπέδῳ, κρατήσειν τῶν πολεμίων, *ὁ δὲ* τῷ θεῷ πειθόμενος,[3] τοῦτ' ἔπραξε,

---

«ὑμῖν καὶ ἅπασι τοῖς νεωτέροις.» Γραπτέον οἶμαι, «καὶ ΥΜΩΝ ἅπασι τοῖς »νεωτέροις», τουτέστι, καὶ τοῖς νεωτέροις ἅπασιν, ὅσοι τυγχάνουσι μεθ' ὑμῶν ἐνθάδε παρόντες. — 4. ἕνα δέ τινα τῶν νεωτέρων ὁρῶντα τὸν πατέρα κτλ) Ὁ δὲ Παυσανίας (X, 28) δύο ἱστορεῖ τοὺς νεανίσκους, καὶ τὸν μὲν τὴν μητέρα, τὸν δὲ τὸν πατέρα αὐτῶν ἀραμένους διασωθῆναι ἐκ τοῦ πυρός· ᾧ συνᾴδει καὶ ὁ τὸ ψευδῶς εἰς τὸν Ἀριστοτέλην ἀναφερόμενον Περὶ κόσμου σύνταγμα συγγραψάμενος (κεφ. 6). Ὁ δὲ Κτησίας ἕτερόν τι προσετερατεύσατο τῷ μύθῳ, λέγων, ὅτι τὸ τῆς Αἴτνης πῦρ, καὶ μετὰ τὴν σωτηρίαν τῶν εὐσεβῶν, διετέλει τοῦ λοιποῦ, ἐν ἑκάσταις ταῖς ἐξερήσεσι, τὸν ὑπὸ τῶν εὐσεβῶν πεπατημένον μέσον χῶρον ἀθιγῆ καταλείπων. — 5. Οὐ δυνάμενον.) ΔΓ, οὐχὶ δυνάμενον. — 6. Προσηγορεῦθαι.) ΗΔ, ΑΤ, προσαγορεῦσαι. Ὁ Ῥεΐσκιος παρήνει, προσαγορεύεσθαι. — 7. Τοὺς ἑαυτῶν γονεῖς ἅπαντας ἐγκαταλιπόντας, ἀπολέσθαι.) Σαφέστερ' ἂν ἦσαν οὑτωσὶ τεταγμένα· τοὺς ἑαυτῶν γονεῖς ἐγκαταλιπόντας ἅπαντας ἀπολέσθαι. — 8. Τὰς πατρίους.) Ἐξ ΕΔ, ΑΤ. τοὺς πατρίους.

§ 24. 2. Εὔμολπον τὸν Ποσειδῶνος κ. τ. λ.) Παράθες τούτοις καὶ ἃ Ἰσοκράτης (Παναθην. § 78, ) λέ-

καὶ τοὺς ἐπιστρατευομένους ἐκ τῆς χώρας ἐξέβαλε. Διὸ καὶ δικαίως ἄν τις Εὐριπίδην ἐπαινέσειεν, ὅτι τά τε ἄλλ᾽ ὢν ἀγαθὸς ποιητής, καὶ τοῦτον τὸν μῦθον προείλετο ποιῆσαι, ἡγούμενος κάλλιστον ἂν γενέσθαι τοῖς πολίταις παράδειγμα τὰς ἐκείνων πράξεις· πρὸς ἃς ἀποβλέποντας καὶ θεωροῦντας, συνεθίζεσθαι ταῖς ψυχαῖς[4] τὸ τὴν πατρίδα φιλεῖν. Ἄξιον δὲ, ὦ ἄνδρες δικασταὶ, καὶ τῶν ἰαμβείων ἀκοῦσαι ἃ πεποίηκε λέγουσαν τὴν μητέρα τῆς παιδός. Ὄψεσθε γὰρ ἐν αὐτοῖς μεγαλοψυχίαν καὶ γενναιότητα, ἀξίαν καὶ τῆς πόλεως καὶ τοῦ γενέσθαι Κηφισοῦ θυγατέρα.

Τὰς χάριτας ὅστις εὐγενῶς χαρίζεται,
Ἥδιστον[5] ἐν βροτοῖσιν· οἱ δὲ δρῶσι μὲν,
Χρόνῳ δὲ πολλῷ δρῶσι, δυσγενέστεροι.[6]
Ἐγὼ δὲ δώσω τὴν ἐμὴν παῖδα κτανεῖν.
Λογίζομαι δὲ πολλά· πρῶτα μὲν πόλιν
Οὐκ ἄν τιν᾽ ἄλλην τῆσδε βελτίω λαβεῖν,
Ἧ πρῶτα μὲν λεὼς οὐκ ἐπακτὸς ἄλλοθεν,
Αὐτόχθονες δ᾽ ἔφυμεν·[7] αἱ δ᾽ ἄλλαι πόλεις
Πεσσῶν ὁμοίως διαφοραῖς ἐκτισμέναι,
Ἄλλαι παρ᾽ ἄλλων εἰσὶν εἰσαγώγιμοι.[8]
Ὅστις δ᾽ ἀπ᾽ ἄλλης πόλεος οἰκίζει πόλιν,
Ἁρμὸς[9] πονηρὸς ὥσπερ ἐν ξύλῳ παγεὶς,
Λόγῳ πολιστὴς[10] ἐστι, τοῖς δ᾽ ἔργοισιν οὔ.

---

περὶ Εὐμόλπου. — 3. Ὁ δὲ τῷ θεῷ πειθόμενος.) Ὁ πρὸ ἐμοῦ ἐξέδωκεν ἐξ ἀντιγράφων, ὡς δὲ θεῷ πειθόμενος. Ἕτεροι δὲ παρῄνουν εἰς τὴν δεικτικὴν ἀντωνυμίαν τρέπειν, Ὅδε. Ἄμεινον ἴσως τὸ περιελεῖν ὅλως τοῦ χωρίου. — 4. Συνεθίζεσθαι ταῖς ψυχαῖς ΤΟ τὴν πατρίδα φιλεῖ.) Οὕτως ὁ πρὸ ἐμοῦ (ἐξ ἀντιγράφων) ἀντὶ τῆς δοτικῆς ΤΩ. Ἴσως, πᾶν τοὐναντίον, ταύτην κατὰ χώραν ἐῶντας, τὴν πρώτην δοτικὴν ἐχρῆν μεταβάλλειν, γράφοντας, «συνεθίζεσθαι τὰς ψυχὰς τῷ τὴν πατρίδα φιλεῖν.» Τὰ γὰρ τοιαῦτα κατ᾽ αἰτιατικὴν προσώπου καὶ δοτικὴν πράγματος ἐκφράζεσθαι φιλεῖ· μαρτυρεῖ δὲ καὶ ἃ παρατίθησιν ὁ Στέφανος (Θησαυρ. τόμ. Ι, σελ. 1097) παραδείγματα τοῦ Ἐθίζεσθαι, Ἐνεθίζεσθαι καὶ Προσεθίζεσθαι τινὰ τινὶ πράγματι. — 5. Ἥδιστον.) Τὸ ἥδιον τῶν ἀντιγράφων προείλετο ὁ πρὸ ἐμοῦ. Ἕτεροι δὲ παρῄνουν τρέπειν εἰς τὸ Ἥδιστος. — 6. Χρόνῳ δὲ πολλῷ δρῶσι, δυσγενέστεροι.) Τῇ τελευταίᾳ μόνῃ λέξει διαφέρω τοῦ πρὸ ἐμοῦ, ἐκδόντος ἐξ ἀντιγράφων, ἀντὶ τοῦ παρὰ τοῖς ἄλλοις ἐπιθέτου, ἐπιρρηματικῶς, δυσγενέστερον. — 7. Αὐτόχθονες δ᾽ ἔφυμεν.) Ὅπερ ἀνωτέρω (§ 12.) ἔλεγεν ὁ ῥήτωρ καὶ ἐπίστευον πάντες Ἀθηναῖοι, τοῦτο ἀλαζονεύεται καὶ ἡ Πραξιθέα· ἧς καὶ τὸν ἄνδρα Ἐρεχθέα, Γηγενῆ ἐπικεκλῆσθαι φησὶν Ἡρόδοτος (ή, 55), «Ἐρεχθῆος τοῦ »γηγενέος λεγομένου εἶναι κ. τ. τ.» Διὸ καὶ Ἀντισθένης, «τοὺς Ἀθηναίους ἐπὶ »τῷ γηγενεῖς εἶναι σεμνυνομένους ἐκφαυ»λίζων, ἔλεγε, μηδὲν εἶναι κοχλιῶν καὶ »ἀττελέβων εὐγενεστέρους.» (Διογέν. Λαέρτ. VI, 1). Χαριέντως δὲ καὶ ὁ Κωμικὸς (Ἀριστοφάν. Σφ. 1076) καθαπτόμενος τῆς Ἀττικῆς ἀλαζονείας, γέροντας τινὰς παράγει λέγοντας, ὡς εἰσὶν,

Ἀττικοὶ, μόνοι δικαίως εὐγενεῖς αὐτόχθονες
Ἀνδρικώτατον γένος.

— 8. Εἰσαγώγιμοι.) Μεταφορικῶς ἀπὸ τῶν εἰσαγομένων (importés) κατ᾽ ἐμπορίαν ἄλλων ἀλλαχόθεν φορτίων, οὗ τὸ ἀντικείμενον Ἐξαγώγιμον ἐρρέθη ἀνωτέρω. — 9. Ἁρμός.) Γόμφος, ἧλος. — 10. Πολιστής.) ΑΤ, Πολίτης ἐξ ΕΔ (μαρτυρούντων καὶ τῶν ἀντιγράφων) ἔγραψεν ὁ πρὸ ἐμοῦ Πολίστης ὀξυτόνως, δέον βαρυτόνως, Πολιστὴς, παρὰ τὸ Πολίζω (ὥστε ι-

Ἔπειτα τέκνα τοῦδ᾽ ἕκητι[11] τίκτομεν,
Ὡς θεῶν τε βωμοὺς, πατρίδα τε ῥυώμεθα.
Πόλεος δ᾽ ἁπάσης τοὔνομ᾽ ἕν· πολλοὶ δέ νιν
Ναίουσι· τούτους πῶς διαφθεῖραί με χρὴ,
Ἐξὸν πρὸ πάντων μίαν ὑπερδοῦναι[12] θανεῖν;
Εἴπερ γὰρ ἀριθμὸν οἶδα, καὶ τοὐλάσσονος
Τὸ μεῖζον, ἑνὸς μὲν οἶκος οὐ πλεῖον σθένει
Πταίσας ἁπάσης πόλεος, οὐδ᾽ ἴσον φέρει.
Εἰ δ᾽ ἦν ἐν οἴκοις ἀντὶ θηλέων στάχυς
Ἄρσην, πόλιν δὲ πολεμία κατεῖχε φλὸξ,
Οὐκ ἄν μιν ἐξέπεμπον εἰς μάχην δορὸς,
Θάνατον προταρβοῦσ᾽;[13] Ἀλλ᾽ ἔμοι γ᾽ ἔστιν τέκνα,[14]
Ἃ καὶ μάχοιτο καὶ μετ᾽ ἀνδράσι πρέποι·
Μὴ σχήματ᾽ ἄλλως[15] ἐν πόλει πεφυκότα.
Τὰ μητέρων δὲ δάκρυ᾽, ὅταν πέμπῃ τέκνα,
Πολλοὺς ἐθήλυν᾽ εἰς μάχην ὁρμωμένους.
Μισῶ γυναῖκας, αἵτινες πρὸ τοῦ καλοῦ
Ζῆν παῖδας εἵλοντο, καὶ παρήνεσαν κακά.[16]
Καὶ μὴν θανόντες γ᾽ ἐν μάχῃ πολλῶν μέτα,
Τύμβον τε κοινὸν ἔλαχον, εὔκλειάν τ᾽ ἴσην·
Τῇ μῇ δὲ παιδὶ στέφανος, ἡ μία μόνη
Πόλεος θανοῦσα[17] τῆσδ᾽ ὕπερ δοθήσεται·
Καὶ τὴν τεκοῦσαν καὶ σὲ δύο θ᾽ ὁμοσπόρω[18]
Σώσει. Τί τούτων οὐχὶ δέξασθαι καλόν;
Τὴν οὐκ ἐμήν γε πλὴν φύσει δώσω κόρην
Θῦσαι πρὸ γαίας. Εἰ γὰρ αἱρεθήσεται
Πόλις, τί παίδων τῶν ἐμῶν μέτεστί μοι;
Οὔκουν ἅπαντα γοῦν ἐμοὶ σωθήσεται,[19]

---

χιστὴς παρὰ τὸ τειχίζω καὶ φροντιστὴς παρὰ τὸ φροντίζω), καθάπερ ἔγραψεν ὀρθῶς ὁ διορθώσας Ῥείσκιος. — 11. Τοῦδ᾽ ἕκητι.) Τούτου ἕνεκα. — 12. Ὑπερδοῦναι.) Ἐκ ΔΓ, ΔΤ (διῃρημένου) ὑπὲρ δοῦναι. — 13. Οὐκ ἄν μιν . . . . θάνατον προταρβοῦσα.) Οὐκ ἂν ἔπεμπον αὐτὸν εἰς τὴν μάχην, ἀλλ᾽ οἴκοι ἐφύλασσον διὰ τὸν φόβον τοῦ θανάτου. — 14. Ἔστιν τέκνα.) Διὰ τὸ μέτρον, ὡς καὶ ἕτεροι, τὸ ἐφελκυστικὸν, ὃ παρέβλεψεν ὁ πρὸ ἐμοῦ. Εὐχερέστερον ἴσως ἢ ἀσφαλέστερον κατέλιπον τὴν ἀρχαίαν γραφὴν, «ΕΙΙΙ τέκνα» πεισθεὶς οἷς ἐπείσθη ὁ πρὸ ἐμοῦ μεθ᾽ ἑτέρων ἀντιγράφοις, φέρουσι τὴν ὁριστικὴν τοῦ ῥήματος ἔγκλισιν. — 15. Μὴ σχήματ᾽ ἄλλως) Ἐξ ΕΔ, ΔΤ, Μὴ σχήματα δ᾽ ἄλλως, Σχήματα δὲ, κενὰ καὶ μάταια εἴδωλα. — 16. Ζῆν παῖδας εἵλοντο καὶ παρήνεσαν κακά.) Τὸ μὲν Εἵλοντο φθείρει τὸ μέτρον· ὃ δ᾽ ἐξ ΕΔ ἀνθυπέβαλεν ὁ πρὸ ἐμοῦ, Εἷλον, φθείρει τοὺς γραμματικοὺς κανόνας. Ἕτερος δέ τις διορθοῦν ᾠήθη, γράψας, Ἔθελον. Ἴσως περιαιροῦντας τὸ ἀπαρέμφατον, γραπτέον,

Εἵλοντο παῖδας, καὶ παρήνεσαν κακά.

— 17. Ἡ μία μόνη . . . . θανοῦσα.) Οἱ μὲν γράφειν παρήνεσαν, Εἰ μία μόνη κ. τ. λ. ἕτεροι τολμηρότερον (ἴσως γε μὴ καὶ πιθανώτερον), Εἷς μιν ἃ μόνη . . . θανοῦσῃ. — 18. Καὶ τὴν τεκοῦσαν, καὶ σὲ δύο θ᾽ ὁμοσπόρω.) Καὶ τὴν ἐμὲ μητέρα, καὶ σὲ τὸν πατέρα, καὶ τὰς δύο ἀδελφὰς τῆς μελλούσης θανεῖν· τρεῖς γὰρ ἦσαν Ἐρεχθεῖ θυγατέρες, Ἄγραυλος, Ἕρση καὶ Πάνδροσος. — 19. Οὐκ οὖν ἅπαντα ΓΟΥΝ ἐμοὶ σωθήσεται.) Ὁ πρὸ ἐμοῦ ἐξ ἀντιγράφων, ΓΟΥΝ Τ᾽. Μετήλλαξα δὲ (ἐξ ΕΔ) τὸν τόνον τῆς πρώτης λέξεως, γραφομένης τοῖς λοιποῖς, Οὐκ οῦν· Ὁ νοῦς, Οὐ τοίνυν, ἕνεκα τοῦ σωθῆναί μοί γε πάντα, ἀνέξομαι τοῦ ἄρξαι ἄλλους τῆς

Ἄρξουσί τ' ἄλλοι· τήνδ' ἐγὼ[20] σώσω πόλιν.
Ἐκεῖνο δ', οὗ τὸ πλεῖστον ἐν κοινῷ μέρος,
Οὐκ ἔσθ' ἑκούσης τῆς ἐμῆς ψυχῆς ἄτερ,[21]
Προγόνων παλαιὰ θέσμι' ὅστις ἐκβαλεῖ·
Οὐδ' αὖ τελείας χρυσέας τε Γοργόνος[22]
Τρίαιναν ὀρθὴν[23] στᾶσαν ἐν πόλεως βάθροις
Εὔμολπος οὐδὲ Θρᾷξ ἀναστέψει λεώς,[24]
Στεφάνοισι Παλλὰς δ' οὐδαμοῦ τιμήσεται.[25]
Χρῆσθ', ὦ πολῖται, τοῖς ἐμοῖς λοχεύμασι,[26]
Σώζεσθε, νικᾶτ'. Ἀντὶ γὰρ ψυχῆς μιᾶς
Οὐκ, ἔσθ' ὅπως οὐ τήνδ' ἐγὼ σώσω πόλιν.
Ὦ πατρὶς, εἴθε πάντες οἱ ναίουσί σε,
Οὕτω φιλοῖεν ὡς ἐγώ· καὶ ῥᾳδίως[27]
Οἰκοῖμεν ἄν σε, κοὐδὲν ἂν πάσχοις κακόν.

---

πόλεως. — 20. τήνδ' ἐγώ.) Ἐξ ἀντιγράφων, ΑΤ (διῃρημένου), τὴν δ' ἐγώ. — 21. Ψυχῆς ἄτερ.) Ἴσως προέχει ἡ πιθανωτάτη τοῦ Οὐαλκενήρου διόρθωσις, ψυχῆς ἄνερ. Πρὸς γὰρ τὸν ἄνδρα Ἐρεχθέα ἀποτείνει τὸν λόγον ἡ γυνὴ Πραξιθέα. — 22. Οὐδ' ΑΥ τελείας χρυσέας τε Γοργόνος.) ΗΔ, ἀντὶ τοῦ ΑΝ. Γοργόνα τὴν Ἀθηνᾶν καλεῖ, ἀφ' ἧς ἔφερεν ἐπὶ τῆς αἰγίδος ἐγκεκολαμμένης κεφαλῆς μιᾶς τῶν Γοργόνων, τῆς Μεδούσης (Ἰλιάδος ε, 741). Τελείαν δὲ, διὰ τὸ θυγατέρα γεγενέναι Διὸς, ὃν ἐπωνόμαζον τέλειον, ἢ καὶ διότι τελείᾳ ἡλικίᾳ ἐξεληλύθει τῆς κεφαλῆς τοῦ πατρός. «Τέλειος, τελεσιουργὸς, ὁ Ζεὺς, »καὶ ὁλόκληρος,» φησὶν Ἡσύχιος. — 23. Τρίαιναν ὀρθὴν κ. τ. λ.) Αὐτὴν τοῦ Ποσειδῶνος τὴν τρίαιναν, ἥτις ἐδείκνυτο περὶ τὴν ἀκρόπολιν, ὥς φησιν Ἡγησίας παρὰ τῷ Στράβων. (σελ. 396)· «Ὁρῶ τὴν ἀκρόπολιν, καὶ τὸ περὶ τῆς »τριαίνης ἐκεῖ σημεῖον·» ἣν εἰκὸς ἐν αὐτῷ τῷ κατὰ τὴν ἀκρόπολιν Ἐρεχθέως ναῷ κεῖσθαι· ἐν ᾧ, ὥς φησιν Ἡρόδοτος (η, 55) ἐλαία τε καὶ θάλασσαν ἦν, μαρτύρια τῆς πάλαι περὶ τῆς Ἀττικῆς χώρας Ποσειδῶνός τε καὶ Ἀθηνᾶς ἔριδος. Ἔστι δὲ καὶ ἐν τῷ τοῦ Ῥήτορος βίῳ, ὅτι αὐτὸς Λυκοῦργος «διετάξατο »τὴν ἱερωσύνην τοῦ Ποσειδῶνος Ἐρεχ»θέως,» καὶ ὅτι Ἄβρων ὁ υἱὸς αὐτοῦ ἔλαχε τὴν ἱερωσύνην τοῦ θεοῦ, εἶτα Λυκόφρων ὁ ἀδελφὸς, παραχωρήσαντος Ἄβρωνος, προσδιδόντος τῷ ἀδελφῷ τὴν τρίαιναν. Οὐ τοίνυν πειστέον, οὔτε τοῖς παραινέσασι τρέπειν τὸ Τρίαιναν εἰς τὸ Κράνειαν, οὔτε τοῖς ὑπειληφόσιν, ἀκύρως καὶ καταχρηστικῶς τρίαιναν αὐτὸ τῆς Ἀθηνᾶς ὠνομάσθαι τὸ δόρυ. — 24. Εὔμολπος, οὐδὲ Θρᾷξ ἀναστέψει λεώς κ. τ. λ.) Οὐδὲ πάλιν (φησὶν) ὁ Ποσειδῶνος υἱὸς Εὔμολπος, καὶ οἱ μετ' αὐτοῦ παραγενόμενοι Θρᾷκες, νικήσαντες, στεφανώσουσι τὴν τρίαιναν, ἡ δὲ Ἀθηνᾶ παύσεται τιμωμένη στεφάνοις· Καὶ οὗτος μὲν ἔσται ὁ νοῦς τῶν λεγομένων, ἃ παρείληφα ἐκ τοῦ πρὸ ἐμοῦ ἀπαραλλάκτως πλὴν τοῦ ἂν συνδέσμου (Οὐ δ' ἊΝ τελείας) ὃν ἔδοξέ μοι τρεπτέον εἶναι εἰς τὸν αὖ (Οὐ δ' ΑΥ τελείας). Εἰ δὲ φυλάσσοις τὴν ἀρχαίαν γραφὴν ἔχουσαν οὕτως,

Οὐ δ' ἂν τελείας χρυσέας τε Γοργόνος
Τρίαιναν ὀρθὴν, στᾶσαν ἐν πόλεως βάθροις
Εὔμολπος οὐδὲ Θρᾷξ ἈΝΑΣΤΡΕΨΕΙ λεώς,

γραπτέον γοῦν ἈΝΑΣΤΡΕΨῌ (ἢ ὡς ἐδόκει τῷ Ῥεϊσκίῳ, ἈΝΑΤΡΕΨῌ) διὰ τὸν ἂν σύνδεσμον, ἵν' ᾖ ὁ νοῦς, Οὐ τιμηθήσεται στεφάνοις ὁ Εὔμολπος, καὶ ἐὰν ἀναστρέψῃ τὴν ἑστῶσαν ἐν τοῖς βάθροις τῆς πόλεως τρίαιναν. Ἀλλὰ πῶς ἦν εἰκὸς ἀναστρέψαι τὴν τρίαιναν τὸν Εὔμολπον, υἱὸν ὄντα τοῦ Ποσειδῶνος, οὗ ἡ τρίαινα; — 25. Στεφάνοισι Παλλὰς δ' οὐδαμοῦ τιμήσεται.) Ταύτην ἐξ ΕΔ τὴν γραφὴν καὶ στίξιν προειλόμην ἧς ὁ πρὸ ἐμοῦ εἵλετο, «Στεφάνοισιν· Παλλὰς δ' »οὐδαμοῦ τιμήσεται.» — 25. Λοχεύμασι.) Τέκνοις «Λοχεύει, τίκτει, γεννᾷ» Ἡσύχ. — 27. Ἐγώ, καὶ ῥᾳδίως.) Οὕτως ὁ πρὸ ἐμοῦ ἐξ ἀντιγράφων τε καὶ ἐκ διορθώσεως ἀντὶ τοῦ, Ἐγώ καί γε ῥᾳδίως· ὁ δὲ Ῥεΐσκιος διώρθου, ἔγωγε, ῥᾳδίως. Ἴσως δὲ κἂν τῷ προτέρῳ στίχῳ τὸ εὐτικὸν Εἴθε τρεπτέον εἰς τὸ συναπτικὸν, Εἴ γε, ἵν' ᾖ

§ 25. Ταῦτα οὖν, ὦ ἄνδρες, τοὺς πατέρας ἡμῶν ἐπαίδευε. Φύσει γὰρ οὐσῶν φιλοτέκνων πασῶν τῶν γυναικῶν, ταύτην ἐποίησε τὴν πατρίδα μᾶλλον τῶν παίδων φιλοῦσαν, ἐνδεικνύμενος, ὅτι, εἴπερ αἱ γυναῖκες τοῦτο τολμήσουσι ποιεῖν, τούς γε ἄνδρας ἀνυπέρβλητόν τινα δεῖ τὴν εὔνοιαν ὑπὲρ τῆς πατρίδος ἔχειν, μηδὲ φεύγειν αὐτὴν ἐγκαταλιπόντας, μηδὲ καταισχύνειν πρὸς ἅπαντας τοὺς Ἕλληνας, ὥσπερ Λεωκράτης.

§ 26. Βούλομαι δ' ὑμῖν καί τινα τῶν Ὁμήρου παρασχέσθαι ἐπῶν.[2] Οὕτω γὰρ ὑπέλαβον ὑμῶν οἱ πατέρες σπουδαῖον εἶναι ποιητήν, ὥστε νόμον ἔθεντο, καθ' ἑκάστην πενταετηρίδα τῶν Παναθηναίων, μόνου τῶν ἄλλων ποιητῶν ῥαψῳδεῖσθαι τὰ ἔπη,[3] ἐπίδειξιν ποιούμενοι πρὸς τοὺς Ἕλληνας, ὅτι τὰ κάλλιστα τῶν ἔργων προῃροῦντο· εἰκότως. Οἱ μὲν γὰρ νόμοι διὰ τὴν συντομίαν οὐ διδάσκουσιν, ἀλλ' ἐπιτάττουσιν ἃ δεῖ ποιεῖν· οἱ δὲ ποιηταί, μιμούμενοι τὸν ἀνθρώπινον βίον, τὰ κάλλιστα τῶν ἔργων ἐκλεξάμενοι, μετὰ λόγου καὶ ἀποδείξεως τοὺς ἀνθρώπους συμπείθουσιν. Ἕκτωρ γὰρ τοῖς Τρωσὶ παρακελευόμενος, ὑπὲρ τῆς πατρίδος ταῦτα εἴρηκεν,

---

περιόδου πρότασις, ἧς ἡ ἀπόδοσις ἔσται τὸ Καὶ ῥᾳδίως, στίζοντας οὕτως,

Ὦ πατρίς, εἴγε πάντες οἳ ναίουσί σε
Οὕτω φιλοῖεν ὡς ἐγώ, καὶ ῥᾳδίως
Οἰκοῖμεν ἄν σε, κοὐδὲν ἂν πάσχοις κακόν,

Ὦ πόλις, Εἰ πάντες Ἀθηναῖοι ὁμοίως ἐμοί σ' ἐφίλουν, καὶ κατῳκοῦμεν ἄν σε μετὰ ῥᾳστώνης, καὶ οὐδὲν ἂν κακὸν ἔπασχες. Ἔστι δὲ τοῦτο προσόμοιον τῇ συντάξει τε καὶ τῷ νῷ τοῖς ἄλλοθι (Φοιν. 1022) εἰρημένοις τῷ Εὐριπίδῃ·

Εἰ γὰρ λαβὼν ἕκαστος ὅ,τι δύναιτό τις
Χρηστὸν, διέλθοι τοῦτο κεἰς κοινὸν φέροι
Πατρίδι, κακῶν ἂν αἱ πόλεις ἐλασσόνων
Πειρώμεναι, τολοιπὸν εὐτυχοῖεν ἄν.

§ 26. 2. Βούλομαι δ' ὑμῖν καί τινα τῶν Ὁμήρου παρασχέσθαι ἐπῶν.) Εἰς ταῦτα μετεποίουν πάλαι (Πρόδρ. Ἑλληνικ. βιβλιοθ. σελ. ξή) τὴν παρ' ἅπασι φερομένην γραφήν· «Βούλομαι δ' ὑμῖν »καὶ τὸν Ὅμηρον παρασχέσθαι ἐπαι»νῶν·» οὐδ' ἂν ἐτόλμησα χρήσασθαι νῦν τῇ διορθώσει, εἰ μὴ καὶ Ῥείσκιος τὴν αὐτὴν ἐμοὶ πρὸ ἐμοῦ ἐπενενοήκει διόρθωσιν, ὅπερ οὐκ εἰδότα τότε διδάσκει με νῦν ὁ πρὸ ἐμοῦ. Ἴσως δὲ καὶ ἑτέρως ἐστὶ διορθοῦν, μετατρέποντα τὴν μετοχὴν εἰς ὄνομα . . . καὶ τῶν Ὁμήρου παρασχέσθαι ἐπαίνων, τουτέστι παραινέσεων, συμβουλῶν, προτροπῶν ἐπὶ τὸν πόλεμον, ὥσπερ ἡρμήνευσε καὶ ὁ Λατῖνος μεταφραστής: Volo autem vobis et Homeri quasdam exhibere adhortationes. Δηλοῖ δὲ καὶ ὃ μικρὸν ὑποβὰς φήσει ὁ ῥήτωρ περὶ τῶν ποιητῶν, ὅ,τι τοὺς ἀνθρώπους συμπείθουσιν. «Αἰνέσαιμι, ἀναπείσαιμι» φησὶν Ἡσύχιος, καὶ αὖθις, «Ἐπαίνους, τὰς »κρίσεις καὶ τὰς συμβουλίας κ. τ. λ.» Ἀρέσκει μοι μέντοι μᾶλλον ἡ πρώτη διόρθωσις· ἐχρήσατο γὰρ ἐνταῦθα τῇ λέξει, ΕΠΩΝ, πρὸ τοῦ τὰ ἔπη αὐτὰ ἀπαγγεῖλαι, ὥσπερ καὶ ΙΑΜΒΕΙΩΝ εἴρηκεν ἀνωτέρω (§ 24.) πρὸ τοῦ τὰ ἰαμβεῖα ἀπαγγεῖλαι τοῦ Εὐριπίδου, καὶ ΕΛΕΓΕΙΩΝ ἐν τοῖς ἑξῆς (§ 28.) ἐρεῖ, πρὸ τοῦ τὰ ἐλεγεῖα ἀπομνημονεῦσαι τὰ Τυρταίου. — 3. Ῥαψῳδεῖσθαι τὰ ἔπη.) Ὑπὸ ῥαψῳδῶν ἀπαγγέλλεσθαι. «ῥαψῳδοί, ὑποκριταὶ ἐπῶν» φησὶν Ἡσύχιος. Λέγει δ' ὁ αὐτὸς ὅτι καὶ ἐπὶ κακοῦ τέθειται ἡ λέξις «Ῥαψῴδημα, ψεῦσμα, φλυαρία,» διὰ τὴν τῶν ῥαψῳδῶν δηλονότι τερατείαν, καὶ τὸν κόμπον. Ἐφίεται τοίνυν καὶ ἡμῖν χρῆσθαι ἐπὶ τοῦ αὐτοῦ σημαινομένου συνήθως τῷ Ῥαψῳδία ἢ τῷ Ῥαψῴ-

Ἀλλὰ μάχεσθ'[4] ἐπὶ νηυσὶ διαμπερές.[5] Ὃς δέ κεν ὑμέων
Βλήμενος ἠὲ τυπεὶς, θάνατον καὶ πότμον ἐπίσπῃ,
Τεθνάτω! Οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης
Τεθνάμεν· ἀλλ' ἄλοχός τε σόη καὶ νήπια τέκνα,[6]
Καὶ κλῆρος καὶ οἶκος[7] ἀκήρατος, εἴ κεν Ἀχαιοὶ
Ἴκωνται[8] σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν.

§ 27. Τούτων τῶν ἐπῶν ἀκούοντες, ὦ ἄνδρες, οἱ πρόγονοι ὑμῶν, καὶ τὰ τοιαῦτα τῶν ἔργων ζηλοῦντες, οὕτως ἔσχον πρὸς ἀρετὴν, ὥστε οὐ μόνων ὑπὲρ τῆς αὑτῶν πατρίδος, ἀλλὰ καὶ πάσης Ἑλλάδος, ὡς κοινῆς ἤθελον ἀποθνήσκειν. Οἱ γοῦν ἐν Μαραθῶνι παραταξάμενοι τοῖς βαρβάροις, τὸν ἐξ ἁπάσης τῆς Ἀσίας στόλον ἐκράτησαν, τοῖς ἰδίοις κινδύνοις κοινὴν ἄδειαν[2] ἅπασι τοῖς Ἕλλησι κτώμενοι· οὐκ ἐπὶ τῇ δόξῃ μέγα φρονοῦντες, ἀλλ' ἐπὶ τῷ ταύτης ἄξια πράττειν, τῶν μὲν Ἑλλήνων προστάτας, τῶν δὲ βαρβάρων δεσπότας ἑαυτοὺς καθιστάντες· οὐ γὰρ λόγῳ τὴν ἀρετὴν ἐπετήδευον, ἀλλ' ἔργῳ πᾶσιν ἀπεδείκνυντο.

§ 28. Τοιγαροῦν οὕτως ἦσαν ἄνδρες σπουδαῖοι[2] καὶ κοινῇ καὶ ἰδίᾳ οἱ τότε τὴν πόλιν οἰκοῦντες, ὥστε τοῖς ἀνδρειοτάτοις Λακεδαιμονίοις ἐν τοῖς ἔμπροσθεν χρόνοις πολεμοῦσι πρὸς Μεσσηνίους ἀνεῖλεν ὁ θεὸς παρ' ἡμῶν ἡγεμόνα λαβεῖν, καὶ νικήσειν τοὺς ἐναντίους. Καίτοι, εἰ τῶν ἀφ' Ἡρακλέους γεγενημένων,[3] οἱ ἀεὶ βασιλεύουσιν ἐν Σπάρτῃ, τοὺς παρ' ὑμῶν ἡγεμόνας ἀμείνους ὁ θεὸς ἔκρινε, πῶς οὐκ ἀνυπέρβλητον χρὴ τὴν ἐκείνων ἀρετὴν νομίζειν; Τίς γὰρ οὐκ οἶδε τῶν Ἑλλήνων, ὅτι Τυρταῖον στρατηγὸν ἔλαβον παρὰ τῆς πόλεως, μεθ' οὗ καὶ τῶν πολεμίων ἐκράτησαν, καὶ τὴν περὶ τοὺς νέους ἐπιμέλειαν συνετάξαντο, οὐ μόνον εἰς τὸν παρόντα κίνδυνον, ἀλλ' εἰς ἅπαντα τὸν αἰῶνα βουλευσάμενοι καλῶς; Κατέλιπε γὰρ αὐτοῖς ἐλεγεῖα ποιήσας, ὧν ἀκούοντες παιδεύονται πρὸς ἀνδρείαν. Καὶ περὶ τοὺς ἄλλους ποιητὰς οὐδένα λόγον ἔχοντες, περὶ τοῦτον[4] οὕτω σφόδρα ἐσπουδάκασιν,

---

δημα, ὥσπερ κέχρηνται καὶ οἱ Γάλλοι τῷ rapsodie. — 4. Ἀλλὰ μάχεσθ' κ. τ. λ.) Ἐκ τῆς Ἰλιάδος (ο, 494). — 5. Διαμπερές.) Ἐν δὲ τῷ νῦν φερομένῳ τοῦ Ποιητοῦ ὕφει, Ἀολλέες, — 6. Νήπια τέκνα.) Ἀντὶ τούτων παρὰ τῷ Ποιητῇ νῦν, Παῖδες ὀπίσσω. — 7. Καὶ κλῆρος καὶ οἶκος.) Ἀνεστραμμένως παρὰ τῷ Ποιητῇ, Καὶ οἶκος καὶ κλῆρος. — 8. Ἵκωνται.) Ὁ Ποιητὴς, Οἴχωνται.

§ 27. 2. Ἄδειαν.) Sécurité, Γαλλιστί.

§ 28. 2. Ἄνδρες σπουδαῖοι.) Σπουδῆς ἄξιοι, περὶ οὓς μάλιστ' ἄν τις σπουδάσειε· καθὰ καὶ μικρὸν ἀνωτέρω (§. 26) σπουδαῖον ποιητὴν εἴρηκε τὸν Ὅμηρον. Παρ' ἡμῖν νῦν ὁ Σπουδαῖος σημαίνει τὸν ἄλλως λεγόμενον Λόγιον ἢ Λογιώτατον (homme de lettres). Καὶ ἔστιν οὐκ ἄχαρι τὸ ἐπίθετον· ἁρμόσαι δ' ἂν μάλιστα ἐκείνοις τῶν λογίων, οἱ καὶ σπουδῆς καὶ λόγου ἄξιοι τῇ πατρίδι γενέσθαι σπουδάζουσι. — 3. Τῶν ἀφ' Ἡρακλέους γεγενημένων.) Ὁ πρὸ ἐμοῦ ἀντιγράφοις πεισθεὶς ἔγραψε, τοῖς ἀφ' Ἡρακλέους γεγενημένοις. — 4. Περὶ τοῦτον.) Ὁ

ὥστε νόμον ἔθεντο, ὅταν ἐν τοῖς ὅπλοις ἐκστρατευόμενοι ὦσι,[5] καλεῖν ἐπὶ τὴν τοῦ βασιλέως σκηνὴν ἀκουσομένους τῶν Τυρταίου ποιημάτων ἅπαντας, νομίζοντες οὕτως ἂν αὐτοὺς μάλιστα πρὸ τῆς πατρίδος ἐθέλειν ἀποθνήσκειν. Χρήσιμον δ' ἐστὶ καὶ τούτων ἀκοῦσαι τῶν ἐλεγείων, ἵν' ἐπίστησθε οἷα ποιοῦντες εὐδοκίμουν παρ' ἐκείνοις·

Τεθνάμεναι γὰρ καλὸν ἐπὶ προμάχοισι[6] πεσόντα
　Ἄνδρ' ἀγαθὸν, περὶ ᾗ πατρίδι μαρνάμενον.[7]
Τὴν δ' αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγροὺς
　Πτωχεύειν,[8] πάντων ἔστ' ἀνιηρότατον,
Πλαζόμενον[9] σὺν μητρὶ φίλῃ καὶ πατρὶ γέροντι,
　Παισί τε σὺν μικροῖς, κουριδίῃ τ' ἀλόχῳ.[10]
Ἐχθρὸς μὲν γὰρ τοῖσι μετέσσεται, οὓς κεν ἵκηται,
　Χρησμοσύνῃ τ' εἴκων καὶ στυγερῇ πενίῃ·
Αἰσχύνει τε γένος, κατὰ δ' ἀγλαὸν[11] εἶδος ἐλέγχει·
　Πᾶσα δ' ἀτιμίη[12] καὶ κακότης[13] ἕπεται.
Εἰθ' οὕτως ἀνδρός τοι ἀλωμένου οὐδεμί' ὤρη[14]
　Γίγνεται, οὐδ' αἰδὼς[15] εἰσοπίσω[16] τελέθει·
Θυμῷ γῆς περὶ τῆσδε μαχώμεθα, καὶ περὶ παίδων
　Θνήσκωμεν, ψυχέων μηκέτι φειδόμενοι.
Ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες·
　Μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε, μηδὲ φόβου·
Ἀλλὰ μέγαν ποιεῖτε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν·
　Μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι.
Τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ' ἐλαφρὰ,
　Μὴ καταλείποντες φεύγετε τοὺς γεραιούς.
Αἰσχρὸν γὰρ δὴ τοῦτο, μετὰ προμάχοισι πεσόντα
　Κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,
Ἤδη λευκὸν ἔχοντα κάρη, πολιόν τε γένειον,

---

πρὸ ἐμοῦ, περὶ τούτου, ὡς αἱ ἀρχαῖαι ἐκδόσεις. Τῇ (ἐξ ΕΔ) εἰς αἰτιατικὴν τροπῇ μαρτυρεῖ καί τινα τῶν ἀντιγράφων. — 5. Ὅταν ἐν.... ὦσι.) Ἐξ ΕΔ, ΑΤ, ὅταν ἐν.... εἰσι· Ἕτεροι δὲ διώρθουν, ὅτ' ἐν.... εἰσί. — 6. Ἐπὶ προμάχοισι.) Εἰσὶν οἳ γραπτέον εἶναι, ἐνὶ προμάχοισι, οὐκ ἀπιθάνως ὑπενόησαν· ἐπὶ καὶ ἐν τοῖς ἑξῆς, «Ἐν προμάχοισι πεσὼν» ἐρεῖ. — 7. Μαρνάμενον.) «Μάρναται, μάχεται ἐν «πολέμῳ» Ἡσύχ. — 8. Πτωχεύειν.) Ἐπαιτεῖν, ὃ ἡ συνήθεια ψωμοζητεῖν λέγει. Ἔπιθι τὰ ἔμπροσθεν (§ 20) σημειωθέντα. — 9. Πλαζόμενον.) Πλανώμενον. — 10. Κουριδίῃ τ' ἀλόχῳ.) Ἣν ἔγημε παρθένον παρὰ τῶν κυρίων λαβών. «Κουριδίας, ἐκ παρθένου γα»μετῆς» Ἡσύχ. — 11. Ἀγλαόν.) Καλὸν λαμπρὸν ἀνθηρόν· διὸ καὶ τὰ καλλύνοντα τὴν ὄψιν οὐ μόνον κοσμεῖν (ὅθεν τὰ κοσμιτικὰ, cosmètiques), ἀλλὰ καὶ ἀγλαΐζειν εὕρηται λεγόμενα παρ' Ἱπποκράτει (Περὶ γυναικ. II. § 67. σελ. 595). — 12. Ἀτιμίη) Ἐξ ΕΔ, ΑΤ, ἀτιμία. — 13. Κακότης.) «Κακότης »κάκωσις, βλάβη» Ἡσύχ. — 14. Ὤρη.) «Ὦρα... ψιλῶς δὲ [Ὥρα], φροντὶς, ἐπι»μέλεια· ὅθεν καὶ ὀλίγωρον λέγομεν τὸν »ὀλίγην ἔχοντα φροντίδα.» Ἡσύχ. — 15. Οὐδ' αἰδώς.) Ἐκ ΔΓ, ΑΤ, οὔτ' αἰδώς. — 16. Εἰσοπίσω.) Ὁ πρὸ ἐμοῦ ἐξ ἀντιγράφων, εἰς τὸ πίσω. Δύναται δὲ τὸ Εἰσοπίσω (ἢ Εἰς τὸ πίσω) τελέθει ταὐτὸν τῷ ἀνωτέρω διὰ μιᾶς λέξεως Ἕπεται, ἢ τῷ Ὁμηρικῷ Ὀπηδεῖ, συνθέτῳ ῥήματι ἐκ τοῦ Ὄπις (ἐξ οὗ τὸ Ὀπίσω) καὶ τοῦ Ἀδεῖν, τὸ ἕπεσθαι. «Ἀδεῖν »ἀκολουθεῖν» φησὶν Ἡσύχιος, καὶ «Ὀπη

Θυμὸν ἀποπνείοντ᾽ ἄλκιμον ἐν κονίῃ,
Αἱματόεντ᾽ αἰδοῖα φίλαις ἐνὶ χερσὶ ἔχοντα·
Αἰσχρὰ τά γ᾽ ὀφθαλμοῖς καὶ νεμεσητὸν ἰδεῖν,
Καὶ χρόα γυμνωθέντα. Νέοισι δὲ πάντ᾽ ἐπέοικεν,[17]
Ὄφρ᾽ ἐρατῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ·
Ἀνδράσι μὲν θνητὸς[18] ἰδεῖν· ἐρατὸς δὲ γυναιξὶ
Ζωὸς ἐὼν, καλὸς δ᾽ ἐν προμάχοισι πεσών.
Ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισι
Στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών.

Καλά γε, ὦ ἄνδρες, καὶ χρήσιμα τοῖς βουλομένοις προσέχειν. Οὕτω τοίνυν εἶχον πρὸς ἀνδρείαν οἱ τούτων ἀκούοντες, ὥστε πρὸς τὴν πόλιν ἡμῶν περὶ τῆς ἡγεμονίας ἀμφισβητεῖν. Εἰκότως· τὰ γὰρ κάλλιστα τῶν ἔργων ἀμφοτέροις ἦν κατειργασμένα. Οἱ μὲν γὰρ πρόγονοι τοὺς βαρβάρους ἐνίκησαν, οἱ πρῶτοι τῆς Ἀττικῆς ἐπέβησαν, καὶ καταφανῆ ἐποίησαν τὴν ἀνδρείαν τοῦ πλούτου, καὶ τὴν ἀρετὴν τοῦ πλήθους περιγιγνομένην· Λακεδαιμόνιοι δ᾽ ἐν Θερμοπύλαις παραταξάμενοι, ταῖς μὲν τύχαις οὐχ ὁμοίαις[19] ἐχρήσαντο, τῇ δ᾽ ἀνδρείᾳ πολὺ πάντων διήνεγκαν. Τοιγαροῦν ἐπὶ τοῖς ἠρίοις τοῦ βίου μαρτύριά ἐστιν ἰδεῖν τῆς ἀρετῆς αὐτῶν ἀναγεγραμμένα[20] ἀληθῆ πρὸς ἅπαντας τοὺς Ἕλληνας,

---

»δεῖν, ἀκολουθεῖν.» — 17. Νέοισι δὲ πάντ᾽ ἐπέοικεν.) Ὅτι ἐκ τῆς Ὁμήρου (Ἰλιάδ. χ΄, 71) πηγῆς ἀπηρύσατο τοῦτο ὁ Τυρταῖος, σεσημείωται ἤδη ἐν ἄλλοις (Ὀνησάνδρ. σελ. 179). Οὐκ ἀλόγως τῶν κριτικῶν τις εἰς τὸ ἑνικὸν τρέπειν παρήνει, «νέῳ δέ τε πάντ᾽ ἐπέοικεν» οὐ μόνον διὰ τὸ καὶ ὑφ᾽ Ὁμήρου ἑνικῶς ἐκπεφράσθαι, ἀλλὰ καὶ διὰ τὸ ἐπιφερόμενον ἑνικὸν ῥῆμα, «ἀγλαὸν ἄνθος ἔχῃ.» Οὐ μετακινητέον μέντοι τὴν γραφήν· τὸ γὰρ ἔχῃ οὐ κατηγορεῖται τοῦ Νέων (ἀγλαὸν ἄνθος ἔχωσι), ἀλλ᾽ ὡς αἰτιατικῇ μεταβατικῶς ἐκείνῳ συντάσσεται, (Ἀγλαὸν ἄνθος ἔχῃ τοὺς νέους), κατὰ τὸ τῆς Σαπφοῦς (παρ᾽ Ἀριστοτέλ. Ῥητορικ. I, 9, § 20),

Αἰδώς κε σεῦ οὐκ εἶχεν ὄμματα,

τουτέστιν, οὐκ ἂν εἶχέ σου τὰ ὄμματα ἡ αἰδώς, Οὐ κατεκέχυτό σου τῶν ὀμμάτων αἰσχύνη. — 18. Θνητός.) Τὴν ἐξ ΕΔ κἀνταῦθα, ὥσπερ καὶ ἐν τοῖς παρ᾽ Ὀνησάνδρῳ παρείληφα, ἀντὶ τοῦ Θνητοῖσιν. — 19. Οὐχ ὁμοίαις.) Τὴν μὲν ἄρνησιν ἐξ ΕΔ (ἀναμφιλέκτου) προσέθηκα· τὸ δ᾽ ἐπίρρημα ὁμοίως ἔτρεψα εἰς τὸ ὁμοίαις, ὥσπερ ἔγραψα καὶ ἐν τῷ Ἰσοκράτους Πανηγυρικῷ, ὅθεν πιστοῦται καὶ ἡ ἐνθάδε προστεθεῖσα ἄρνησις. Λέγει γὰρ ἐκεῖ Ἰσοκράτης περὶ Λακεδαιμονίων, «Ἴσας δὲ τὰς τόλμας παρασχόντες ΟΥΧ ΟΜΟΙΑΙΣ »ἐχρήσαντο ταῖς τύχαις κ. τ. λ.» (Πανηγυρ. § 26. σελ. 55. καὶ Σημ. σελ. 43) Καὶ Λυσίας δὲ τὰ αὐτὰ περὶ αὐτῶν οὐ τοῖς αὐτοῖς ῥήμασι. «Λακεδαιμόνιοι δὲ ΕΔΥΣΤΥΧΗΣΑΝ... οὐχ ἡττηθέντες τῶν ἐναντίων ἀλλ᾽ ἀποθανόντες οὗπερ ἐτάχθησαν μάχεσθαι.» (Λυσ. Ἐπιτάφ. σελ. 288, ἔκδ. Auger). Μαρτυρεῖ τελευταῖον τῇ χρείᾳ τῆς ἀρνήσεως αὐτὸς οὗτος ὁ Λυκοῦργος, φήσας ἀνωτέρω (§ 13. 4.) περὶ τῶν ἐν Χαιρωνείᾳ πεσόντων· «Τοῖς ἀρίστοις ἀνδράσιν ἐξ ἴσου τῶν κινδύνων μετασχόντες οὐχ ὁμοίως (γρ. ὁμοίας) τῆς τύχης ἐκοινώνησαν κ. τ. λ.» — 20. Ἐπὶ τοῖς ΗΡΙΟΙΣ τοῦ βίου μαρτύρια... ἀναγεγραμμένα.) ΗΔ, ἀντὶ τοῦ πολλὰ παρασχόντος τοῖς κριτικοῖς πράγματα ΟΡΙΟΙΣ, ὅπερ οἱ μὲν συνῆπτον τοῖς ἑξῆς· τοῦ βίου, ἵν᾽ εἴη ταυτὸν τῷ Ἐπὶ τῷ τέρματι τοῦ βίου, οἱ δὲ, συνάπτοντες καὶ αὐτοὶ, τρέπειν ὅμως παρῄνουν τὸ ἑξῆς εἰς ὄνομα τόπου, Ἐπὶ τοῖς ὁρίοις τοῦ Ῥίου, ἀκρωτηρίου οὕτω καλουμένου τῆς Ἀχαΐας. Τῆς ἡμετέρας διορθώσεως ὁ νοῦς ἐστι, Ἔστιν ἰδεῖν μαρτύρια τῆς ἀρετῆς τοῦ βίου αὐτῶν ἀναγε-

Ω᾽ ξεῖν᾽, ἄγγειλον[21] Λακεδαιμονίοις, ὅτι τῇδε
Κείμεθα,[22] τοῖς κείνων πειθόμενοι νομίμοις.[23]

Τοῖς δὲ ὑμετέροις προγόνοις,

Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι,
Χρυσοφόρων Μήδων ἐστόρεσαν[24] δύναμιν.

§ 29. Ταῦτα, ὦ Ἀθηναῖοι, καὶ μνημονεύεσθαι καλὰ, καὶ τοῖς πράξασιν[2] ἔπαινος, καὶ τῇ πόλει δόξα ἀείμνηστος. Ἀλλ᾽ οὐχ ὁ Λεωκράτης πεποίηκεν, ἀλλ᾽ ἑκὼν τὴν ἐξ ἅπαντος τοῦ αἰῶνος συνηθροισμένην τῇ πόλει δόξαν κατῄσχυνεν.[3] Ἐὰν μὲν οὖν ἀποκτείνητε αὐτὸν, δόξετε πᾶσι τοῖς Ἕλλησι καὶ ὑμεῖς τὰ τοιαῦτα τῶν ἔργων μισεῖν· εἰ δὲ μὴ, καὶ τοὺς προγόνους τῆς παλαιᾶς δόξης ἀποστερήσετε, καὶ τοὺς ἄλλους πολίτας μεγάλα βλάψετε. Οἱ γὰρ ἐκείνους μὴ θαυμάζοντες, τοῦτον πειράσονται μιμεῖσθαι, νομίζοντες ἐκεῖνα μὲν παρὰ τοῖς παλαιοῖς[4] εὐδοκιμεῖν, παρὰ δ᾽ ὑμῖν ἀναίδειαν καὶ προδοσίαν κεκρίσθαι κάλλιστον.

---

γραμμένα ἐπὶ τοῖς τάφοις. Εἰ δέ τις δυσχεραίνων τῷ ἀσυνδέτῳ τῶν δύο γενικῶν, παρεμβαλεῖν προαιρεῖτο καὶ τῶν συμπλεκτικῶν τινὰ, «τοῦ βίου.. τῆς τ᾽ ἀρετῆς» ἢ «τοῦ βίου... ΚΑΙ τῆς τ᾽ ἀρτῆς» παρεμβαλέτω, τὸ γοῦν ἠρίοις πιστεύων ὑπ᾽ αὐτοῦ Λυκούργου γεγράφθαι ἐν τούτῳ, ὡς καὶ ἐν ἑτέρῳ αὐτοῦ λόγῳ ἠφανισμένῳ ἀναμφιλέκτως ἐγέγραπτο. Λέγει γὰρ ὁ Ἁρποκρατίων. «Ἠρία, »Λυκοῦργος ἐν τῷ κατ᾽ Αὐτολύκου. »Ἠρία εἰσὶν οἱ τάφοι, ὡς καὶ αὐτὸς ὁ »ῥήτωρ δῆλον ποιεῖ κ. τ. λ.» Οὐ μόνον δὲ Λυκοῦργος, ἀλλὰ καὶ Δημοσθένης καὶ Ἰσαῖος καὶ Δείναρχος καὶ ἄλλοι ἐχρήσαντο τῇ λέξει, καθὰ ἐσημειώσαντο οἱ κριτικοί. — 21. Ὦ ξεῖν᾽, ἄγγειλον κ. τ. λ.) Πρῶτος Ἡρόδοτος ἐμνημόνευσε τοῦ ἐπιγράμματος καὶ μετ᾽ ἐκεῖνον Διόδωρος ὁ Σικελιώτης, καὶ Στράβων, Σιμωνίδου ποιήσαντος, ὥς φησι Κικέρων (Tuscul quaest. I, 42). Διαλλάττει δὲ μικρὸν ἡ γραφή· παρὰ μὲν γὰρ τῷ Στράβωνι (σελ. 429) φέρεται, Ω᾽ ξέν᾽, ἀπάγγειλον, παρὰ δὲ τῷ Διοδώρῳ (XI, 33), Ὦ ξένε, ἄγγειλον, Ἡροδότου (VII, 228) σώσαντος, οἶμαι, τὴν γνησίαν γραφὴν, ἣν ἐξέγραψε καὶ Σουΐδας (Λέξ. Λεωνίδης) Ω᾽ ξεῖν᾽ ἀγγέλειν. Δωριέων γὰρ οὐχ ἧττον ἢ Ἰώνων ἡ τῶν ἀπαρεμφάτων ἀντὶ τῶν προστακτικῶν χρῆσις. — 22. Κείμεθα.) Ἶσον τῷ Τέθναμεν, ὥσπερ ἐξηγεῖται Ἡσύχιος, «Κεῖ»ται. Ἀεὶ ἐπὶ κακοῦ τίθεται τοῦτο, ἢ »θανάτου, ἢ ἀπραξίας.» Ἴσως δὲ καὶ ἐν οἷς ἀνωτέρω εἰρήκει ὁ αὐτὸς Ἡσύχιος, «Κείσομαι, ΤΕΘΗΣΟΜΑΙ» ἐγέγραπτο πάλαι, ΤΕΘΝΗΞΟΜΑΙ. — 23. Πειθόμενοι νομίμοις.) Συμφωνούντων τῶν λοιπῶν, μόνος Ἡρόδοτος φέρει (ἀπογράψαντος καὶ τοῦ Σουΐδα) ῥήμασι πειθόμενοι, γραφὴν οἶμαι τῆς ἄλλης προέχουσαν διὰ τὸ ῥήμασι, ᾧπερ εἰκὸς τοὺς νόμους σημαίνεσθαι παρὰ τοῖς Λάκωσιν, οἳ καὶ Ῥήτρας αὐτοὺς ὠνόμαζον, οἱονεὶ ῥήσεις καὶ χρησμοὺς τοῦ θεοῦ, ὡς ἔστι μαθεῖν παρὰ τοῦ Πλουτάρχου (Λυκοῦργ. § 6. καὶ Ἀγησίλ. § 26). Λέγει δὲ καὶ Ἡσύχιος. «Ῥήτρεις, »νόμοι, δόγματα... ψηφίσματα.» Ὁ δὲ Φώτιος. «Ῥήτρα... Ταραντῖνοι δὲ νό»μους καὶ οἷον ψηφίσματα. Παρὰ Λα»κεδαιμονίοις Ῥήτρα Λυκούργου νό»μος, ὡς ἐκ χρησμοῦ τιθέμενος (γρ. »τεθειμένος) κ. τ. λ.» — 24. ἐστόρεσαν.) Κατέβαλον, ἐνίκησαν, μεταφορικῶς ἀπὸ τῶν στρωννυμένων ἢ ἐφαπλουμένων ἐπί τινος. «Ἐστόρεσαν, ἔστρωσαν» φησὶν Ἡσύχιος. Ὅθεν καὶ Στρωμνὴ, ἐφ᾽ ἣ στορεννύμεθα, ὑπνῶσαι βουλόμενοι, ἣν ἡ συνήθεια Στρῶμα καλεῖ.

§ 29. 2. Τοῖς πράξασιν.) Ἐξ ΕΔ, ΑΤ, ταῖς πράξεσι. — 3. Τὴν ἐξ ἅπαντος τοῦ αἰῶνος συνηθροισμένην τῇ πόλει δόξαν κατῄσχυνεν.) Σημειοῦ τὸ κομψὸν ἅμα καὶ δριμὺ τῆς φράσεως, ὥσπερ ἂν εἰ λέγε, Πλοῦτον ἐκ πολλοῦ καὶ διὰ πολλῶν πόνων συνειλεγμένον, μιᾷ πράξει ἀσώτως ἐξέχεε καὶ κατηνάλωσε. — 4. Παλαιοῖς.) Ἐξ ΕΔ, ΑΤ, πολεμίοις.

§ 30. Εἰ δὲ μὴ δύνασθε[2] ὑπ' ἐμοῦ διδαχθῆναι, ὃν τρόπον δεῖ πρὸς τοὺς τοιούτους ἔχειν, σκέψασθε ἐκείνους τίνα τρόπον ἐλάμβανον παρ' αὐτῶν τὴν τιμωρίαν. Ὥσπερ γὰρ τὰ καλὰ τῶν ἔργων ἠπίσταντο ἐπιτηδεύειν, οὕτω καὶ τὰ πονηρὰ προῃροῦντο κολάζειν. Ἐκεῖνοι γάρ, ὦ ἄνδρες, θεωρήσατε ὡς ὠργίζοντο τοῖς προδόταις, καὶ κοινοὺς ἐχθροὺς ἐνόμιζον εἶναι τῆς πόλεως. Φρυνίχου γὰρ ἀποσφαγέντος νύκτωρ παρὰ τὴν κρήνην τὴν ἐν τοῖς Οἰσυΐοις[3] ὑπὸ Ἀπολλοδώρου καὶ Θρασυβούλου,[4] καὶ τούτων ληφθέντων, καὶ εἰς τὸ δεσμωτήριον ἀποτεθέντων ὑπὸ τῶν Φρυνίχου φίλων, αἰσθανόμενος[5] ὁ δῆμος τὸ γεγονὸς τούς τε εἰρχθέντας ἐξῆγε,[6] καὶ βασάνων γενομένων ἀνέκρινε· καὶ ζητῶν τὸ πρᾶγμα, εὗρε τὸν μὲν Φρύνιχον προδιδόντα τὴν πόλιν, τοὺς δ' ἀποκτείναντας αὐτὸν ἀδίκως εἰρχθέντας. Καὶ ψηφίζεται ὁ δῆμος, Κριτίου εἰπόντος, τὸν μὲν νεκρὸν κρίνειν προδοσίας, κἂν δόξῃ προδότης ὢν ἐν τῇ χώρᾳ τεθάφθαι,[7] τά τε ὀστᾶ αὐτοῦ ἀνορύξαι καὶ ἐξορίσαι ἔξω τῆς Ἀττικῆς· ὅπως ἂν μὴ κέηται ἐν τῇ χώρᾳ μηδὲ τὰ ὀστᾶ τοῦ τὴν χώραν καὶ τὴν πόλιν προδιδόντος.[8] Ἐψηφίσαντο δὲ καί, ἐὰν ἀπολογῶνταί τινες περὶ τοῦ τετελευτηκότος, ἐὰν ἁλῷ ὁ τεθνηκώς, ἐνόχους εἶναι καὶ τούτους τοῖς αὐτοῖς ἐπιτιμίοις.[9] Οὕτως οὐδὲ βοηθεῖν τοῖς τοὺς ἄλλους ἐγκαταλείπουσιν ἡγοῦντο δίκαιον εἶναι, ἀλλ' ὁμοίως ἂν προδοῦναι τὴν πόλιν καὶ τὸν διασώζοντα τὸν προδότην. Τοιγαροῦν οὕτω μισοῦντες τοὺς ἀδικοῦντας, καὶ τοιαῦτα κατ' αὐτῶν ψηφιζόμενοι, ἀσφαλῶς ἐκ τῶν κινδύνων ἀπηλλάττοντο. Λαβὲ δὲ αὐτοῖς τὸ ψήφισμα, γραμματεῦ, καὶ ἀνάγνωθι. ΨΗΦΙΣΜΑ. Ἀκούετε, ὦ ἄνδρες, τούτου τοῦ ψηφίσματος. Ἔπειτα ἐκεῖνοι μὲν τὰ τοῦ προδότου ὀστᾶ ἀνορύξαντες ἐκ τῆς Ἀττικῆς[10] ἐξώρισαν, καὶ τοὺς ἀπολογουμένους ὑπὲρ

---

§ 30. 2. Εἰ δὲ μὴ δύνασθε.) Ἐξ ΕΔ, προσείληφα τὸν δεύτερον σύνδεσμον. — 3. Ἐν τοῖς Οἰσυΐοις.) Ἐν ἐκείνῳ τῆς ἀγορᾶς τῷ μέρει, ὅπου πωλοῦνται τὰ ἐξ οἰσύας (osier) πλεκόμενα σκεύη, ὡς ἐξηγήσαντο οἱ κριτικοί. — 4. Ὑπὸ Ἀπολλοδώρου καὶ Θρασυβούλου.) Αὐτοὺς τούτους ὀνομάζει καὶ ὁ Λυσίας (Κατὰ Ἀγοράτ. σελ. 492), καὶ οὐχ Ἕρμωνα, καθάπερ ὁ Πλούταρχος (Ἀλκιβιάδ. § 25), παραχθεὶς ἴσως ἐξ ὧν ἱστορεῖ Θουκυδίδης (VIII, 92), περὶ Φρυνίχου. Φησὶ γὰρ ὁ συγγραφεύς, ὑπ' ἀνδρὸς τῶν περιπόλων τινὸς πληγῆναι τὸν Φρύνιχον· μικρὸν δ' ὑποβάς, καὶ Ἕρμωνος μνημονεύει περιπόλου, ἐν ἔρου γε μήν, καὶ οὐ τοῦ τὸν Φρύνιχον πλήξαντος. — 5. Αἰσθανόμενος.) Ἄμεινον ἂν ἐγράφετο ἀορίστως, αἰσθόμενος. — 6. Ἐξῆγε.) Ἴσως καὶ τοῦτο κατ' ἀόριστον ἐγράφετο πάλαι, ἐξήγαγε. — 7. Κἂν δόξῃ προδότης ὤν, ἐν τῇ χώρᾳ τεθάφθαι.) Καὶ ἐὰν ἀποδειχθῇ, ὅτι προδότης ὢν ἐτάφη ἐν τῇ χώρᾳ, μὴ δέον θάπτεσθαι ἐν αὐτῇ τοὺς προδότας. — 8. Τὴν πόλιν προδιδόντος.) Ἴσ. γρ. ἀορίστως, προδόντος. — 9. Ἐπιτιμίοις.) «Ἐπιτίμιον, πρόστιμον, τιμωρία» φησὶν Ἡσύχιος. — 10. Ἐκ τῆς Ἀττικῆς.) Τυπογραφικὸν ἔοικεν ἁμάρτημα εἶναι τό, ἐπὶ τῆς Ἀττικῆς, τοῦ πρὸ ἐμοῦ.

αὐτοῦ Ἀρίσταρχον καὶ Ἀλεξικλέα ἀπέκτειναν, καὶ οὐδ᾽ ἐν τῇ χώρᾳ ταφῆναι ἐπέτρεψαν· ὑμεῖς δ᾽ αὐτὸ τὸ σῶμα τὸ προδεδωκὸς τὴν πόλιν ζῶν καὶ ὑποχείριον ἔχοντες τῇ ψήφῳ, ἀτιμώρητον ἐάσετε; καὶ τοσοῦτον ἔσεσθέ γε τῶν προγόνων χείρους, ὅσον ἐκεῖνοι μὲν τοὺς λόγῳ μόνῳ τῷ προδότῃ βοηθήσαντας ταῖς ἐσχάταις τιμωρίαις μετῆλθον,[11] ὑμεῖς δὲ αὐτὸν τὸν ἔργῳ καὶ οὐ λόγῳ τὸν δῆμον ἐγκαταλιπόντα, ὡς οὐδὲν ἀδικοῦντα ἀφήσετε; Μὴ δῆτα, ὦ ἄνδρες δικασταί, ὑμῖν οὕτοι πάτριον [ὂν] ἀναξίως ὑμῶν αὐτῶν ψηφίζεσθε.[12] Καὶ γάρ, εἰ μὲν ἕν τι τοιοῦτον γεγονὸς ἦν ψήφισμα, εἶχεν ἄν τις εἰπεῖν, ὡς δι᾽ ὀργὴν μᾶλλον ἢ δι᾽ ἀλήθειαν[13] ἐποιήσαντο· ὅταν δὲ παρὰ πάντων ὁμοίως εἰληφότες ὦσι τὴν αὐτὴν τιμωρίαν, πῶς οὐκ εὔδηλον, ὅτι φύσει πᾶσι τοῖς τοιούτοις ἔργοις ἐπολέμουν; Ἵππαρχον γὰρ τὸν Τιμάρχου, οὐχ ὑπομείναντα τῆς προδοσίας ἐν τῷ δήμῳ κρίσιν, ἀλλ᾽ ἔρημον τὸν ἀγῶνα ἐάσαντα, θανάτῳ τοῦτον ζημιώσαντες, ἐπειδὴ τῆς ἀδικίας οὐκ ἔλαβον τὸ σῶμα ὅμηρον, τὴν εἰκόνα αὐτοῦ ἐξ ἀκροπόλεως καθελόντες καὶ συγχωνεύσαντες, καὶ ποιήσαντες στήλην, ἐψηφίσαντο εἰς ταύτην ἀναγράφειν τοὺς ἀλιτηρίους[14] καὶ τοὺς προδότας. Καὶ αὐτὸς ὁ Ἵππαρχος ἐν ταύτῃ τῇ στήλῃ ἀνεγέγραπται, καὶ οἱ ἄλλοι δὲ προδόται. Καί μοι λαβὲ πρῶτον μὲν τὸ ψήφισμα, καθ᾽ ὃ ἡ εἰκὼν τοῦ Ἱππάρχου τοῦ προδότου ἐξ ἀκροπόλεως καθῃρέθη, ἔπειτα τῆς στήλης τὸ ὑπόγραμμα, καὶ τοὺς ὕστερον προσαναγραφέντας[15] προδότας εἰς ταύτην τὴν στήλην· καὶ ἀναγίνωσκε, γραμματεῦ. ΨΗΦΙΣΜΑ ΚΑΙ ΥΠΟΓΡΑΜΜΑ ΤΗΣ ΣΤΗΛΗΣ. Τί δοκοῦσιν ὑμῖν, ὦ ἄνδρες; ἆρά γε ὁμοίως ὑμῖν περὶ τῶν ἀδικούντων γινώσκειν, καὶ οὐκ, ἐπειδὴ καὶ τὸ σῶμα οὐκ ἐδύναντο ὑποχείριον τοῦ προδότου λαβεῖν, τὸ μνημεῖον τοῦ προδότου ἀνε-

---

— 11. Μετῆλθον.) Ἐκόλασαν, ἐτιμωρήσαντο «Μετῆλθον ἐτιμωρήσαντο» φησὶν Ἡσύχιος. Καὶ μικρὸν ἀνωτέρω ὁ αὐτὸς, «Μετέρχομαι, ΙΚΑΝΩΣ, ἱκετεύω, »ἱλάσκομαι, ἐπεισέρχομαι,» ἔνθα γραπτέον, ΙΚΑΝΩ, ῥῆμα συνώνυμον τῷ Ἱκετεύω. Ἴσως δὲ καὶ τὸ τελευταῖον Ἐπεισέρχομαι τρεπτέον εἰς τὸ Ἐπεξέρχομαι, οὗ τῷ ἀορίστῳ τῆς μετοχῆς, Ἐπεξελθοῦσι, χρήσεται ἐν τοῖς ἑξῆς (§ 37. 3.) ἐπὶ τῆς αὐτῆς τοῦ κολάζειν σημασίας ὁ ῥήτωρ. — 12. Μὴ δῆτα, ὦ ἄνδρες δικασταί, ὑμῖν οὕτοι πάτριον [ὂν], ἀναξίως ὑμῶν αὐτῶν ψηφίζεσθε.) Ἀποκατέστησα τὴν τοῦ Ῥεϊσκίου γραφὴν καὶ στίξιν, πλὴν τοῦ ἐξ ΕΔ, οὕτοι ΑΤ, οὕτω, καὶ ἧς αὐτὸς προσέθηκα ἀντωνυμίας· ἴσως δὲ καὶ τὸ ψηφίζεσθε τρεπτέον εἰς τὸ ψηφίσησθε. Ὁ πρὸ ἐμοῦ ἔγραψε, «Μὴ δῆτα, ὦ »ἄνδρες δικασταί· ὑμῖν οὕτοι πάτριον »ἀναξίως ὑμῶν αὐτῶν ψηφίζεσθαι,» τὸ ἀπαρέμφατον ἐξ ἀντιγράφου ἀναλεξάμενος. Προσυπακουστέον ἐκ τοῦ προηγησαμένου ῥήματος (ἀφήσετε,) τὸν προστακτικὸν αὐτοῦ ἀόριστον, ἵν᾽ ᾖ ὁ νοῦς, Μὴ δῆτα ἀφῆτε Λεωκράτην, ὦ δικασταί, οὐκ ὄντος ὑμῖν πατρίου τοῦ ἀναξίως ἑαυτῶν ψηφίζεσθε. — 13. Ἢ δι᾽ ἀλήθειαν.) Ἐκ ΔΓ προσέθηκα τὴν πρόθεσιν. — 14. Ἀλιτηρίους.) Τοὺς Γαλλιστὶ scélérats. — 15. Προσαναγραφέντας.) Ἐξ ΕΔ, ΑΤ, προαναγρα-

λόντες ταῖς ἐνδεχομέναις[16] τιμωρίαις ἐκόλασαν; οὐχ ὅπως τὸν χαλκοῦν ἀνδριάντα συγχωνεύσειαν, ἀλλ᾽ ἵνα τοῖς ἐπιγιγνομένοις παράδειγμα εἰς τὸν λοιπὸν χρόνον, ὡς εἶχον πρὸς τοὺς προδότας, καταλίποιεν. Λαβὲ δὲ αὐτοῖς καὶ τὸ ἕτερον ψήφισμα περὶ τῶν εἰς Δεκέλειαν μεταστάντων, ὅτε ὁ δῆμος ὑπὸ Λακεδαιμονίων ἐπολιορκεῖτο, ὅπως εἰδῶσιν, ὅτι περὶ τῶν προδοτῶν οἱ πρόγονοι ὁμοίας καὶ ἀκολούθους ἀλλήλαις τὰς τιμωρίας ἐποιοῦντο. Ἀναγίνωσκε, γραμματεῦ. ΨΗΦΙΣΜΑ. Ἀκούετε, ὦ ἄνδρες, καὶ τούτου τοῦ ψηφίσματος, ὅτι τῶν ἐν τῷ πολέμῳ μεταστάντων εἰς Δεκέλειαν κατέγνωσαν, καὶ ἐψηφίσαντο, ἐάν τις αὐτῶν ἐπανιὼν ἁλίσκηται, ἀπαγαγεῖν[17] Ἀθηναίων τὸν βουλόμενον πρὸς τοὺς Θεσμοθέτας· παραλαβόντας δέ, παραδοῦναι[18] τῷ ἐπὶ τοῦ ὀρύγματος.[19] Ἔπειτα ἐκεῖνοι μὲν τοὺς ἐν αὐτῇ τῇ χώρᾳ μεταστάντας, οὕτως ἐκόλαζον, ὑμεῖς δὲ τὸν ἐκ τῆς πόλεως καὶ χώρας ἐν τῷ πολέμῳ φυγόντα εἰς Ῥόδον, καὶ προδόντα τὸν δῆμον, οὐκ ἀποκτενεῖτε; Πῶς οὖν δόξετε ἀπόγονοι εἶναι ἐκείνων τῶν ἀνδρῶν; Ἄξιον τοίνυν ἀκοῦσαι καὶ τοῦ περὶ τοῦ ἐν Σαλαμῖνι τελευτήσαντος γενομένου ψηφίσματος, ὃν ἡ βουλή, ὅτι μόνῳ λόγῳ ἐνεχείρει προδιδόναι τὴν πόλιν, περιελομένη τοὺς στεφάνους, αὐτοχειρὶ ἀπέκτεινε. ΨΗΦΙΣΜΑ. Γενναῖόν γε,[20] ὦ ἄνδρες, τὸ ψήφισμα καὶ ἄξιον τῶν ἡμετέρων προγόνων. Δικαίως· συγγενεῖς γὰρ οὐ μόνον τὰς ψυχάς, ἀλλὰ καὶ τὰς τῶν ἀδικούντων τιμωρίας ἐκέκτηντο. Τί οὖν, ὦ ἄνδρες; ἆρά γε δοκεῖ ὑμῖν βουλομένοις μιμεῖσθαι τοὺς προγόνους πάτριον εἶναι Λεωκράτη μὴ ἀποκτεῖναι; Ὁπότε γὰρ ἐκεῖνοι ἀνάστατον τὴν πόλιν οὖσαν τὸν λόγῳ μόνῳ προδιδόντα, οὕτως ἀπέκτειναν, τί ὑμᾶς προσήκει τὸν ἔργῳ καὶ οὐ λόγῳ τὴν οἰκουμένην[21] ἐκλιπόντα ποιῆσαι; Ἆρ᾽ οὐχ ὑπερβαλέσθαι ἐκείνους ταῖς τιμωρίαις; Καὶ τότε[22] ἐκεῖνοι τοὺς ἐπιχειρήσαντας τῆς παρὰ τοῦ δήμου σωτηρίας ἀποστερεῖν αὐτούς οὕτως[23] ἐκόλασαν, τί ὑμᾶς προσήκει

φέντας. — 16. Ταῖς ἐνδεχομέναις.) Ταῖς δυναταῖς, ταῖς ὑπὸ τοῦ νόμου κατ᾽ αὐτοῦ τοῦ προδότου ὡρισμέναις χρήσασθαι. — 17. Ἀπαγαγεῖν.) Ἴσως ἐγέγραπτο πάλαι, ἀπάγειν. — 18. Παραδοῦναι.) Καὶ τοῦτο ἴσως ἦν κατ᾽ ἐνεστῶτα, παραδιδόναι. — 19 Τῷ ἐπὶ τοῦ ὀρύγματος.) Ἐχρήσατο καὶ ἀλλαχοῦ τῷ ὀνόματι, ἢ δῆλον ἐκ τοῦ Ἁρποκρατίωνος, «Ὄρυγμα ἰδίως οὕτως »ἐκαλεῖτο, ἐφ᾽ οὗ οἱ κακοῦργοι ἐκολά»ζοντο Ἀθήνησι. Λυκοῦργος, Κατ᾽ Ἀρι»στογείτονος.» Οὐχ ἕτερον ἔοικεν εἶναι τοῦ βαράθρου τὸ ὄρυγμα. — 20. Γενναῖόν γε.) Ἐξ ΕΔ (ἀναμφιλέκτου), ΑΓ, Γενναῖον δὲ ἀνθ᾽ οὗ ἕτεροι διορθοῦντες ἔγραψαν Γενναῖον δή, ἐπιλελησμένοι, ὅτι καὶ ἐν τοῖς πρόσθεν (§ 18.) εἴρηκεν ὁ ῥήτωρ ἐφ᾽ ὁμοίας ἀφορμῆς ἐν ἤθει, «Καλός γε, ὦ ἄνδρες, καὶ »ὅσιος ὁ ὅρκος», καὶ Αὖθις (§ 28.) «καλάγε, ὦ ἄνδρες, καὶ χρήσιμα.» — 21. Τὴν οἰκουμένην.) Τὰς Ἀθήνας οἰκουμένας. — 22. Καὶ ὅτε.) ΔΓ, Ἀλλ᾽ ὅτε. — 23. Ἀποστερεῖν αὐτοὺς οὕτως.) Ἐξ ΕΔ προσείληφα τὴν ἀντωνυμίαν. Αἰνίττεται δὲ κἀνθάδε ὃν μικρὸν ἀνωτέρω εἴρηκεν ἐν Σαλαμῖνι τελευτῆσαι. Ἦν δ᾽ οὗτος Λυκίδης, εἷς τῶν βουλευτῶν, ὅς, ἀγγελθέντων τῇ βουλῇ τῶν παρὰ Μαρ-

τὸν αὐτοῦ τοῦ δήμου τὴν σωτηρίαν[24] προδόντα ποιῆσαι; Καὶ ὅτε ὑπὲρ τῆς δόξης ἐκεῖνοι τοὺς αἰτίους οὕτως ἐτιμωροῦντο, τί ὑμᾶς ὑπὲρ τῆς πατρίδος προσήκει ποιεῖν; Ἱκανὰ μὲν οὖν καὶ ταῦτα τὴν τῶν προγόνων γνῶναι διάνοιαν,[25] ὡς εἶχον πρὸς τοὺς παρανομοῦντας εἰς τὴν πόλιν. Οὐ μὴν ἀλλ' ἔτι βούλομαι τῆς στήλης ἀκοῦσαι ὑμᾶς τῆς ἐν τῷ βουλευτηρίῳ περὶ τῶν προδοτῶν καὶ τῶν τὸν δῆμον καταλυόντων· τὸ γὰρ μετὰ πολλῶν παραδειγμάτων διδάσκειν, ῥᾳδίαν ὑμῖν τὴν κρίσιν καθίστησι. Μετὰ γὰρ τοὺς τριάκοντα, οἱ πατέρες ὑμῶν πεπονθότες ὑπὸ τῶν πολιτῶν,[26] οἷα οὐδεὶς πώποτε τῶν Ἑλλήνων ἠξίωσε, καὶ μόλις εἰς τὴν ἑαυτῶν κατεληλυθότες, ἁπάσας τὰς ὁδοὺς τῶν ἀδικημάτων ἐνέφραξαν, πεπειραμένοι καὶ εἰδότες τὰς ἀρχὰς καὶ τὰς ἐφόδους τῶν τὸν δῆμον προδιδόντων. Ἐψηφίσαντο γὰρ καὶ ὤμοσαν,[27] ἐάν τις τυραννίδι ἐπιθῆται, ἢ τὴν πόλιν προδιδῷ, ἢ τὸν δῆμον καταλύῃ, τὸν αἰσθανόμενον καθαρὸν[28] εἶναι ἀποκτείναντα. Καὶ κρεῖτ-

δονίου λόγων, ἀποδώσειν ὁμολογοῦντος τὴν πόλιν καὶ τὴν χώραν Ἀθηναίοις, εἰ σπείσασθαι βούλοιντο τῷ βασιλεῖ, γνώμην ἀπεφήνατο δέχεσθαι τοὺς παρὰ Μαρδονίου λόγους. Οὕτως οὖν ἐστέρει τὴν πόλιν ὁ Λυκίδης τῆς παρὰ τοῦ δήμου σωτηρίας, παρὰ τοῦ βασιλέως δεχόμενος αὐτὴν, καὶ οὐκ ἐῶν τοὺς πολίτας, ἰδίᾳ δυνάμει ἀνακτήσασθαι. Ἡ ἱστορία παρ' Ἡροδότῳ (Θ. 5-6). — 24. Τὸν αὐτοῦ τοῦ δήμου τὴν σωτηρίαν.) Ὁ πρὸ ἐμοῦ ἔγραψεν ἐξ ἀντιγράφων, τ ὸ ν α ὑ τ ῆ ν κ. τ. λ. — 25. Ἱκανὰ ... γνῶναι διάνοιαν.) Κατ' ἔλλειψιν τοῦ Ὥ σ τ ε, Ἱκανὰ ὥστε γ ν ῶ ν α ι. Ἴσως μέντοι καὶ ἐγέγραπτο πάλαι, Γ ν ω ρ ί σ α ι. — 26. Οἱ πατέρες ὑμῶν πεπονθότες ὑπὸ τῶν ΠΟΛΙΤΩΝ κ. τ. λ.) Γραπτέον, οἶμαι, ΠΟΛΙΤΕΥΟΜΕΝΩΝ, ἴσως δὲ καὶ μετὰ τοῦ χρονικοῦ ἐπιῤῥήματος, ΤΟΤΕ ΠΟΛΙΤΕΥΟΜΕΝΩΝ, Οὐ γὰρ ὑπὸ τῶν πολιτῶν κυρίως ἂν πεπονθέναι λέγοιντο ἃ ὑπὸ τῶν Τριάκοντα καὶ τῶν περὶ αὐτοὺς, τῶν τότε πολιτευομένων, ἐπεπόνθεισαν. — 27. Ἐψηφίσαντο γὰρ καὶ ὤμοσαν.) Μετὰ τὴν κατάλυσιν τῶν Τριάκοντα. Προσέγραψε δ' ἐν ταῖς σημειώσεσιν ὁ πρὸ ἐμοῦ, ἐξ Ἀνδοκίδου (Περὶ μυστηρ. σελ. 47) ἀναλεξάμενος τὸ ψήφισμα καὶ τὸν ὅρκον, οὕτως ἔχοντα: »Ἔδοξε τῇ βουλῇ καὶ τῷ δήμῳ. Αἰαντὶς »ἐπρυτάνευε, Κλεογένης ἐγραμμάτευε, »Βοηθὸς ἐπεστάτει· τάδε Δημόφαντος »συνέγραψεν. Ἐάν τις δημοκρατίαν κα»ταλύῃ τὴν Ἀθήνησιν, ἢ ἀρχήν τινα »ἄρχῃ καταλελυμένης τ[ῆ]ς δημοκρατίας, »πολέμιος ἔστω Ἀθηναίων, καὶ νηποινὶ »τεθνάτω· καὶ τὰ χρήματα αὐτοῦ δη»μόσια ἔστω, καὶ τῆς θεοῦ τὸ ἐπιδέ»κατον. Ὁ δὲ ἀποκτείνας τὸν ταῦτα »ποιήσαντα καὶ ὁ συμβουλεύσας ὅσιος »ἔστω καὶ εὐαγής. Ὀμόσαι δ' Ἀθηναί»ους ἅπαντας καθ' ἱερῶν τελείων, κατὰ »φυλὰς καὶ κατὰ δήμους, ἀποκτείνειν »τὸν ταῦτα ποιήσαντα. Ὁ δὲ ὅρκος »ἔστω ὅδε. Κτενῶ τῇ ἐμαυτοῦ χειρὶ, ἂν »δυνατὸς ὦ, ὃς ἂν καταλύσῃ τὴν δη»μοκρατίαν τὴν Ἀθήνησι, καὶ ἐάν τις »ἄρξῃ τιν' ἀρχὴν, καταλελυμένης τῆς »δημοκρατίας τολοιπὸν, καὶ ἐάν τις τυ»ραννεῖν ἐπαναστῇ, ἢ τὸν τύραννον »συγκαταστήσῃ, καὶ ἐάν τις ἄλλος ἀπο»κτείνῃ, ὅσιον αὐτὸν νομιῶ εἶναι καὶ »πρὸς θεῶν καὶ [πρὸς] δαιμόνων, ὡς »πολέμιον κτείναντα τῶν Ἀθηναίων· »καὶ τὰ κτήματα τοῦ ἀποθανόντος πάν»τα ἀποδόμενος, ἀποδώσω τὰ ἡμίσεα »τῷ ἀποκτείναντι, *καὶ λόγῳ καὶ ἔργῳ »καὶ ψήφῳ*, καὶ οὐκ ἀποστερήσω οὐ»δέν. Ἐὰν δέ τις κτείνων τινὰ τού»των ἀποθάνῃ ἢ ἐπιχειρῶν, εὖ ποιήσω »αὐτόν τε καὶ τοὺς παῖδας τοὺς ἐκείνου, »καθάπερ Ἁρμόδιόν τε καὶ Ἀριστογεί»τονα καὶ τοὺς ἀπογόνους αὐτῶν. Ὁπό»σοι δὲ ὅρκοι ὀμώμονται Ἀθήνησιν, ἢ »ἐν τῷ (στρατοπέδῳ), ἢ ἄλλοθί που, »ἐναντίοι (τῷ δήμῳ (τῶν Ἀθηναίων, »λύω καὶ ἀφίημι.» Ἅπερ ἀστερίσκοις διείληφα λέξεις ἕξ, μετατοπιστέον, οἶμαι, μετὰ τὸ προσεχὲς, «Καὶ τοὺς »παῖδας τοὺς ἐκείνου» ἢ μικρὸν ἀνωτέρω, μετὰ τὸ, «Ὡς πολέμιον κτείναντα »τῶν Ἀθηναίων.» — 28. καθαρὸν.) Φο-

τον ἔδοξεν αὐτοῖς τοὺς τὴν αἰτίαν ἔχοντας[29] τεθνάναι μᾶλλον, ἢ πειραθέντας μετὰ ἀληθείας αὐτοὺς δουλεύειν. Ἀρχὴν γὰρ οὕτως ᾤοντο[30] δεῖν ζῆν τοὺς πολίτας, ὥστε μηδ' εἰς ὑποψίαν ἐλθεῖν μηδένα τούτων τῶν ἀδικημάτων. Καί μοι λαβὲ τὸ ψήφισμα.[31] ΨΗΦΙΣΜΑ. Ταῦτα, ὦ ἄνδρες, ἔγραψαν εἰς τὴν στήλην, καὶ ταύτην ἔστησαν εἰς τὸ βουλευτήριον, ὑπόμνημα τοῖς καθ' ἑκάστην ἡμέραν συνιοῦσιν, καὶ βουλευομένοις ὑπὲρ τῆς πατρίδος, ὡς δεῖ πρὸς τοὺς τοιούτους ἔχειν. Καὶ διὰ τοῦτο, ἄν τις αἴσθηται μόνον μέλλοντας αὐτοὺς τούτων τι ποιεῖν, ἀποκτείνειν συνώμοσαν. Εἰκότως· τῶν μὲν γὰρ ἄλλων ἀδικημάτων ὑστέρας δεῖ τετάχθαι τὰς τιμωρίας, προδοσίας δὲ καὶ δήμου καταλύσεως, προτέρας. Εἰ γὰρ προήσεσθε τοῦτον τὸν καιρὸν, ἐν ᾧ μέλλουσιν ἐκεῖνοι κατὰ τῆς πατρίδος φαῦλόν τι πράττειν, οὐκ ἔστιν ὑμῖν μετὰ ταῦτα δίκην παρὰ τῶν ἀδικούντων λαβεῖν· κρείττους γὰρ ἤδη γίγνονται τῆς παρὰ τῶν ἀδικουμένων τιμωρίας.

§ 31. Ἐνθυμεῖσθε τοίνυν, ὦ ἄνδρες, τῆς προνοίας ταύτης καὶ τῶν ἔργων ἀξίως, καὶ μὴ ἐπιλανθάνεσθε ἐν τῇ ψήφῳ, οἵων ἀνδρῶν ἔγκονοι ἐστὲ, ἀλλὰ παρακελεύεσθε ὑμῖν αὐτοῖς, ὡς ὅμοια ἐκείνοις καὶ ἀκόλουθα ἐν τῇ τήμερον ἡμέρᾳ ἐψηφισμένοι ἐκ τοῦ δικαστηρίου ἐξίητε. Ὑπομνήματα δ' ἔχετε καὶ παραδείγματα τῆς ἐκείνων τιμωρίας τὰ ἐν τοῖς περὶ τῶν ἀδικούντων ψηφίσμασιν ὡρισμένα. Διομωμόκατε δ' ἐν τῷ ψηφίσματι τῷ Δημοφάντου, κτείνειν τὸν τὴν πατρίδα προδιδόντα, καὶ λόγῳ, καὶ ἔργῳ, καὶ χειρὶ, καὶ ψήφῳ. Μὴ γὰρ οἴεσθε τῶν μὲν οὐσιῶν, ἃς ἂν οἱ πρόγονοι καταλίπωσι, κληρονόμοι εἶναι· τῶν δὲ ὅρκων καὶ τῆς πίστεως, οὓς δόντες οἱ πατέρες ἡμῶν ὅμηρον τοῖς θεοῖς τῆς κοινῆς εὐδαιμονίας τῆς πόλεως μετεῖχον, ταύτης δὲ μὴ κληρονομεῖν.

§ 32. Οὐ μόνον τοίνυν ἡ πόλις ὑμῶν οὕτως ἔσχε πρὸς τοὺς προδιδόντας, ἀλλὰ καὶ Λακεδαιμόνιοι. Καὶ μή μοι ἀχθεσθῆτε, ὦ ἄνδρες, εἰ πολλάκις μέμνημαι[2] τῶν ἀνδρῶν τούτων· κα-

---

νου δηλονότι ἀθῷον. — 29. Τοὺς τὴν αἰτίαν ἔχοντας κ. τ. λ.) Τοὺς καὶ μόνον αἰτίαν ἔχοντας, ὅτι καταλύουσι τὸν δῆμον, κρεῖττον εἶναι ἀκρίτους θανάτῳ τιμωρεῖσθαι, ἢ περιμένοντας τὴν ἐκ τῆς κρίσεως ἀπόδειξιν, μετ' ἀληθείας δουλεύειν. — 30. Ἀρχὴν γὰρ οὕτως ᾤοντο κ. τ. λ.) Ἐπιῤῥηματικῶς τὸ Ἀρχὴν, τουτέστιν, ὅλως, καθάπαξ, ὥσπερ καὶ ...κλῆς (Ἀντιγ. 92) λέγει, ...δὲ θηρᾷν οὐ πρέπει τἀμήχανα. — 31. Καί μοι λαβὲ τὸ ψήφισμα.) Ὅπερ ἀνωτέρω (§ 30. 27.) ἐκτέθειται ἐκ τοῦ Ἀνδοκίδου ψήφισμα.

§ 32. 2. Καὶ μή μοι ἀχθεσθῆτε... εἰ πολλάκις μέμνημαι.) Πρόνοια τοῦ Ῥήτορος, ἢ καὶ ἀνωτέρω (§ 14.) μνημονεύσας τῆς Ἀρείου πάγου βουλῆς, ἐχρήσατο· οὐ γὰρ εὐμενῶς ἤκουον οἱ Ἀθηναῖοι ἐπαινουμένους τοὺς Λακεδαιμονίους. Δηλοῦται δὲ ἡ δυσμένεια ἔκ τε τῆς ἱστορίας καὶ ἐκ τῶν Κωμικῶν. —

λὸν γάρ ἐστι πόλεως εὐνομουμένης περὶ τῶν δικαίων παραδείγματα λαμβάνειν· ἀσφαλέστερον γὰρ ἂν[3] ἕκαστος ὑμῶν τὴν δικαίαν καὶ τὴν εὔορκον ψῆφον θεῖτο.[4] Παυσανίαν γὰρ τὸν βασιλέα αὐτῶν, προδιδόντα τῷ Πέρσῃ τὴν Ἑλλάδα λαβόντες, ἐπειδὴ ἔφθασε καταφυγὼν εἰς τὸ τῆς Χαλκιοίκου ἱερὸν, τὴν θύραν ἀποικοδομήσαντες,[5] καὶ τὴν ὀροφὴν ἀποσκευάσαντες, καὶ κύκλῳ περιστρατοπεδεύσαντες, οὐ πρότερον ἀπῆλθον πρὶν ἢ τῷ λιμῷ ἀπέκτειναν, καὶ πᾶσιν ἐπίσημον ἐποίησαν τῇ τιμωρίᾳ,[6] ὅτι οὐδ' αἱ παρὰ τῶν θεῶν ἐπικουρίαι τοῖς προδόταις βοηθοῦσιν. Εἰκότως· οὐδὲν γὰρ πρότερον ἀδικοῦσιν ἢ περὶ τοὺς θεοὺς ἀσεβοῦσι τῶν πατρῴων νομίμων αὐτοὺς ἀποστεροῦντες.[7] Μέγιστον δὲ τῶν ἐκεῖ γεγενημένων τεκμήριον, ὃ μέλλω λέγειν· νόμον γὰρ ἔθεντο περὶ ἁπάντων τῶν μὴ θελόντων ὑπὲρ τῆς πατρίδος κινδυνεύειν, διαῤῥήδην λέγοντα ἀποθνήσκειν· εἰς αὐτὸ τοῦτο τὴν τιμωρίαν τάξαντες, εἰς ὃ μάλιστα φοβούμενοι τυγχάνουσι, καὶ τὴν ἐκ τοῦ πολέμου σωτηρίαν ὑπεύθυνον κινδύνῳ ἐποίησαν. Ἵνα δὲ εἰδῆτε, ὅτι οὐ λόγον ἀναπόδεικτον εἴρηκα, ἀλλὰ μετ' ἀληθείας παραδείγματα, φέρε αὐτοῖς τὸν νόμον. ΝΟΜΟΣ. Ἐνθυμεῖσθε δὴ ὡς καλὸς ὁ νόμος, ὦ ἄνδρες, καὶ σύμφορος, οὐ μόνον ἐκείνοις, ἀλλὰ καὶ τοῖς ἄλλοις ἀνθρώποις· ὁ γὰρ παρὰ τῶν πολιτῶν φόβος ἰσχυρὸς ὢν ἀναγκάσει τοὺς πρὸς τοὺς πολεμίους κινδύνους ὑπομένειν. Τίς γὰρ ὁρῶν θανάτῳ ζημιούμενον τὸν προδότην, ἐν τοῖς κινδύνοις ἐκλείψει τὴν πατρίδα, ἢ τίς παρὰ τὸ συμφέρον τῆς πόλεως φιλοψυχήσει, εἰδὼς ἐπικειμένην αὐτῷ τιμωρίαν; Οὐδεμίαν γὰρ ἄλλην ζημίαν εἶναι τῆς δειλίας, ἢ θάνατον εἰδότες, καὶ ὅτι δυοῖν κινδύνοιν ἐπικειμένοιν, ἀ-

3. Ἀσφαλέστερον γὰρ ἂν κ. τ. λ.) Ἀποκατέστησα τὸν ἀποδοκιμασθέντα δυνητικόν. — 4. Τὴν εὔορκον ψῆφον ΘΕΙΤΟ.) ΗΔ (ἣν ἀπῄτει ὁ ἀποκατασταθεὶς δυνητικὸς) ἀντὶ τοῦ θῆται, ὅπερ εἴασε κατὰ χώραν ὁ πρὸ ἐμοῦ, ἕτεροι δὲ εἰς τὸ θήσεται ἔτρεψαν. — 5. Ἀποικοδομήσαντες.) Ἐξ ΕΔ (ἀποδοκιμασθείσης ὑπὸ τοῦ πρὸ ἐμοῦ) ΑΤ, ἀνοικοδομήσαντες. Ἕτερον γάρ τι σημαίνει ὃ βούλεται λέγειν ἐνθάδε ὁ ῥήτωρ τὸ Ἀνοικοδομεῖν, ἢ δῆλον ἐκ τοῦ ἀνωτέρω χωρίου (§ 19.), ἔνθα ἔλεγε, «Τῶν ἱερῶν τῶν ἐμπρησθέντων. . . ὑπὸ »τῶν βαρβάρων οὐδὲν ἀνοικοδομήσω.» Ἔστι γὰρ ἀποκλείειν τῶν ἔξω τὸ Ἀποικοδομεῖν. «Ἀποικοδομεῖς ἀντὶ τοῦ ἀποφράττεις» Σουΐδ. Καὶ Θουκυδίδης δὲ αὐτὸ τοῦτο τὸ περὶ τοῦ Παυσανίου ἱστορῶν (ά, 134) «Τὰς θύρας . . . ἀπολαβόντες »εἴσω ἀπῳκοδόμησαν» εἶπεν· Ἐλέγοντο δὲ οἱ τῇ τοιαύτῃ ἀποικοδομήσει λιμοκτονούμενοι καὶ Πλινθεύεσθαι (παρὰ τὰς πλίνθους), ἐφ' ἧς σημασίας οὐ κατεχωρήθη ἐν τῷ Σνεϊδέρου Λεξικῷ. Σαφῶς δὲ ὁ Σουΐδας ἐξηγήσατο τοὔνομα· «Ἐπλινθεύθησαν. Τὸ κατακλεισθῆναι ἐντὸς οἰ»κοδομήματος μόνον, ὥστε ἔξοδον μὴ »εἶναι, καὶ οὕτω παντελεῖ ἀπορίᾳ ποτοῦ »καὶ τροφῆς τεθνάναι, Πλινθευθῆναι λέ»γεται.» — 6. Καὶ πᾶσιν ἐπίσημον ἐποίησαν τῇ τιμωρίᾳ.) Ἐξ ΕΔ, ΑΤ, τὴν τιμωρίαν· οὐ γὰρ νοῦς, Καὶ πᾶσι δῆλον ἐποίησαν διὰ τῆς τιμωρίας, ὅτι κ. τ. λ. — 7. Αὐτοὺς ἀποστεροῦντες.) Ἐξ ΕΔ, ΑΤ, ἑαυτούς. Τὸ δὲ αὐτοὺς ἀναφέρεται

ναγκαῖον ἔσται θατέρου μετασχεῖν,[8] πολὺ μᾶλλον αἱρήσονται τὸν πρὸς τοὺς πολεμίους ἢ τὸν πρὸς τοὺς νόμους καὶ τοὺς πολίτας.

§ 33. Τοσούτῳ δ' ἂν δικαιότερον οὗτος ἀποθάνοι τῶν ἐκ τῶν στρατοπέδων φευγόντων, ὅσον οἱ μὲν εἰς τὴν πόλιν ἥκουσιν ὡς ὑπὲρ ταύτης μαχόμενοι, ἢ κοινῇ μετὰ τῶν ἄλλων πολιτῶν συνατυχοῦντες· οὑτοσὶ δ' ἐκ τῆς πατρίδος ἔφυγεν ἰδίᾳ τὴν σωτηρίαν πορίζόμενος, οὐδὲ ὑπὲρ τῆς ἰδίας ἑστίας[2] ἀμύνεσθαι τολμήσας, ἀλλὰ μόνος οὗτος τῶν πάντων ἀνθρώπων καὶ τὰ τῆς φύσεως οἰκεῖα καὶ ἀναγκαῖα προδέδωκεν,[3] ἃ καὶ τοῖς ἀλόγοις ζώοις μέγιστα καὶ σπουδαιότατα διείληπται.[4] Τὰ γοῦν ζῶα τὰ πετεινά, ἃ μάλιστα πέφυκε πρὸς τάχος, ἐστὶν ἰδεῖν[5] ὑπὲρ τῆς αὐτῶν νεοττιᾶς ἐθέλοντα ἀποθνήσκειν. Ὅθεν καὶ τῶν ποιητῶν τινες εἰρήκασιν,

Οὐδ' ἀγρία γὰρ ὄρνις, ἣν πλάσῃ δόμον,
Ἄλλῃ νεοσσοὺς[6] ἠξίωσεν ἐκτεκεῖν.

---

εἰς τοὺς θεούς. — 8. Εἰδὼς ΕΠΙΚΕΙΜΕΝΗΝ αὐτῷ τιμωρίαν; Οὐδεμίαν ΓΑΡ ἄλλην ζημίαν εἶναι τῆς δειλίας ἢ θάνατον εἰδότες, ΚΑΙ ὅτι δυοῖν κινδύνοιν ΕΠΙΚΕΙΜΕΝΟΙΝ, ἀναγκαῖον ἔσται θατέρου μετασχεῖν. κ. τ. λ.) Ὁ πρὸ ἐμοῦ γέγραφεν «εἰδὼς ΥΠΟΚΕΙΜΕΝΗΝ αὐτῷ »ΤΗΝ τιμωρίαν; οὐδεμίαν ΓΑΡ ΔΕΙ »ἄλλην ζημίαν εἶναι τῆς δειλίας ἢ θα»νάτου· εἰδότες ΓΑΡ ὅτι δυοῖν κινδύνοιν »ΥΠΟΚΕΙΜΕΝΟΙΝ, ἀναγκαῖον ἔσται θα»τέρου μετασχεῖν κ. τ. λ.» τὸ ἄρθρον μόνον (τὴν) καὶ τὸ ῥῆμα (δεῖ) προσλαβὼν ἐξ ἀντιγράφων, τὰ λοιπὰ δὲ συνᾴδων τῇ Ῥεϊσκίου ἐκδόσει. Ἣν δ' αὐτὸς προειλόμην διασκευὴν τοῦ χωρίου ἑτέρων ἐστὶ διόρθωσις, πλὴν τῶν δύο μετοχῶν, ὧν μετήλλαξα τὴν πρόθεσιν. ΕΠΙΚΕΙΣΘΑΙ γάρ τινι, οὐχ ΥΠΟΚΕΙΣΘΑΙ τιμωρίαν ἢ κίνδυνον, φιλοῦσι λέγειν οἱ δόκιμοι. Τοῦ γὰρ Ὑποκεῖσθαι τὸ μαρτύριον ἐκ τούτου μόνου τοῦ Λυκουργείου χωρίου εἴληφεν ὁ Στέφανος (Θησαυρ. II, σελ. 172), καὶ Ἀντιφῶντι οὐ Λυκούργῳ, μνήμης ἁμαρτίᾳ, ἀνέθηκε· πᾶν γὰρ τοὐναντίον, ὁ Ἀντιφῶν (Ἐξαπολογ. ὁ ὕστερ. σελ. 699) μετὰ τῆς ἐπὶ προθέσεως συνέταξε τὸ ῥῆμα· «Τῷ μὲν γὰρ ἄρξαντι πανταχοῦ »μεγάλα ἐπιτίμια ΕΠΙΚΕΙΤΑΙ· τῷ δὲ »ἀμυνομένῳ οὐδαμοῦ οὐδὲν ἐπιτίμιον »γέγραπται.»

§ 33. 2. Ὑπὲρ τῆς ἰδίας ἑστίας.) Ὑπὲρ τοῦ ἰδίου οἴκου, συνεκδοχικῶς ἀπὸ μέρους τὸ ὅλον· ἑστία γὰρ κυρίως ἐστὶν ἐκεῖνο τῆς οἰκίας τὸ μέρος ἔνθα τὸ πῦρ ἅπτεται, ὃ καὶ ἡ συνήθεια εἰσέτι καὶ νῦν Ἑστίαν καὶ ἰωνικῶς Ἱστίαν καλεῖ. «Ἑστία, »βωμός, οἰκία.» Ἡσύχ. Οὕτω τροπικῶς χρῶνται καὶ οἱ Γάλλοι τῷ ὀνόματι foyer. — 3. Τὰ τῆς φύσεως οἰκεῖα καὶ ἀναγκαῖα προδέδωκεν.) Ἀναγκαῖοι, ὥσπερ καὶ τὸ παρὰ Ῥωμαίοις necessarii, εἰσὶν οἱ συγγενεῖς· οἰκεῖοι δ' ἂν λέγοντο οὐ μόνον οὗτοι, ἀλλὰ καὶ πολῖται καὶ φίλοι, ἢ ἄλλως ὁπωσοῦν συνήθεις. Ἔστιν οὖν ὃ λέγει τοιοῦτον· Λεωκράτης, καταλιπὼν τὴν πατρίδα καὶ τὴν ἰδίαν ἑστίαν (μετὰ γὰρ τῆς ἐρωμένης ἐξέπλευσε) προδέδωκε καὶ τοὺς οἰκείους καὶ τοὺς συγγενεῖς. Οὕτως ἔφη πού τις (παρ' Ἀθην. σελ. 177) περὶ Μενελάου, «ὡς τῆς ἀνάγκης οἰκειο»τέρως εἶχε» πρὸς Ἀγαμέμνονα, τουτέστιν, οὐ μόνον ὡς ἀδελφόν, ἀλλὰ πολὺ πλέον καὶ διὰ τὸ φιλεῖν αὐτόν, ἠσπάζετο. — 4. Διείληπται.) Ὑπείληπται, νενόμισται. «Διειληφότες, ἀντὶ τοῦ νομίσαντες» Ἡσύχ. — 5. Τὰ γοῦν ζῶα, τὰ πετεινά, ἃ μάλιστα πέφυκε πρὸς τάχος, ἐστὶν ἰδεῖν κ. τ. λ.) Ἐξ ΕΔ, ἀνθ' ὧν ὁ πρὸ ἐμοῦ ἔγραψε, Τὰ γοῦν ζῶα πετεινά, ἃ μάλιστα πέφυκε πρὸς τὸ τάχος. Ἡ πρὸ αὐτοῦ γραφὴ ἦν. Τὰ γοῦν ζῶα τὰ πετεινὰ μάλιστα πέφυκε πρὸς τάχος, ἅ ἐστιν ἰδεῖν — 6. Οὐδ' ἀγρία γὰρ ὄρνις. ΑΛΛΗ νεοσσοὺς κ. τ. λ.) Σοφοκλέους εἶναί τινες ὑπενόησαν τὰ ἰαμβεῖα ταῦτα· ὧν ὁ νοῦς πρόδηλος. Οὐδ' ὄρνις ἀγρία, ἣν ἅπαξ νεοττιὰν ἑαυτῇ πλάσῃ, ἐθέλει τίκτειν νεοττοὺς ἀλλαχοῦ, τουτέστιν ἐν ἀλλοτρίᾳ νεοττιᾷ. Οὐ τοῦτο μέντοι νενοηκέναι, οὐδὲ γεγραφέναι ὑπολαμβάνω τὸν ποιήσαντα, ἀλλὰ ΑΛΛΗΝ, τουτέστιν ἀλλο-

§ 34. Ἀλλὰ Λεωκράτης τοσοῦτον ὑπερβέβηκε δειλίᾳ, ὥστε τὴν πατρίδα τοῖς πολεμίοις ἐγκατέλιπε. Τοιγαροῦν οὐδεμία πόλις αὐτὸν εἴασε παρ' αὑτῇ μετοικεῖν, ἀλλὰ μᾶλλον τῶν ἀνδροφόνων ἤλαυνεν. Εἰκότως· οἱ μὲν γὰρ φόνου φεύγοντες, εἰς ἑτέραν πόλιν μεταστάντες, οὐκ ἔχουσιν ἐχθροὺς τοὺς ὑποδεξαμένους· τοῦτον δὲ τίς ἂν ὑποδέξαιτο πόλις; Ὃς γὰρ ὑπὲρ τῆς αὑτοῦ πατρίδος οὐκ ἐβοήθησε, ταχύ γε ἂν[2] ὑπὲρ τῆς ἀλλοτρίας κίνδυνόν τινα ὑπομείνειε. Κακοὶ γὰρ καὶ πολῖται καὶ ξένοι καὶ ἰδίᾳ φίλοι οἱ τοιοῦτοι[3] τῶν ἀνθρώπων εἰσίν, οἳ τῶν μὲν ἀγαθῶν τῶν τῆς πόλεως μεθέξουσιν, ἐν δὲ ταῖς ἀτυχίαις οὐδὲ βοηθείας ἀξιώσουσι. Καίτοι τὸν ὑπὸ τῶν μηδὲν ἀδικουμένων μισούμενον καὶ ἐξελαυνόμενον, τί δεῖ παθεῖν ὑφ' ὑμῶν τῶν τὰ δεινὰ πεπονθότων; ἆρ' οὐ τῆς ἐσχάτης τιμωρίας τυγχάνειν; Καὶ μήν, ὦ ἄνδρες, τῶν πώποτε προδοτῶν δικαιότατ' ἂν Λεωκράτης, εἴτις μείζων εἴη τιμωρία θανάτου, ταύτην ὑπάσχοι. Οἱ μὲν γὰρ ἄλλοι προδόται μέλλοντες ἀδικεῖν, ὅταν μὴ φθῶσι,[4] τιμωρίαν ὑπέχουσιν· οὗτος δὲ μόνος διαπεπραγμένος ὅπερ ἐπεχείρησε, τὴν πόλιν καταλιπὼν κρίνεται.

§ 35. Θαυμάζω δὲ καὶ τῶν συνηγορεῖν αὐτῷ μελλόντων, διὰ τί ποτε τοῦτον ἀξιώσουσιν ἀποφυγεῖν· πότερον διὰ τὴν πρὸς αὐτὸν φιλίαν; ἀλλ' ἔμοι γε δοκοῦσι δικαίως οὐκ ἂν χάριτος τυχεῖν, ἀλλ' ἀποθανεῖν, ὅτι χρῆσθαι τούτῳ τολμῶσι. Πρὶν μὲν γὰρ τοῦτο πρᾶξαι Λεωκράτη, ἄδηλον ἦν, ὁποῖοί τινες ὄντες ἐτύγχανον, νῦν δὲ πᾶσι φανερόν, ὅτι τοῖς αὐτοῖς ἤθεσι χρώμενοι, τὴν πρὸς τοῦτον φιλίαν διαφυλάττουσιν· ὥστε πολὺ πρότερον ὑπὲρ αὑτῶν αὐτοῖς ἐστιν ἀπολογητέον, ἢ τοῦτον παρ' ὑμῶν ἐξαι-

---

τρίαν ὄρνιθα οὐκ εἴασε τεκεῖν νεοττοὺς ἐν τῇ ἑαυτῆς νεοττιᾷ. Καὶ δηλοῦται τοῦτο ἐξ ὧν εἴρηκε Λυκοῦργος πρὸ τῶν ἰαμβείων ἀμέσως· «Ὑπὲρ τῆς ἑαυτῶν »νεοττιᾶς ἐθέλοντα ἀποθνήσκειν,» καὶ ἐξ ὧν ἐπιφέρει τοῖς ἰαμβείοις· «Ἀλλὰ »Λεωκράτης . . . τὴν πατρίδα τοῖς πολε»μίοις ἐγκατέλιπε.» Ὅτι δὲ παρειςδύονταί τινα τῶν ὀρνέων εἰς τὰς τῶν ἀσθενεστέρων οὐκ ἀλλογενῶν μόνον, ἀλλὰ καὶ ὁμογενῶν νεοττιάς, καὶ ὅτι διαμάχονται ἐσχάτως περὶ τούτου, μαρτυρεῖ Ἀριστοτέλης (Περὶ ζώων ἱστορ. Ζ', 7, καὶ Ι', 20 ἐκδ. Σνειδρ.)

§ 34. 2. Ταχύ γε ἄν.) Πολλῷ μᾶλλον οὐ. — 3. ΚΑΚΟΙ γάρ. . . φίλοι οἱ τοιοῦτοι κ. τ. λ.) Οὕτως ἔγραψαν ἐκ διορθώσεως μονονοὺ πάντες ἀντὶ „τοῦ ΚΑΚΕΙ. Ἀλλ' ἴσως τοῦτο μὲν κατὰ χώραν ἐᾶν ἔχρῆν, ἐν δὲ τοῖς ἑξῆς τὴν ἄρνησιν προστιθέντας, γράφειν, «Κἀκεῖ γάρ. . . φίλοι (οὐχ) »οἱ τοιοῦτοι» τουτέστι, καὶ ἐν ταῖς ἄλλαις πόλεσι πολῖται καὶ ξένοι, καὶ ἰδίᾳ φίλοι λογίζονται, οὐχ οἱ τοιοῦτοι κ. τ. λ. — 4. Ὅταν μὴ φθῶσι.) ΗΔ, ΑΤ, ὅταν μὴ ληφθῶσι· ὅ τινες τρέπειν εἰς τό, «ὅταν μὲν ληφθῶσι» ἕτεροι δὲ εἰς τὸ ὅταν ληφθῶσι» παρῄνουν, τὸ ἄτοπον τῆς ἀπαγορεύσεως συνεωρακότες ἑκάτεροι. Ἐν δὲ τῇ ἡμετέρᾳ διορθώσει ἀναγκαία γίνεται ἡ ἀπαγόρευσις· ὁ γὰρ νοῦς· Οἱ μὲν ἄλλοι προδόται, μέλλοντες ἀδικεῖν, καὶ πρὶν φθάσωσιν, ἢ κἂν μὴ φθάσωσιν ἀδικήσαντες, κολάζονται ἄκριτοι· ὁ δὲ Λεωκράτης μόνος καὶ μετὰ τὸ φθάσαι διαπραξάμενος τὴν προδοσίαν τῆς πόλεως, ἐγκαταλιπὼν αὐτήν, κρίνεται καὶ ἐξετάζεται εἰ τῷ ὄντι προδέδωκε.

τητέον. Ἡγοῦμαι δ' ἔγωγε καὶ τὸν πατέρα αὐτῷ τὸν τετελευτηκότα (εἴτις ἄρα ἐστὶν αἴσθησις τοῖς ἐκεῖ περὶ τῶν ἐνθάδε γιγνομένων[2]) ἁπάντων ἂν χαλεπώτατον γενέσθαι δικαστήν, οὗ τὴν χαλκῆν εἰκόνα ἔκδοτον κατέλιπε τοῖς πολεμίοις ἐν τῷ τοῦ Διὸς τοῦ Σωτῆρος ἱεροσυλῆσαι καὶ αἰκίσασθαι·[3] καὶ ἣν ἐκεῖνος ἔστησε μνημεῖον τῆς αὑτοῦ μετριότητος,[4] ταύτην οὗτος ἐπονείδιστον[5] ἐποίησε· τοιούτου γὰρ υἱοῦ πατὴρ προσαγορεύεται. Διὸ καὶ πολλοί μοι προσεληλύθασιν, ὦ ἄνδρες, ἐρωτῶντες, διὰ τί οὐκ ἐνέγραψα τοῦτο εἰς τὴν εἰσαγγελίαν, προδεδωκέναι τὴν εἰκόνα τοῦ πατρὸς, τὴν ἐν τῷ τοῦ Διὸς τοῦ Σωτῆρος ἀνακειμένην. Ἐγὼ δὲ, ὦ ἄνδρες, οὐκ ἠγνόουν τοῦτο τὸ ἀδίκημα ἄξιον [ὂν] τῆς μεγίστης[6] τιμωρίας, ἀλλ' οὐχ ἡγούμην δεῖν, περὶ προδοσίας τοῦτον κρίνων, ὄνομα Διὸς Σωτῆρος ἐπιγράψαι πρὸς τὴν εἰσαγγελίαν.[7] Ἐκπέπληγμαι δὲ μάλιστα ἐπὶ τοῖς μήτε γένει μήτε φιλίᾳ μηδὲν προσήκουσι, μισθοῦ δὲ συναπολογουμένοις ἀεὶ τοῖς κρινομένοις, εἰ λελήθασιν ὑμᾶς τῆς ἐσχάτης ὀργῆς δικαίως ἂν τυγχάνοντες. Τὸ γὰρ ὑπὲρ τῶν ἀδικημάτων ἀπολογεῖσθαι, τεκμήριόν ἐστιν, ὅτι καὶ τῶν πεπραγμένων οἱ τοιοῦτοι ἂν μετάσχοιεν· οὐ γὰρ | δὴ | καθ' ὑμῶν γεγενῆσθαι δεῖ,[8] ἀλλ' ὑπὲρ ὑμῶν καὶ τῶν νόμων καὶ τῆς δημοκρατίας.

Καίτοι τινὲς αὐτῶν οὐκ ἔτι τοῖς λόγοις[9] ὑμᾶς παρακρούσασθαι ζητοῦσιν, ἀλλ' ἤδη ταῖς αὑτῶν λειτουργίαις ἐξαιτεῖσθαι[10]

§ 35. 2. Εἴ τις ἄρα ἐστὶν αἴσθησις... γιγνομένων.) Μικρὸν παρήλλαχε τοῦ τῷ Ἰσοκράτει (Πλαταϊκ. § κδ', σελ. 308) λελεγμένου, « Εἴτις ἄρα τοῖς ἐκεῖ φρόνησις » ἐστι περὶ τῶν ἐνθάδε γιγνομένων. — 3. Αἰκίσασθαι.) Ἐπὶ μὲν ζῶντος ἐστὶ τύψαι ἢ πλῆξαι· καὶ τούτῳ διαφέρει τοῦ Ὑβρίσαι. « Αἰκία, ὕβρις ἔμπληγος. Δια» φέρει δὲ ὕβρεως, ὅτι αἰκία μὲν ἡ διὰ » πληγῶν, ὕβρις δὲ καὶ ἄνευ πληγῶν με» τὰ προπηλακισμοῦ καὶ ἐπιβουλῆς. Διὸ » καὶ εὔθυναι ἐλάττονες τῆς αἰκίας, καὶ » τὰ δικαστήρια διάφορα. Αἰκίας· εἶδός » ἐστι δίκης ἰδιωτικῆς, ἐπὶ πληγαῖς λαγ» χανομένης· ἧς τὸ τίμημα ἐν τοῖς νόμοις » οὐκ ἔστιν ὡρισμένον, ἀλλ' ὁ μὲν κατή» γορος τίμημα ἐπιγράφεται, ὁπόσου δο» κεῖ ἄξιον εἶναι τὸ ἀδίκημα, οἱ δὲ δι» κασταὶ ἐπικρίνουσιν... Εἰσήγετο δὲ ἐντὸς » ἡμερῶν τεσσάρων, πρὶν ἢ τὰ ἴχνη τῶν » πληγῶν ἀφανισθῆναι. » (Bekker, Anecd. Græc. pag. 54-55 et 60). Αἰκίσασθαι δ' ἀνδριάντα λέγοιτ' ἂν τὸ καταρρῦψαι ἢ συγχωνεῦσαι αὐτόν. — 4. Μετριότητος.) Ἐπιεικείας, σωφροσύνης, κοσμιότητος. — 5. Ταύτην ΟΥΤΟΣ ἐπονείδιστον.) Ἐξ ΕΔ, ἀντὶ τοῦ ΑΥΤΟΣ. — 6. Ἄξιον ὂν τῆς μεγίστης.) Ἐξ ΕΔ, προσείληφα τὴν μετοχήν. — 7. Οὐχ ἡγούμην δεῖν, περὶ προδοσίας τοῦτον κρίνων, ὄνομα Διὸς Σωτῆρος ἐπιγράψαι πρὸς τὴν εἰσαγγελίαν.) Ἀγαθὸν γὰρ οἰωνὸν καὶ προφερόμενον μόνον τὸ Διὸς Σωτῆρος ὄνομα πεπεισμένος εἶναι ὁ Λυκοῦργος, ὤκνησεν ἐγγράψαι τῇ κατὰ τοῦ προδότου εἰσαγγελίᾳ. Παραπλήσιόν τι τῷ τοῦ Ῥήτορος μηχανήματι τούτῳ, ἐμηχανήσατο καὶ Ξενοφῶν. (Κύρ. ἀναβ. III, 2, § 9) — 8. Γεγενῆσθαι δεῖ.) ΔΓ, γεγενῆσθαι δεινὸν, ἐκ γνησιωτέρας ἴσως ἑτέρας γραφῆς, γεγενῆσθαι δίκαιον. — 9. Οὐκ ἔτι τοῖς λόγοις.) Ἐξ ΕΔ, ΑΤ, οὐκ ἐπὶ τοῖς λόγοις. — 10. Ταῖς αὑτῶν λειτουργίαις ἐξαιτεῖσθαι κ. τ. λ.) Διὰ τὰς ἑαυτῶν λειτουργίας βουλήσονται τὴν τῶν κρινομένων ἀπόλυσιν ἐξαιτεῖσθαι, ἀνθ' ὧν ἐλειτούργησαν αὐτοὶ τῇ πόλει, χάριν ἀντικομίσασθαι παρὰ τῆς πόλεως ἀπαιτήσουσι τὴν τῶν κρινομένων ἀπαλλαγήν.

τοὺς κρινομένους ἀξιώσουσιν. Ἐφ' οἷς ἔγωγε καὶ μάλιστ' ἀγανακτῶ· εἰς γὰρ τὸν ἴδιον οἶκον αὐτὰς περιποιησάμενοι, κοινὰς χάριτας ὑμᾶς ἀπαιτοῦσιν. Οὐ γὰρ εἴτις ἱπποτετρόφηκεν, ἢ κεχορήγηκε λαμπρῶς, ἢ τῶν ἄλλων τῶν τοιούτων τι δεδαπάνηκεν, ἄξιός ἐστι παρ' ὑμῶν τοιαύτης[11] χάριτος· ἐπὶ τούτοις γὰρ αὐτὸς μόνος στεφανοῦται, τοὺς ἄλλους οὐδὲν ὠφελῶν· ἀλλ' εἴτις τετριηράρχηκε λαμπρῶς, ἢ τείχη τῇ πατρίδι περιέβαλεν, ἢ πρὸς τὴν κοινὴν σωτηρίαν ἐκ τῶν ἰδίων συνευπόρησε·[12] ταῦτα γάρ ἐστι κοινῶς ὑπὲρ ἡμῶν ἁπάντων. Καὶ ἐν μὲν τούτοις ἐστὶν ἰδεῖν τὴν ἀρετὴν τῶν ἐπιδεδωκότων, ἐν ἐκείνοις δὲ τὴν εὐπορίαν μόνον τῶν δεδαπανηκότων. Ἡγοῦμαι δ' ἔγωγε οὐδένα ἂν οὕτω μεγάλα τὴν πόλιν εὐηργετηκέναι, ὥστ' ἐξαίρετον ἀξιοῦν λαμβάνειν χάριν τὴν κατὰ τῶν προδιδόντων τιμωρίαν· οὐδ' οὕτως ἀνόητον, ὥστε φιλοτιμεῖσθαι μὲν πρὸς τὴν πόλιν, τούτῳ δὲ βοηθεῖν, ὃς αὐτοῦ πρώτου[13] τὰς φιλοτιμίας ἠφάνισεν, εἰ μή, νὴ Δία, μὴ ταὐτὰ[14] τῇ πατρίδι καὶ τούτοις ἐστὶ συμφέροντα.

§ 36. Ἐχρῆν μὲν οὖν, ὦ ἄνδρες, εἰ καὶ περὶ οὐδενὸς ἄλλου νόμιμόν ἐστι παῖδας καὶ γυναῖκας παρακαθισαμένους ἑαυτοῖς τοὺς δικαστὰς δικάζειν, ἀλλ' οὖν γε περὶ προδοσίας κρίνοντες οὕτως ὅσιον εἶναι τοῦτο πράττειν, ὅπως ὁπόσοι τοῦ κινδύνου μετεῖχον ἐν ὀφθαλμοῖς ὄντες καὶ ὁρώμενοι, καὶ ἀναμιμνήσκοντες, ὅτι τοῦ κοινοῦ παρὰ πᾶσιν ἐλέου οὐκ ἠξιώθησαν, πικροτέρας τὰς γνώσεις[2] περὶ τοῦ ἀδικοῦντος παρασκευάζωσιν. Ἐπειδὴ δ' οὐ νόμιμον οὐδ' εἰθισμένον ἐστίν, *ἀλλ'* ἀναγκαῖον[3] ὑμᾶς ὑπὲρ ἐκείνων δικάζειν· τιμωρησάμενοι οὖν Λεωκράτη καὶ ἀποκτείναντες αὐτόν, ἀπαγγείλατε τοῖς ὑμετέροις αὐτῶν παισὶ καὶ γυναιξίν, ὅτι ὑποχείριον λαβόντες τὸν προδότην αὐτῶν ἐτιμωρήσασθε. Καὶ γὰρ δεινὸν καὶ σχέτλιον, ὅταν νομίζῃ[4] δεῖν

— 11. Τοιαύτης.] Ἰσ. γρ. τοσαύτης. — 12. Ἐκ τῶν ἰδίων συνευπόρησε.) Ἐκ τῶν ἰδίων ἐβοήθησε τῇ πατρίδι, εἰσφέρων χρήματα συνευπορεῖν ἑαυτῷ τὴν πατρίδα ἐποίησε. Περὶ δὲ τοῦ συνήθους τοῖς ῥήτορσι Συνευπορεῖν ῥήματος τούτου, ἔπιθι τὴν μακρὰν τοῦ Σνεϊδέρου εἰς τὸν Ξενοφῶντα (Κύρ. ἀναβάσ. V, 8, § 25) σημείωσιν. — 13. Αὐτοῦ πρώτου.) Ἐκ ΔΓ, ΑΤ, αὐτοῦ πρώτου, ἢ (ὡς ἕτεροι) αὐτοῦ πρῶτον. Τὸ γὰρ πρώτου ἀναφέρεται εἰς ὃν ἔφη πεφιλοτιμῆσθαι καὶ μεγάλα τὴν πόλιν εὐηργετηκέναι. — 14. Εἰ μή, νὴ Δία, μὴ ταὐτά.) Ὁ πρὸ ἐμοῦ καὶ ἕτεροί τινες ἔγραψαν, οὐκ οἶδ' ὅθεν εἰληφότες, « εἰ μήν, νὴ Δία, μὴ ταῦτα, » τοῦ Ῥεϊσκίου διπλοῦν ἐκδόντος τὸ ἀπαγορευτικόν. Οὐ γὰρ πλεονάζει θάτερον αὐτῶν· ἀλλ' ἔστιν ὥσπερ ἂν εἰ ἔλεγε, εἰ μή, νὴ Δία, ἄλλα (μὴ ταὐτὰ) τῇ πατρίδι καὶ τούτοις ἐστὶ συμφέροντα.

§ 36. 2. Τὰς γνώσεις.) Τὰς κρίσεις. «Γνῶναι, κρῖναι.» Ἡσύχ. — 3. Ἐπειδὴ δ' οὐ νόμιμον... *ἀλλ'* ἀναγκαῖον κτλ.) Ἀστερίσκοις διείληφα τὸν σύνδεσμον, νόθον ἔμοιγε δόξαντα· τὸ γὰρ ἀναγκαῖον ἀπόδοσίς ἐστι προτάσεως, οὐ δευτέρα πρότασις. Ἐπειδὴ οὐκ ἔστι νόμιμον ὑμῖν, ὦ δικασταί, τὸ παρακαθίζειν ἑαυτοῖς τέκνα καὶ γυναῖκας, ἀναγκαῖόν ἐστιν ὑμᾶς δικάζειν ὑπὲρ γυναικῶν καὶ τέκνων. — 4. Δεινὸν καὶ σχέτλιον, ὅταν νομίζῃ

Λεωκράτης ἴσον ἔχειν ὁ φυγὼν ἐν τῇ τῶν μεινάντων[5] πόλει, καὶ ὁ μὴ κινδυνεύσας ἐν τῇ τῶν παραταξαμένων, καὶ ὁ μὴ διαφυλάξας ἐν τῇ τῶν σωσάντων· ἀλλ' ἥκῃ[6] ἱερῶν, ὁσίων, ἀγορᾶς, νόμων, πολιτείας μεθέξων, ὑπὲρ ὧν τοῦ μὴ καταλυθῆναι, χίλιοι τῶν ἡμετέρων πολιτῶν ἐν Χαιρωνείᾳ ἐτελεύτησαν, καὶ δημοσίᾳ αὐτοὺς ἡ πόλις ἔθαψαν. Ὧν οὗτος οὐδὲ τὰ ἐλεγεῖα τὰ ἐπιγεγραμμένα ἐν τοῖς μνημείοις ἐπανιὼν εἰς τὴν πόλιν ᾐδέσθη, ἀλλ' οὕτως ἀναιδῶς ἐν τοῖς ὀφθαλμοῖς τῶν πενθησάντων τὰς ἐκείνων συμφορὰς ἡγεῖται δεῖν ἀναστρέφεσθαι. Καὶ αὐτίκα μάλα ὑμᾶς ἀξιώσει ἀκούειν αὐτοῦ ἀπολογουμένου κατὰ τοὺς νόμους· ὑμεῖς δ' ἐρωτᾶτε αὐτὸν, ποίους; οὓς ἐγκαταλιπὼν ᾤχετο; καὶ ἐάσετε αὐτὸν οἰκεῖν ἐν ταῖς τείχεσι τῆς πατρίδος; ποίοις; ἃ μόνος τῶν πολιτῶν οὐ συνδιεφύλαξες;[7] καὶ ἐπικαλέσεται τοὺς

---

κ. τ. λ.) Συνηθέστερος ὁ συναπτικὸς μετὰ τὸ Δεινὸν, οἷον Δεινὸν καὶ σχέτλιον, εἰ νομίζει· ὥσπερ καὶ Δημοσθένης (πρὸς Λεπτίν. σελ. 504) «Πῶς οὖν οὐ σχέ»τλιον καὶ δεινόν.... εἰ χαλεπώτερον εἶ»ναι δόξει κ. τ. λ.» ὡς καὶ Λυκοῦργος αὐτὸς ἐν τῷ αὐτῷ τούτῳ τῷ λόγῳ (σελ. 25) «Δεινὸν γὰρ ἂν εἴη, εἰ ταῦτα ση»μεῖα κ. τ. λ. «Τὸ δὲ Σχέτλιον, ἀντὶ τοῦ ἀνόητον ἐκλαμβάνεσθαι πολλάκις παρὰ τοῖς ῥήτορσι, σεσημείωται ἐν τοῖς εἰς τὸν Ἰσοκράτην (τόμ. Β', σελ. 78)· εἰς προστίθει ὅτι καὶ Σχέτλια δρᾷν λέγονται οἱ τὰ ἀνόητα ἢ καὶ ἄθεσμα πράττοντες, οἷόν ἐστι τὸ παρὰ Πλουτάρχῳ (Συμποσιακ. ή, § 7. σελ. 1001, édit. Wyttenb.) περὶ τῶν περὶ Τηρέως μυθολογουμένων, «Τὸν Τηρέα καὶ τὰς γυναῖκας τὰ μὲν »δρᾶσαι, τὰ δὲ παθεῖν ἄθεσμα καὶ σχέ»τλια.» Καὶ διορθούσθω ἡμῖν ἐν παρόδῳ καὶ Ἱπποκράτης (Περὶ Γυναικ. 11, § 23. σελ. 553.) ἐν οἷς λέγει περὶ τῶν δι' ὑστερικὰς νόσους παραφρονουσῶν γυναικῶν, «καὶ ΣΧΕΤΛΙΑ δρῶσι, παράφοροι »τῇ γνώμῃ.» Τοῦτο οἱ μεταφρασταὶ οὕτως ἡρμήνευσαν, ὥσπερ ἂν εἰ τὸ Σχεταῖα ἐδήλου τὸ κωλυτέα, compescenda ἢ cohibenda, τουτέστι, δρῶσιν ἃ δεῖ κωλύεσθαι. Ἀλλ' ὤφειλεν εἶναι διὰ μονοφθόγγου, Σχετέα, εἰ τοῦτ' ἠβούλετο λέγειν ὁ Ἱπποκράτης. Εἴρηκε μὲν οὖν, «ΣΧΕΤΛΙΑ δρῶσι κ. τ. λ» ὅπερ ἐν τοῖς ἑξῆς τοῦ αὐτοῦ βιβλίου (Περὶ γυναικ. 11, § 42, σελ. 575), περὶ τῶν ὑστερικῶν νόσων τὸν λόγον ποιούμενος ἑτέρως ἐξέφρασε, «Καὶ τἄλλα, ὅσα (γρ. »ὅσα οἱ) ὑπὸ ἱερῆς νούσου ἐπίληπτοι, πά»σχουσι, καὶ ὅσα ἀπ' οὔατος ἸΔΡΩΣΙ,» Τοῦτο οὐ μόνον διορθωτέον, προελομένους τὴν ἐν ἀντιγράφοις ἑτέραν γραφὴν, ΔΡΩΣΙ, ἀλλὰ καὶ, κακῶς ἡρμηνευμένον τέως, ἑρμηνευτέον· λέγει γὰρ ὁ συγγράψας, οὐκ Ἀπὸ τοῦ ὠτὸς ἱδρῶσι, ab aure exsudant, ὡς ἡρμήνευσαν οἱ μεταφρασταὶ, ἀλλὰ Δρῶσι τὰ ἀπ' οὔατος, τουτέστιν, ἅπερ αἰσχρόν ἐστι καὶ τοῖς ὠσὶν ἀκοῦσαι, ἃ Οὐκ ἀκουστὰ Σοφοκλῆς (Οἰδ. τύρ. 1312) εἴρηκεν,

Ἐς δεινὸν, οὐδ' ἀκουστὸν, οὐδ' ἀπόφημον.

Ἦρξε δὲ τῆς φράσεως Ὅμηρος (Ἰλιάδ. σ'. 272.)

— Αἲ γὰρ δή μοι ἀπ' οὔατος ὧδε γένοιτο!

ὅπερ Ἡσύχιος ἐξηγεῖται, Μακρὰν τῆς ἀκοῆς. Λέγει δὲ καὶ Σουΐδας. «Ἀπ' »οὔατος ἄγγελος.... δύσφημος, μὴ ἄ»ξιος τοῦ ἀκουσθῆναι.» — 5. Μεινάντων.) Ἐξ ΕΔ (ἣν καὶ ἕτεροι ἀπεδέξαντο) ΔΤ, σωσάντων. Οὐδὲν ἧττον μέντοι πιθανὴ, εἰ μὴ καὶ γνησιωτέρα ἡ τοῦ Ῥεϊσκίου διόρθωσις, ὑποστάντων. — 6. ἀλλ' ἥκῃ.) Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν, ἀντὶ τοῦ ἥκει· ἤρτηται γὰρ ἀπὸ τοῦ Ὅταν ἐπιῤῥήματος. — 7. Ἐν τοῖς τύχεσι τοῖς πατρίδος; ΠΟΙΟΙΣ; Ἃ ΜΟΝΟΣ τῶν πολιτῶν οὐ συνδιεφύλαξε;] Ἐάσετε αὐτὸν οἰκεῖν ἐντὸς τῶν τειχῶν τῆς πατρίδος· ποίων τειχῶν; ἃ μόνος τῶν πολιτῶν, οὐ συνεφύλαξε; Ἐκ τῆς τοῦ Ῥεϊσκίου διορθώσεως ἀντὶ τοῦ... ΠΟΙΗΣΑΜΕΝΟΙ τῶν πολιτῶν, ΟΙΣ οὐ κ. τ. λ. πλὴν ὅτι ἐκεῖνος καὶ ἀνα-

θεοὺς σώσαντας αὐτὸν ἐκ τῶν κινδύνων; τίνας; οὐχ ὧν τοὺς νεὼς καὶ τὰ ἕδη καὶ τὰ τεμένη προὔδωκεν; καὶ δεήσεται καὶ ἱκετεύσει ἐλεῆσαι αὐτόν; τίνων; οὐχ οἷς τὸν αὐτὸν ἔρανον[8] εἰς τὴν σωτηρίαν εἰσενεγκεῖν οὐκ ἐτόλμησεν; Ῥοδίους ἱκετευέτω· τὴν γὰρ ἀσφάλειαν[9] ἐν τῇ ἐκείνων πόλει μᾶλλον ἢ ἐν τῇ ἑαυτοῦ πατρίδι ἐνόμισεν εἶναι. **Ποία** δὲ ἡλικία δικαίως ἂν τοῦτον ἐλεήσειε; πότερον ἡ τῶν πρεσβυτέρων; ἀλλ' οὐδὲ γηροτροφηθῆναι, οὐδ' ἐν ἐλευθέρῳ ἐδάφει τῆς πατρίδος αὐτοῖς ταφῆναι τὸ καθ' αὐτὸν μέρος παρέδωκεν· ἀλλ' ἡ τῶν νεωτέρων; καὶ τίς [ἂν] ἀναμνησθεὶς τῶν ἡλικιωτῶν τῶν ἐν Χαιρωνείᾳ ἑαυτοῖς συμπαραταξαμένων, καὶ τῶν κινδύνων τῶν αὐτῶν μετασχόντων, σώσειε[10] τὸν τὰς ἐκείνων θήκας[11] προδεδωκότα; καὶ τῇ αὐτῇ ψήφῳ τῶν μὲν ὑπὲρ τῆς ἐλευθερίας τετελευτησάντων, παράνοιαν[12] καταγνοίη, τὸν δὲ καταλιπόντα τὴν πατρίδα, ὡς εὖ φρονοῦντα, ἀθῷον ἀφήσει;[13] Ἐξουσίαν ἄρα δώσετε τῷ βουλομένῳ καὶ λόγῳ καὶ ἔργῳ τὸν δῆμον καὶ ὑμᾶς κακῶς ποιεῖν. **Οὐ** γὰρ μόνον νῦν οἱ φεύγοντες κατέρχονται,[14] ὅταν ὁ ἐγκαταλιπὼν τὴν πόλιν, καὶ φυγὴν αὐτὸς ἑαυτοῦ καταγνούς,[15] καὶ οἰκήσας ἐν Μεγάροις ἐπὶ προστάτου πλείω πέντ' ἢ ἓξ ἔτη, ἐν τῇ χώρᾳ καὶ ἐν τῇ πόλει ἀναστρέφηται, ἀλλὰ καὶ ὁ μηλόβοτον[16] τὴν Ἀττικὴν εἶναι φανερᾷ τῇ ψήφῳ καταψηφισάμενος, οὗτος ἐν ταύτῃ τῇ χώρᾳ σύνοικος ἡμῶν γενήσεται.[17]

---

φορικὴν ἀντωνυμίαν προσετίθει, ἐν τοῖς »τείχεσι τῆς πατρίδος· ΠΟΙΟΙΣ Α ΜΟ»ΝΟΣ τῶν ποτιλῶν ΑΥΤΟΙΣ οὐ συνδιε»φύλαξε; » — 8. Τὸν αὐτὸν ἔρανον.) Ἐξ ΕΔ, ἣν ἀπεδέξαντο, πλὴν τοῦ πρὸ ἐμοῦ, μονονοὺ πάντες, ΑΤ, τῶν αὐτῶν ἐράνων. — 9. Τὴν γὰρ ἀσφάλειαν.) Ἐξ ἀντιγράφων ὁ πρὸ ἐμοῦ, ΑΤ, ἐπεὶ καὶ τὴν ἀσφάλειαν. — 10. Καὶ τίς ἂν ἀναμνησθεὶς.... σώσειε.) Ἐξ ΕΔ, προσείληφα τὸν δυνητικόν. — 11. Θήκας.) Τοὺς τάφους. — 12. Παράνοιαν.) Ἐξ ΕΔ, ΑΤ, παρανοίας. — 13. Ἀφήσει.) Ἴσ. γρ. ἀφήσοι. — 14. Οἱ φεύγοντες κατέρχονται.) Ἀντὶ τοῦ Κατελεύσονται ἐνθάδε ὁ ἐνεστώς, Κατέρχονται, περὶ οὗ ἔπιθι τὰ εἰς τὸν Ἡλιόδωρον (τόμ. β', σελ. 75) σημειωθέντα μοι· οἷς προστίθει καὶ τὸ τοῦ Εὐριπίδου (Μηδ. 417),

Ἔρχεται τιμὰ
Γυναικείῳ γένει,

ὅπερ ὁ σχολιαστὴς ἐξηγήσατο διὰ τοῦ «Ἐπελεύσονται τιμαὶ τῷ γυναικείῳ »γένει.» Καὶ οἱ Εὐαγγελισταὶ δὲ (Ματθ. ιά, 3) ἐφ' ὁμοίας ἐννοίας ἐχρήσαντο τῇ μετοχῇ «Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον »προσδοκῶμεν;» τουτέστιν, ὁ ἐλευσόμενος, ὁ μέλλων ἔρχεσθαι. — 15. ΦΥΓΗΝ αὐτὸς ἑαυτοῦ καταγνούς.) Ἐκ ΔΓ, ἀντὶ τοῦ ΦΥΓΩΝ. — 16. Ἀλλὰ καὶ ὁ μηλόβοτον κ. τ. λ.) Εὔανθον, ἢ Ἐρίανθον, ὡς ὁ Πλούταρχος (Λυσανδρ. § 15. αὐτὸν ὀνομάζει, αἰνίττεται τὸν Θηβαῖον, περὶ οὗ ἴδε τὰ σημειωθέντα μοι εἰς τὸν Ἰσοκράτην (τόμ. β', σελ. 135 καὶ 227), Ἔπιθι καὶ τὸν Ξενοφῶντα (Ἑλληνικ. ἱστορ. 11. 2 § 19,) περὶ τῆς ἀπηνοῦς ταύτης τῶν Θηβαίων ψήφου. «Μηλόβο»τος δὲ (ὡς ἐξηγεῖται Φώτιος), ἡ κατα»σκαφεῖσα καὶ ἀνεθεῖσα τοῖς μήλοις, ἤτοι »τοῖς κτήνεσιν, εἰς νομὴν διὰ τὴν ἐρη»μίαν.» — 17. Οὗτος ἐν ΤΑΥΤΗ τῇ χώρᾳ σύνοικος ἡμῶν γενήσεται.) Ἐξ ΕΔ, εἴληφα τὸ τελευταῖον, ἀντὶ τοῦ γένηται. Τὸ δὲ ΤΟΙΑΥΤΗ τοῦ πρὸ ἐμοῦ, τυπογράφων ἔοικεν ἁμάρτημα γεγονέναι. Ἀντὶ τῆς πρωτοπροσώπου, τινὰ τῶν ἀντιγράφων τὴν δευτεροπρόσωπον ἀντωνυμίαν, ὑμῶν, φέρει. Οὐδετέρας ἡ πτῶσις ἀρέσκει μοι, ὥσπερ οὔτε τὸ γένηται οὔτε

§ 37. Βούλομαι δ' ἔτι βραχέα πρὸς ὑμᾶς εἰπὼν καταβῆναι, καὶ τὸ ψήφισμα τοῦ δήμου παρασχόμενος, ὃ περὶ εὐσεβείας ἐποιήσατο· χρήσιμον γὰρ ὑμῖν ἐστι τοῖς μέλλουσι τὴν ψῆφον φέρειν. Καί μοι λέγε αὐτὸ τὸ ψήφισμα.[2] ΨΗΦΙΣΜΑ. Ἐγὼ τοίνυν ὑμῖν μηνύω τὸν ἀφανίζοντα ταῦτα πάντα πρὸς ὑμᾶς τοὺς κυρίους ὄντας κολάσαι. Ὑμέτερον δέ ἐστι, καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ τῶν θεῶν τιμωρήσασθαι Λεωκράτη. Τὰ γὰρ ἀδικήματα, ἕως μὲν ἂν ᾖ ἄκριτα, παρὰ τοῖς πράξασίν ἐστιν· ἐπειδὰν δὲ κρίσις γένηται, παρὰ τοῖς μὴ δικαίως ἐπεξελθοῦσιν.[3] Εὖ δὲ ἴστε, ὦ ἄνδρες, ὅτι νῦν κρύβδην ψηφιζόμενος ἕκαστος ὑμῶν φανερὰν ποιήσει τὴν αὑτοῦ διάνοιαν τοῖς θεοῖς. Ἡγοῦμαι δέ, ὦ ἄνδρες, ὑπὲρ ἁπάντων τῶν μεγίστων καὶ δεινοτάτων ἀδικημάτων μίαν ὑμᾶς ψῆφον ἐν τῇ τήμερον ἡμέρᾳ φέρειν· οἷς ἅπασιν ἔνοχον ὄντα Λεωκράτη ἔστιν ἰδεῖν. Προδοσίας μέν, ὅτι τὴν πόλιν ἐγκαταλιπὼν τοῖς πολεμίοις ὑποχείριον ἐποίησε· δήμου δὲ καταλύσεως, ὅτι οὐχ ὑπέμεινε τὸν ὑπὲρ τῆς ἐλευθερίας κίνδυνον· ἀσεβείας δ', ὅτι τοῦ τὰ τεμένη τέμνεσθαι, καὶ τοὺς νεὼς κατασκάπτεσθαι τὸ καθ' ἑαυτὸν γέγονεν αἴτιος· τοκέων δὲ κακώσεως, *ὅτι* τὰ μνημεῖα αὐτῶν ἀφανίζων καὶ τῶν νομίμων ἀποστερῶν·[4] λειποταξίου δὲ καὶ ἀστρατείας,[5] οὐ παρασχὼν τὸ σῶμα τάξαι τοῖς στρατηγοῖς. Ἔπειτα τούτου τίς ἀποψηφιεῖται, καὶ συγγνώμην ἕξει τῶν κατὰ προαίρεσιν ἀδικημάτων, καὶ τοσοῦτον ἔσται[6] ἀνόητος, ὥστε τοῦτον σῴζων, τὴν ἑαυτοῦ σωτηρίαν προέσθαι τοῖς ἐγκαταλιπεῖν βουλομένοις, καὶ τοῦτον ἐλεήσας, αὐτὸς ἀνελέητος ὑπὸ τῶν πολεμίων ἀπολέσθαι[7] προαιρήσεται, καὶ τῷ προδότῃ χάριν θέμενος, ὑπεύθυνος εἶναι τῇ παρὰ τῶν θεῶν τιμωρίᾳ;

---

τὸ γενήσεται. Ὑπονοῶ τὴν γνησίαν γραφὴν πάλαι γεγονέναι, « Οὗτος ἂν ἐν » ταύτῃ τῇ χώρᾳ σύνοικος ὑμῖν γένοιτο. »

§ 37. 2. Λέγε αὐτὸ τὸ ψήφισμα.) Ἐξ ΕΔ, ΑΤ, λέγε τὸ αὐτὸ ψήφισμα. — 3. Ἐπεξελθοῦσιν.) Τιμωρησαμένοις, ἐκδικήσασι. Τοῦτο γὰρ σημαίνει ἡ λέξις μετενεχθεῖσα ἀπὸ τοῦ Ἐπεξέρχεσθαι ἢ Ἐπεξιέναι τοῖς εἰσβάλλουσιν εἰς τὴν χώραν πολεμίοις τοὺς πολίτας, τουτέστιν Ἐξέρχεσθαι τῆς οἰκείας ἐπὶ μάχην· ἐφ' ἧς σημασίας ἐχρήσατο Ἰσοκράτης (Πανηγυρικ. § 15,), φήσας, « τοὺς μετ' » Εὐρυσθέως εἰς τὴν χώραν ἡμῶν εἰσ» βαλόντας, ἐπεξελθόντες ἐνίκησαν μα» χόμενοι. » Ὡς ἐχθροῖς οὖν τῆς πόλεως, καὶ τοῖς ἀδικοῦσι τῶν πολιτῶν, καλῶς λέγεται ἐπεξέρχεσθαι, τοὺς φροντίζοντας τῆς σωτηρίας τῶν νόμων. Τοιοῦτόν τι ἐστὶ καὶ τὸ ἀνωτέρω (§ 30. 11) Μετῆλθον, τουτέστι, μετὰ τοὺς ἀδικοῦντας ἢ ὀπίσω τῶν ἀδικούντων διώκοντες ἦλθον. — 4. Κακώσεως, ὅτι τὰ μνημεῖα αὐτῶν ἀφανίζων καὶ τῶν νομίμων ἀποστερῶν.) Ἐξήλειψα, (ὃ καὶ ἕτεροι ἐποίησαν) διαλαβὼν ἀστερίσκοις τὸν αἰτιολογικόν, ὡς κακῶς πλεονάσαντα· εἰ δὲ μή σ' ἀρέσκοι τοῦτο, γράφε γοῦν, κακώσεως· ὅτι... ἀφανίζων, τῶν νομίμων ἀποστερεῖ. — 5. Λειποταξίου δὲ καὶ ἀστρατείας.) Ἐπίτηδες προσέθηκε τὸ Ἀστρατείας, ἵν' ἕλοι τὴν δίκην· τῆς γὰρ ἀληθείας, οὐκ ἦν λειποτάκτης ὁ Λεωκράτης. Ἀλλ' οὐ διὰ τοῦτο ἀπολυθῆναι δίκαιος ἦν· ἦσαν γάρ, ὥσπερ λειποταξίου, καὶ ἀστρατείας δίκαι, καὶ ὁ ἁλοὺς ἠτιμοῦτο· ἢ δῆλον ἐκ τῶν Ῥητόρων (Ἴδ. Δημοσθέν. Πρὸς Βοιωτ. σελ. 999 καὶ Κατὰ Νεαίρ. σελ. 1353). — 6. Τοσοῦτον ἔσται.) Ἐξ ΕΔ, ΑΤ, τοσοῦτόν ἐστιν. — 7. Ὑπὸ τῶν πολεμίων

Ἐγὼ μὲν οὖν, καὶ τῇ πατρίδι βοηθῶν, καὶ τοῖς ἱεροῖς καὶ τοῖς νόμοις, ἀποδέδωκα τὸν ἀγῶνα ὀρθῶς καὶ δικαίως, οὔτε τὸν ἄλλον τούτου βίον διαβαλὼν, οὔτ᾽ ἔξω τοῦ πράγματος οὐδὲν κατηγορήσας. Ὑμῶν δ᾽ ἕκαστον χρὴ νομίζειν, τὸν Λεωκράτους ἀποψηφιζόμενον θάνατον τῆς πατρίδος καὶ ἀνδραποδισμὸν[8] καταψηφίζεσθαι· καὶ δυοῖν καδίσκοιν κειμένοιν, τοῦ μὲν προδοσίας, τοῦ δὲ σωτηρίας εἵνεκα, τὰς ψήφους φέρεσθαι, τὰς μὲν[9] ὑπὲρ ἀναστάσεως[10] τῆς πατρίδος, τὰς δὲ ὑπὲρ ἀσφαλείας, καὶ τῆς ἐν τῇ πόλει εὐδαιμονίας. Ἐὰν μὲν [οὖν][11] Λεωκράτη[12] ἀπολύσητε, προδιδόναι τὴν πόλιν καὶ τὰ ἱερὰ καὶ τὰς ναῦς[13] ψηφιεῖσθε· ἐὰν δὲ τοῦτον ἀποκτείνητε, διαφυλάττειν καὶ σώζειν τὴν πατρίδα, καὶ τὰς προσόδους καὶ τὴν εὐδαιμονίαν παρακελεύσεσθε. Νομίζοντες οὖν, ὦ Ἀθηναῖοι, ἱκετεύειν ὑμῶν τὴν χώραν καὶ τὰ δένδρα, δεῖσθαι τοὺς λιμένας τὰ νεώρια καὶ τὰ τείχη τῆς πόλεως, ἀξιοῦν δὲ καὶ τοὺς νεὼς καὶ τὰ ἱερὰ βοηθεῖν αὐτοῖς, παράδειγμα ποιήσατε Λεωκράτη, ἀναμνησθέντες τῶν κατηγορημένων[14], ὅτι οὐ πλέον[15] ἰσχύει παρ᾽ ὑμῖν ἔλεος οὐδὲ δάκρυα τῆς ὑπὲρ τῶν νόμων καὶ τοῦ δήμου σωτηρίας.[16]

---

ἀπολέσθαι.) Ἀποκατέστησα τὴν γραφὴν τῶν ἐκδόσεων, ἀνθ᾽ ἧς ὁ πρὸ ἐμοῦ, ἀντιγράφοις πεισθεὶς, ἀπολεῖσθαι ἔγραψεν. — 8. Καὶ ἀνδραποδισμόν.) Ἐξ ΕΔ, ΔΤ, »καὶ ἀνδρῶν καὶ παίδων» ἀνθ᾽ οὗ ὁ πρὸ ἐμοῦ ἔγραψεν εἰληφὼς ἐξ ἀντιγράφων, «καὶ ἀνδραπόδων.» — 9. Καὶ δυοῖν καδίσκοιν κειμένοιν, ΤΟΥ μὲν προδοσίας, ΤΟΥ δὲ σωτηρίας εἵνεκα, τὰς ψήφους φέρεσθαι, τὰς μὲν κ. τ. λ.) Ἐξ ΕΔ, ἀντὶ τοῦ, ΤΟΝ μὲν... ΤΟΝ δὲ κ. τ. λ. Ἴσως δὲ καὶ τὸ προδοσίας κακῶς γέγραπται ἀντὶ τοῦ ἀπωλείας ἢ τιμωρίας. Γενικὸς γάρ ἐστιν ὧδέ γε ὁ λόγος περὶ πάσης δίκης, καὶ οὐ περὶ τῆς προδοσίας μόνης. Ὁ νοῦς καὶ ἡ συνάρτησις, Δύο καδίσκων προκειμένων, τοῦ μὲν, ἵνα δέχηται τὰς ἀπολλύσας ψήφους, τοῦ δὲ ἵνα δέχηται τὰς ἀπολυούσας καὶ σωζούσας, ἕκαστον ὑμῶν χρὴ νομίζειν φέρεσθαι τὰς μὲν ἀπολυούσας Λεωκράτην, ὑπὲρ ἀναστάσεως τῆς πατρίδος, τὰς δὲ ἀπολλύσας Λεωκράτην, ὑπὲρ ἀσφαλείας κ.τ.λ. Περὶ δὲ τῶν καδίσκων ταῦτα φέρεται παρὰ τῷ Ἁρποκρατίωνι. «Καδίσκος.... «ἀγγεῖόν τι, εἰς ὃ ἐψηφοφόρουν οἱ δικασταί, οὕτως ἔλεγον.» Φρύνιχος Μούσαις.

«Ἰδοὺ, δέχου τὴν ψῆφον, ὁ καδίσκος δέ σοι,

»Ὁ μὲν ἀπολύων οὗτος, ὁ δ᾽ ἀπολλὺς ὁδί.«

— 10. Ἀναστάσεως,) ἀναστατώσεως (éversion) καὶ κατασκαφῆς. »Ἀνάστασις, ἀντὶ τοῦ ἀναστάτωσις» Σουΐδ. Καὶ «Ἀναστήσας, καὶ ἀναστάτους ποιήσας, «καὶ μετοικίσας» (Anecdot. græc. Bekker pag 392.) — 11. Ἐὰν μὲν οὖν.) Ἐξ ἀντιγράφων ὁ πρὸ ἐμοῦ προσείληφε τὸν δεύτερον σύνδεσμον, ᾧ προσέθηκα ἐξ ΕΔ, τὸ τρίτον μόριον (οὖν). — 12. Λεωκράτη.) Ἐκ ΔΓ, ΔΤ, Λεωκράτην. — 13. Τὰς ναῦς.) Εἰς τὸ, Τοὺς νεὼς, παρήνει τις τῶν κριτικῶν τρέπειν. — 14. Παράδειγμα ποιήσατε Λεωκράτη, ἀναμνησθέντες τῶν κατηγορημένων, ὅτι οὐ πλέον ἰσχύει κ. τ. λ.) Ἀναμνησθέντες ὧν κατηγόρηκα Λεωκράτους ποιήσατε οὗτον γενέσθαι τοῖς ἄλλοις παράδειγμα τοῦ, ὅτι οὐ πλέον ἰσχύει κ. τ. λ. Παράλληλον οἷς Δημοσθένης (Κατὰ Μειδ. σελ. 539) λέγει περὶ Μειδίου, «Παράδειγμά γε »τοῦτον πᾶσι γενέσθαι τοῖς ἄλλοις, ὅτι »τοὺς ὑβρίζοντας... ἐφ᾽ ὑμᾶς ἄγειν δεῖ.» — 15. Ὅτι οὐ πλέον κ. τ. λ.) Ἐξ ΕΔ, ΔΤ, Καὶ ὅτι οὐ πλέον. — 16. Τῆς ὑπὲρ τῶν νόμων... σωτηρίας.) Ἢ τὴν πρόθεσιν διαγραπτέον, ἢ τὴν τελευταίαν λέξιν εἰς τὸ τιμωρίας τρεπτέον, ὡς ἔδοξέ τισι τῶν κριτικῶν.

---

ΤΕΛΟΣ ΤΟΥ Β΄ ΜΕΡΟΥΣ ΤΟΥ Ζ΄ ΤΟΜΟΥ

# ΠΙΝΑΞ

## ΤΩΝ ΕΜΠΕΡΙΕΧΟΜΕΝΩΝ.

## ΕΝ ΤΩΔΕ ΤΩ Β΄. ΜΕΡΕΙ ΤΟΥ Ζ΄. ΤΟΜΟΥ.

Ἐκ τῶν Λυσίου.


Δ΄. Κατὰ Σιτοπωλῶν. . . . . . . . . . 259.

Ἐκ τῶν Ἰσοκράτους.

Α΄. Πρὸς Δημόνικον παραίνεσις. . . . . . 263.

Β΄. Πρὸς Νικοκλέα περὶ τοῦ βασιλεύειν ἢ περὶ βασιλείας. . . . . . . . . . . 279.

Γ΄. Πανηγυρικός. . . . . . . . . . . 295.

Δ΄. Ἀρειοπαγητικός. . . . . . . . . 350.

Ε΄. Παναθηναϊκός. . . . . . . . . . . 376.

Ἐκ τῶν Ἀνδοκίδου τοῦ Ῥήτορος.

Α΄. Περὶ τῶν μυστηρίων λόγος. . . . . . 453.

Ἐκ τῶν Δεινάρχου τοῦ Ῥήτορος

Α΄. Κατὰ Δημοσθένους λόγος. . . . . . 486.

Λυκούργου.

Α΄. Βίος ἐκ τοῦ Ψευδοπλουτάρχου. . . . . 513.

Β΄. Λόγος κατὰ Λεωκράτους. . . . . . . 525.



voilà

voici

2/ Cuadros